This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

600094165V

49.

AESCHYLI TRAGOEDIAE

EDIDIT

A. KIRCHHOFF.

BEROLINI
APUD WEIDMANNOS.
MDCCCLXXX.

Sammlung griechischer und lateinischer Schriftsteller

mit deutschen Anmerkungen herausgegeben von M. Haupt und H. Sauppe

A. Griechische Schriftsteller.

M. P

Aristophanes, ausgewählte Komödien. Von Th. Kock.
1. Bd.: Wolken. 3. Aufl. M. 1.80. — 2. Bd.: Ritter. 2. Aufl. 1.5
3. Bd.: Frösche. 2. Aufl. M. 1.50. — 4. Bd.: Vögel. 2. Aufl. 2.4
Arrians Anabasis. Von C. Sintenis. 1. u. 2. Bd. 2. Aufl. . . . . à 1.8
Demosthenes, ausgewählte Reden. Von A. Westermann.
1. Bd.: Philippische Reden. 7 Aufl. . . . . 3.—
2. Bd.: Reden vom Kranze und gegen Leptines. 5. Aufl. 1.8
3. Bd.: Reden gegen Aristokrates, Konon, Eubulides. 2. Aufl. 1.5
Euripides, ausgewählte Tragödien. Von F. G. Schöne, H. Köchly und Th. Barthold. 1. Bd.: Bakchen. 2. Aufl. . . . . —.9
2. Bd.: Iphigenia in Taurien. 3. Aufl. M. 1.80. — 4. Bd.: Hippolytus 2.1
Herodotos. Von H. Stein. 1. Bd. 1. Heft: Buch 1. 4. Aufl. . . . 2.2
1. Bd. 2. Heft: Buch 2. 3. Aufl. M. 1.80. — 2. Bd. 1. Heft: Buch 3. 3. Aufl. M. 1.50. — 2. Bd. 2. Heft: Buch 4. 3. Aufl. 1.5
3. Bd.: Buch 5 u. 6. 3. Aufl. M. 1.80. — 4. Bd.: Buch 7. 3. Aufl. 1.8
— 5. Bd.: Buch 8 u. 9. 3. Aufl. 2.2
Homers Odyssee. Von J. U. Faesi und W. C. Kayser.
1. Bd. Ges. 1—8. 7. Aufl. M. 1.80 — 2. Bd. Ges. 9—16. 6. Aufl. M. 1.50. — 3. Bd. Ges. 17—24. 6. Aufl. 1.8
— Iliade. Von J. U. Faesi und F. R. Franke.
1. Bd. Ges. 1—6. 6. Aufl. M. 1.80. — 2. Bd. Ges. 7—12. 6. Aufl. 1.8
3. Bd. Ges. 13—18. 5. Aufl. M. 1.80. — 4. Bd. Ges. 19—24. 5. Aufl. 1.8
Isokrates, ausgewählte Reden. Von R. Rauchenstein. Panegyricus und Areopagiticus. 4. Aufl. 1.5
Lucians ausgewählte Schriften. Von J. Sommerbrodt.
1. Bd.: Lucians Traum. Charon. Timon. 2. Aufl. 1.2
2. Bd.: Nigrinus. Der Hahn. Icaromenippus. 2. Aufl. 1.2
3. Bd.: Wie man Geschichte schreiben soll. Die Rednerschule. Der Fischer. Büchernarr. Ueber die Pantomimik. 2. Aufl. . . . 2.4
Lysias, ausgew. Reden. Von R. Rauchenstein u. K. Fuhr. 1. Bd. 8. Aufl. 1.5
2. Bd. 8. Aufl. . . . . Im Druck.
Platons ausg. Dialoge. Von H. Sauppe. 2. Bd.: Protagoras. 3. Aufl. . . . 1.2
Plutarch, ausgew. Biographien. Von C. Sintenis, R. Hercher u. K. Fuhr.
1. Bd.: Aristides und Cato maior. 3. Aufl. 1.2
2. Bd.: Agis und Cleomenes. Tiberius und G. Gracchus. 3. Aufl. . . . 1.2
3. Bd.: Themistokles und Perikles. 4. Aufl. 1.2
Sophokles. Von F. W. Schneidewin u. A. Nauck. 1. Bd. Aias. 7. Aufl. 1.5
— 2. Bd.: Oedipus Tyrannos. 7. Aufl. 1.5
3. Bd.: Oedipus auf Kolonos. 7. Aufl. M. 1.50. — 4. Bd.: Antigone. 8. Aufl. M. 1.20. — 5. Bd.: Elektra. 7. Aufl. 1.5
6. Bd.: Trachinierinnen. 5. Aufl. M. 1.50. — 7. Bd.: Philoktet. 7. Aufl. 1.5
Thukydides. Von J. Classen. 1. Bd. Buch 1. 3. Aufl. . . . . 3.—
2. Bd. Buch 2. 3. Aufl. M. 1.80. — 3. Bd. Buch 3. 2. Aufl. 2.25
4. Bd. Buch 4. 2. Aufl. M. 2.25. — 5. Bd. Buch 5. . . . . 1.80
6. Bd. Buch 6. M. 2.25. — 7. Bd. Buch 7. M. 1.80. — 8. Bd. Buch 8 2.25
Xenophons Anabasis. Von C. Rehdantz. 1. Bd. Buch 1—3. 4. Aufl. . . . 1.80
— — — 2. Bd Buch 4—7. 4. Aufl. . . . 1.80
— Cyropädie. Von F. K. Hertlein. 1. Bd. 3. Aufl. M. 1.50. — 2. Bd. 3. Aufl. 2.25
— Memorabilien. Von L. Breitenbach. 5. Aufl. 2.25

Aeschines, Rede gegen Ktesiphon. Von A. Weidner 1.80
Aeschylos, Agamemnon. Von F. W. Schneidewin 2.25
— Perser. Von L. Schiller 1.20
Lykurg, Rede gegen Leokrates. Von A. Nicolai . . . . . —.75
Plutarchs Demosthenes und Cicero. Von B. Büchsenschütz 1.20
Xenophons Hellenika. Von L. Breitenbach. 1. Bd.: Buch 1 u. 2 . . . 1.80

AESCHYLI TRAGOEDIAE

EDIDIT

A. KIRCHHOFF.

BEROLINI,
APUD WEIDMANNOS.
MDCCCLXXX.

292 f. 26

CONIVGI OPTIMAE

REDIVIVAE

S.

Praefatio.

Edimus fabulas tragicorum Graecorum principis temporum iniuria pessime habitas non ut emendationis periculum faciamus, cui operi imparem me esse ingenue fateor, sed ut exemplum proponamus eorum usibus accommodatum, quorum interest rerum veritatem intueri nec fucata verborum specie et delectari et decipi, quam nostra aetate peperit licenter grassata effrenata quorundam interpolandi libido: quale exemplum non solum a me ipso desiderari, sed etiam aliis multis acceptum fore pro comperto habeo. Id autem ut apte esset adornatum, non potuit carere nec codicis lectionum notatione nec veteris commentarii apparatu nec succincta eorum indicatione, quae in tanta corruptelarum multitudine adhuc a viris doctis artis legibus obsecutis aut certa aut probabili ratione sunt emendata.

Codicis antiquissimi, e quo exempla recentiora ad unum omnia derivata esse, quamquam sunt qui negent, mihi tamen extra omnem dubitationis aleam positum esse videtur, codicis igitur Laurentiani scripturas in adnotatione memoravi omnes, quae alicuius momenti esse viderentur, neglectis multis primae manus erroribus, quibus nihil auctoritatis tribuendum est praesecundae manus correctionibus, quippe quas factas esse plerasque ad fidem exempli propositi denuo accuratius collati persuasum habeam. Commentarium, quem in codicis marginibus adscripsit manus secunda, una cum glossis eiusdem manus interlinearibus subieci integrum, omissa futilissima illa adnotationum farragine, quibus eum et ampliavit et depravavit

Byzantinorum grammaticorum recentiorum doctrina male sedula, in exemplis maxime recensionis illius trium fabularum Promethei Persarum Septem. Facere tamen non potui quin adderem paucula illa scholia, quae e suis ut videtur exemplis enotaverat Victorius ad Agamemnonis fabulae partes eas, quibus nunc caret foliorum aliquot iacturam passus liber archetypus Laurentianus.

Ordinem fabularum, quoniam is qui est in codice servari non potuit, mutavi ita, ut primo loco collocarentur, de quarum temporibus certa memoria traditum est, subicerentur reliquae duae, Supplices et, cuius singularem esse prorsus causam satis constat, Prometheus. In contextu verborum corruptissimo quae certa ratione emendata sunt vel emendari posse videbantur correxi cautione adhibita ea quam in hoc genere prorsus necessariam iudico; neque tamen dubitavi iterare canticorum ephymnia a librariis omissa et a recentioribus plerumque neglecta, ne artis Aeschyleae in componendis canticis ratio singularis quaedam et propria abdita diutius lateret neve ignorata inveteratos recentiorum errores usque propagaret. In adnotatione indicavi hiatus orationis et versus aliquot aut aperte spurios aut suspectos, omissa tamen quaestione de interpolationibus illis gravioribus et latius patentibus, quibus e retractatione ut videtur quarundam fabularum verba poetae temerata sunt, quoniam haec a consilio huius editionis aliena et altioris indaginis esse visa sunt. Addidi praeterea coniecturarum quas vocare solemus probabilium delectum; in quo delectu instituendo si parcior fuisse iudicabor, a sciente et volente peccatum fateor, si pravo iudicio usus esse laudando improbabilia, probabilia tacendo, venia petenda est. Denique sicubi pro meis venditavi, quae aliorum sunt, factum id esse nesciente me et invito credatur velim adfirmanti et si fieri possit ignoscatur.

Index siglorum, quibus usus sum.

M Codex Laurentianus 32, 9, membranaceus, saec. X—XI, continens Sophoclis tragoedias, Aeschyli Persas, Agamemnonem, Choephoros, Prometheum, Eumenides, Septem adversus Thebas, Supplices, postremo Apollonii Argonautica. Fertur altera manus scripsisse Sophoclis fabulas et Persarum partem priorem, altera Aeschyli reliqua. Foliorum aliquot iacturam passus nunc caret codex versibus Agamemnonis 298—1019 et 1114—1644, item Choephororum initio.

m Manus secunda (vel tertia), quae verba poetae in codice Laurentiano plurifariam correxit, versus omissos supplevit, glossas addidit interlineares et commentarium perscripsit in spatiis vacuis relictis et in marginibus, in folio ultimo adiecit excerpta de vita Aeschyli dramatumque eius catalogum. Hic scriba ab aliis eorum qui codicem oculis usurparunt idem esse dicitur atque alter illorum qui textum scripserunt, ab aliis diversus; certe aequalis est eorum eodemque exemplo usus esse videtur, quod illi exscripserunt.

---

a Codex Marcianus 468. (XCI. 4), praeter alia scripta continens Aeschyli Prometheum, Septem adversus Thebas, Persas, Agamemnonis vss. 1—335.

b Codicis Guelferbytani 88 pars posterior eaque recentior, Oresteam complexa cum Supplicum fabula.

c Codex Parisinus 2886; insunt Aeschyli Prometheus, Septem, Persae, Eumenides, Supplices.

d Codex Monacensis 546, continens praeter alia Eumenidum partem posteriorem inde a vs. 566.

e Codex Escorialensis (T. I. 15), Nonni Dionysiaca et Aeschyli Supplices continens.

a Codex Laurentianus 31, 8, continens Aeschyli Prometheum, Septem adversus Thebas, Persas, Agamemnonem, Eumenides.

b Codex Marcianus 616 (XCI. 5), praeter Sophoclis tragoedias easdem Aeschyli quas *a* fabulas exhibens, mutilatus in Agamemnone, cuius fabulae foliorum aliquot amissione perierunt versus 46—1048.

c Codex Farnesianus (I. E. 5), easdem complexus Aeschyli fabulas, ex recensione et cum scholiis Demetrii Triclinii, a quo scriptus esse putatur.

recc. Exempla recentiora vel omnia vel pleraque, maxime recensionis Byzantinae trium fabularum Promethei, Septem adversus Thebas, Persarum.

ΑΙΣΧΥΛΟΥ ΠΕΡΣΑΙ.

Ὑπόθεσις Περσῶν.

Γλαῦκος ἐν τοῖς περὶ Αἰσχύλου μύθων ἐκ τῶν Φοινισσῶν Φρυνίχου φησὶ τοὺς Πέρσας παραπεποιῆσθαι. ἐκτίθησι δὲ καὶ τὴν ἀρχὴν τοῦ δράματος ταύτην

τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων.

πλὴν ἐκεῖ εὐνοῦχός ἐστιν ἀγγέλλων ἐν ἀρχῇ τὴν Ξέρξου ἧτταν, στορνύς τε θρόνους τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις, ἐνταῦθα δὲ προλογίζει χορὸς πρεσβυτῶν. τῶν δὲ χορῶν τὰ μέν ἐστι παροδικά, ὅτε λέγει δι' ἣν αἰτίαν πάρεστιν, ὡς τὸ Τύριον οἴδμα λιποῦσα (Eurip. Phoen. 202), *τὰ δὲ στάσιμα, ὅτε ἵσταται καὶ ἄρχεται τῆς συμφορᾶς τοῦ δράματος, τὰ δὲ κομματικά, ὅτε λοιπὸν ἐν θρήνῳ γίνεται. καὶ ἔστιν ἡ μὲν σκηνὴ τοῦ δράματος παρὰ τῷ τάφῳ Δαρείου, ἡ δὲ ὑπόθεσις, Ξέρξης στρατευσάμενος κατὰ Ἑλλάδος, καὶ πεζῇ μὲν ἐν Πλαταιαῖς νικηθείς, ναυτικῇ δὲ ἐν Σαλαμῖνι, διὰ Θεσσαλίας φεύγων διεπεραιώθη εἰς τὴν Ἀσίαν. ἐπὶ Μένωνος* (Ol. 76, 4, a. Chr. 472) *τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεΐ, Πέρσαις, Γλαύκῳ, Προμηθεῖ. πρώτη ἔφοδος Περσῶν ἐπὶ Δαρείου ἐδυστύχησε περὶ Μαραθῶνα, δευτέρα Ξέρξου περὶ Σαλαμῖνα καὶ Πλαταιάς.*

τὰ τοῦ δράματος πρόσωπα·

χορὸς γερόντων
Ἄτοσσα
ἄγγελος
εἴδωλον Δαρείου
Ξέρξης.

(Dux chori)

Τάδε μὲν Περσῶν τῶν οἰχομένων
Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται,
καὶ τῶν ἀφνεῶν καὶ πολυχρύσων
ἑδράνων φύλακες, κατὰ πρεσβείαν
οὓς αὐτὸς ἄναξ Ξέρξης βασιλεὺς 5
Δαρειογενὴς
εἵλετο χώρας ἐφορεύειν.
ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ
καὶ πολυχρύσου στρατιᾶς ἤδη
κακόμαντις ἄγαν ὀρσολοπεῖται 10
θυμὸς ἔσωθεν.
πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς

1. *διὰ γερόντων προλογίζει. δεικτικῶς. οἱ ὑπομνηματισάμενοί φασιν ὅτι ἑαυτοὺς λέγουσιν πιστώματα Περσῶν οἱ κατὰ τὸν χορόν. ἀγνοοῦσι δὲ ὅτι πόλις ἐστὶ Περσικὴ Πίστειρα· ἣν συγκόψας Πίστα ἔφη. οἱ δὲ ἄλλως ὑπομνηματισάμενοί φασιν, ἡμεῖς ἐσμεν οἱ πιστοὶ χρηματοφύλακες Περσῶν.* 2. *Πίστειρα κατὰ συγκοπήν· ἔστι δὲ Περσικὴ πόλις.* 3. *λείπει τὰ βασίλεια.* 4. *λείπει τὸ ἐσμέν. κατὰ πρεσβείαν: κατὰ τιμὴν αἱρεθέντες.* 5. *οὓς αὐτὸς ἄναξ: οὓς αὐτὸς ὁ Ξέρξης κατέλιπεν κατὰ τιμήν.* 6. *Δαρειογενής: Δαρείου υἱός. καὶ μὴν Δαρεῖοι τρεῖς. τούτων δὲ πρῶτος ὁ Ὑστάσπου, προκριθεὶς δὲ ὑπὸ τῶν Περσῶν καὶ βασιλεύσας, Ξέρξου πατὴρ τοῦ στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας. δεύτερος δὲ Δαρεῖος ὁ Ἀρταξέρξου νόθος προσαγορευθείς. ἔσχατος Δαρεῖος ὁ ὑπὸ Ἀλεξάνδρου τοῦ Φιλίππου ἀναιρεθείς. τινὲς δὲ καὶ τέταρτον Δαρεῖον γράφουσιν.* 7. *ἄρχειν, ἐπόπτας εἶναι.* 8. *τῷ βασιλείῳ: τῷ Ξέρξου. Ὁμηρικῶς δὲ πρῶτον τὸν βασιλέα, εἶτα τοὺς ὑπηκόους· Ἀτρεΐδαί τε καὶ ἄλλοι* (A. 17). 10. *διαπολεμεῖται, ταράσσεται, θορυβεῖται.*

---

2. *πίστα* M. 6. *δαρειογενὴς· δαρείου υἱὸς.* M glossema expulit Triclinius. 9. *πολυχρύσου στρατιᾶς* recc.: *πολυχρύσους στρατιὰς* M.

ᾤχωκε νέον δ' ἄνδρα βαΰζει
κοΰτε τις ἄγγελος οὔτε τις ἱππεὺς
ἄστυ τὸ Περσῶν ἀφικνεῖται·
οἵτε τὸ Σούσων ἠδ' Ἀγβατάνων
καὶ τὸ παλαιὸν Κίσσιον ἕρκος
προλιπόντες ἔβαν,
οἳ μὲν ἐφ' ἵπποις, οἳ δ' ἐπὶ ναῶν,
πεζοί τε βάδην
πολέμου στῖφος παρέχοντες·
οἷος Ἀμίστρης ἠδ' Ἀρταφρένης
καὶ Μεγαβάτης ἠδ' Ἀστάσπης,
ταγοὶ Περσῶν,
βασιλῆς βασιλέως ὕποχοι μεγάλου
σοῦνται, στρατιᾶς πολλῆς ἔφοροι,
τοξοδάμαντές τ' ἠδ' ἱπποβάται,
φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην
ψυχῆς ἐν τλήμονι δόξῃ.
Ἀρτεμβάρης θ' ἱππιοχάρμης,
καὶ Μασίστρης, ὅ τε τοξοδάμας
ἐσθλὸς Ἰμαῖος, Φαρανδάκης θ',
ἵππων τ' ἐλατὴρ Σοσθάνης.
ἄλλους δ' ὁ μέγας καὶ πολυθρέμμων

13. οἴχωκεν: ἀπόλωλε γὰρ ἡ πᾶσα δύναμις τῶν Περσῶν. 16. ἠδ' Ἐκβατάνων: ὅτι Ἀκεσσαία πρότερον ἐκαλεῖτο ἀπὸ Ἀκεσσαίου τὰ νῦν Ἐκβάτανα καλούμενα. 17. πόλις Περσῶν τὸ Κίσσινον. 21. τὸ πύκνωμα. ὄντες· ἢ τὸ πολέμου ἀντὶ τοῦ πολέμῳ. 22. ὑπέρθεσις διὰ τὸ μέτρον. 25. βασιλῆς βασιλέως: βασιλεῖς μὲν τῶν ἰδίων πόλεων, ὑποτεταγμένοι δὲ τῷ Πέρσῃ. ὕπαρχοι. 27. ἱππικοὶ καὶ τοξόται. 28. φοβεροὶ μὲν ἰδεῖν: ἐκ προσόψεως ἱκανοὶ φοβεῖν ὁμοίως καὶ ἐκ τῆς πείρας. 29. γνώμῃ, ἢ φιλοτιμίᾳ. ἐναλλοις ἐνυποστάτῳ (l. ἄλλως. ἐν ὑποστατικῇ) δοκήσει καὶ πείσματι ψυχῆς.

---

13. ᾤχωκε recc.: οἴχωκε M. fort. νέων δ' ἀμυδρὰ βάξις. 16. Ἀγβατάνων Brunckius: ἐκβατάνων M. 17. Κίσσιον Blomfieldus: κίσσινον M. 19. τοὶ μέν Blomfieldus. νηῶν M. 23. Μεγαβάτης vel Μεγαβάζης recc.: μεταβάτης M.

Νεῖλος ἔπεμψεν· Σουσισκάνης,
Πηγαστάγων Αἰγυπτογενής,
ὅ τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων
μέγας Ἀρσάμης, τάς τ' ὠγυγίους
Θήβας ἐφέπων Ἀριόμαρδος,
καὶ ἑλειοβάται ναῶν ἐρέται
δεινοὶ πλῆθός τ' ἀνάριθμοι.
ἁβροδιαίτων δ' ἕπεται Λυδῶν
ὄχλος, οἵτ' ἐπίπαν ἠπειρογενὲς
κατέχουσιν ἔθνος,
τοὺς Μητρογαθὴς Ἀρκτεύς τ' ἀγαθός,
βασιλῆς δίοποι,
καὶ πολύχρυσοι Σάρδεις ἐπόχους
πολλοῖς ἅρμασιν ἐξορμῶσιν,
δίρρυμά τε καὶ τρίρρυμα τέλη,
φοβερὰν ὄψιν προσιδέσθαι.
στεῦται δ' ἱεροῦ Τμώλου πελάται
ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι,

35. ὑποχείριοι γὰρ ἦσαν τότε Περσῶν οἱ Αἰγύπτιοι. τινὲς διαιροῦσι Σουσισκάνης καὶ Πηγάς καὶ Ταγών. τὰ γὰρ ὀνόματα πέπλακε καὶ οὐκ ἔστιν Αἰγυπτιακά. 38. Αἰγυπτίους. 40. καὶ ἑλειοβάται: οἱ τὸ Αἰγύπτιον ἕλος οἰκοῦντες. ἢ κοινῶς Αἰγύπτιοι· ἑλώδης γὰρ ἡ Αἴγυπτος. οἱ δέ, οἱ καὶ ἐπὶ ἕλους ἐλαύνειν δυνάμενοι ναῦς, ὅπερ ἐστὶ τῶν δυσχερεστάτων. 42. ἁβροδιαίτων δ' ἕπεται: ὄντως γὰρ τοιοῦτοι οἱ Λυδοί. καὶ τὸ παρ' Ἀνακρέοντι Λυδοπαθεῖς τινὲς ἀντὶ τοῦ ἡδυπαθεῖς. καὶ τὸ περιφερόμενον μήτε μοι Λυδῶν καρύκκας μήτε μαστίγων ψόφους. καὶ ὁ Λυδοφοίτης δὲ μυροπώλης τὴν τρυφὴν ταύτην (οἶμαι τὸν τρυφητὴν in margine) δηλοῖ. καὶ τὴν βάκκαριν δὲ ἔνιοι Λυδῶν μύρον ἔφασαν. 43. οἱ διόλου τὴν ἤπειρον οἰκοῦντες. 46. διόπται καὶ διέποντες ἡγεμόνες. 49. ἀντὶ τοῦ ἅρματα. ἀντὶ τοῦ τέθριππα καὶ ἐξάππα τάγματα· ἐκ τούτου δὲ τὸ πλῆθος τῶν ἵππων δηλοῖ. 51. κλῦθι ἀλλαπολέμου (l. κλῦθ', Ἀλαλά, Πολέμου) θύγατερ, αἰθύεται (l. ᾗ θύεται) ἄνδρες ἐν διθυράμβῳ. οὕτως στεῦται ἑνικὸν ἀντὶ τοῦ πληθυντικοῦ. ἔνοικοι, γείτονες.

---

40. in margine adscripsit *m*. 47. *καί* Blomfieldus. 51. *στεῦνται* M. 52. *δούλιον* Scaliger: *δούλειον* M.]

Μάρδων, Θάρυβις, λόγχης ἄκμονες,
καὶ ἀκοντισταὶ Μυσοί· Βαβυλὼν δ'
ἡ πολύχρυσος πάμμεικτον ὄχλον
πέμπει σύρδην, ναῶν τ' ἐπόχους,
καὶ τοξουλκῷ λήματι πιστούς·
τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης
Ἀσίας ἕπεται
δειναῖς βασιλέως ὑπὸ πομπαῖς.
τοιόνδ' ἄνθος Περσίδος αἴας
οἴχεται ἀνδρῶν,
οὓς πέρι πᾶσα χθὼν Ἀσιᾶτις
θρέψασα πόθῳ στένεται μαλερῷ,
τοκέες τ' ἄλοχοί θ' ἡμερολεγδὸν
τείνοντα χρόνον τρομέονται.

(Chorus)

str. 1. πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη
βασίλειος στρατὸς εἰς ἀν-
τίπορον γείτονα χώραν,
λινοδέσμῳ σχεδίᾳ πορθμὰν ἀμείψας
Ἀθαμαντίδος Ἕλλας,
πολύγομφον ὅδισμα
ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου.

antistr. 1. πολυάνδρου δ' Ἀσίας θούριος ἄρχων

53. ἄκμονες: ἀκίνητοι ὑπὸ λόγχης, ὡς ἄκμων ὑπὸ σφυρῶν. 57. ἀντὶ τοῦ ἐμπείρους τοξικῆς. 58. κοινῶς ἁπάντων Περσῶν. 60. προτροπαῖς. 65. ἡμερόλεγδον: τὸ ἐκ τῶν ἀριθμῶν (l. ἡμερῶν) καταριθμούμενον, παρὰ τὸ ἡμέρας καὶ τὸ λέξασθαι. μακραῖς ἡμέραις λεγόμενον. 66. μηκυνόμενον. 67. κωμῳδεῖται ταῦτα. Εὔπολις ἐν Μαρικᾷ· πεπέρακε μὲν ὁ περσέπτολις ἤδη Μαρικᾶς. 69. τὴν Εὐρώπην. 70. ὡς λινῶν τῶν κάλων ὄντων. 72. γρ. ἔρεισμα· τὴν ναῦν. ἐγεφύρωσε γὰρ τὸ ἑπταστάδιον ταῖς ναυσὶ συνδήσας αὐτὰς καὶ γῆν ἐπιβαλών, ὥστε ὁδὸν ποιῆσαι ἐπὶ τῶν νεῶν. διὸ πολύγομφον ὅδισμα εἶπεν. 73. ζεύξας νεῶν τὴν θάλασσαν.

---

55. πάμμικτον M. 63. ἀσιᾶτισ M. 69. χώρασ M.

ἐπὶ πᾶσαν χθόνα ποιμα-
νόριον θεῖον ἐλαύνει
διχόθεν, πεζονόμοις ἔκ τε θαλάσσης
ἐχυροῖσι πεποιθὼς
στυφελοῖς ἐφέταις, χρυ-
σογόνου γενεᾶς ἰσόθεος φώς.
str. 2. κυάνεον δ' ὄμμασι λεύσσων
φονίου δέργμα δράκοντος,
πολύχειρ καὶ πολυναύτης,
Σύριόν θ' ἅρμα διώκων,
ἐπάγει δουρικλύτοις ἀν-
δράσι τοξόδαμνον Ἄρη.
antistr. 2. δόκιμος δ' οὔτις ὑποστὰς
μεγάλῳ ῥεύματι φωτῶν
ἐχυροῖς ἔρκεσιν εἴργειν
ἄμαχον κῦμα θαλάσσης·
ἀπρόσοιστος γὰρ ὁ Περσῶν
στρατὸς ἀλκίφρων τε λαός.
str. 3. θεόθεν γὰρ κατὰ μοῖρ'

75. τὴν Εὐρώπην. ποιμνίον. τὸ ἀνδρικὸν πλῆθος, σημαῖνον τὸ στράτευμα παρὰ τὸ τοὺς βασιλεῖς λέγεσθαι ποιμένας. ποιμανόριον τὸ ἐκ ποίμνης ἀνδρῶν συνηγμένον βασίλειον. 79. σκληροῖς ἡγεμόσιν. 79. 80. χρυσονόμου γενεᾶς: νῦν τῆς πλουσίας. τινὲς γὰρ ἀνέγνωσαν χρυσογόνου διὰ τὸ τὸν Περσέα ἀπὸ χρυσοῦ γεγεννῆσθαι· ὃ καὶ βέλτιον. ἄλλως. τῆς Περσέως γενεᾶς ἀπόγονος· ἢ τῆς τῶν χρυσῶν ἀνθρώπων· ἢ πολυχρύσου. 84. Σύριον δ' ἅρμα: ἀντὶ τοῦ Ἀσσύριον· οἱ γὰρ Πέρσαι τὸ πρότερον Ἀσσύριοι ἐκαλοῦντο. 85. τοῖς Ἀθηναίοις. 86. τὸν τῶν Περσῶν· τοξόται γάρ. 87. δόκιμος: ἀνδρεῖος, δόκησιν περὶ ἑαυτοῦ ἔχων μεγάλην. ἀντιστάς, ἀντιμαχησάμενος. 89. οὔτ' ἄρα ἔρκεα ἴσχει (Hom. Il. E. 90). τάξεσιν. 90. ἄμαχον κῦμα θαλάσσας: τὴν προσβολὴν τῶν Περσῶν. 91. ἀκατα-μάχητος. 92. ἐπὶ τοῦ αὐτοῦ στρατὸς καὶ λαός.

---

78. ἐχυροῖσι M. 79. χρυσονόμου M. 80. ἰσόθεος recc.: ἰσόθεον M. 81. λεύσσων M. 82. φονίου Turnebus: φοινίου M. δέργμα recc.: δέρμα M.

ἐκράτησεν τὸ παλαι-
όν, ἐπέσκηψε δὲ Πέρσαις
πολέμους πυργοδαΐκτους
διέπειν ἱππιοχάρμας
τε κλόνους πόλεών τ' ἀναστάσεις.
antistr. 3. ἔμαθον δ' εὐρυπόροι-
ο θαλάσσης πολιαι-
νομένης πνεύματι λάβρῳ
ἐσορᾶν πόντιον ἄλσος,
πίσυνοι λεπτοδόμοις πεί-
σμασι λαοπόροις τε μηχαναῖς.
epod. δολόμητιν δ' ἀπάταν θεοῦ
τίς ἀνὴρ θνατὸς ἀλύξει;
τίς ὁ κραιπνῷ ποδὶ πηδή-
ματος εὐπετέος ἀνάσσων;
φιλόφρων γὰρ παρασαίνου-
σα τὸ πρῶτον παράγει

94. ἐξ ἀρχῆς. τὸ παλαιόν: τὸ ἀνέκαθεν ἀνδρεῖοί εἰσι καὶ κατὰ εἱμαρμένην πολεμοῦσι. πολεμικοὶ δὲ ὄντες οὐχ ἡσσηθήσονται. 95. ἐπέσκηψε δέ: ἀντὶ τοῦ εἰδέναι ἐποίησεν. 99. ἔμαθον δ' εὐρυπόροιο: οὐχ οἱ Πέρσαι ναυτικοί, ἀλλ' οἱ ὑπήκοοι Περσῶν. τί (τινὲς Dindorfius) δὲ τὸ ἔμαθον φησὶν (φασὶν Dindorfius) ἀντὶ τοῦ μαθεῖν ἐποίησαν. 100. πολιαινομένας: ἀφριζομένης τῷ ἀφρῷ τῆς κωπηλασίας. 103. λεπτοδόμοις: τοῖς λεπτῶς κατεσκευασμένοις. 104. λαοπόροις τε μηχαναῖς: ταῖς τοὺς λαοὺς διαπορθμευούσαις, ἢ ταῖς ἀπὸ τῆς κωπηλασίας μηχαναῖς ταῖς ὑπὸ τῶν λαῶν γινομέναις· οὐχ ὡς αὐτῶν τῶν Περσῶν θαλαττίων ὄντων, ἀλλὰ τῶν ἐκείνοις ὑπηκόων παραλίων. 105. δολόμητιν δ' ἀπάταν: ὡς ἔδει παρατέτακται ὁ Ξέρξης. εἰ δὲ θεοῦ ἐπιβουλῇ τὰ τῆς νίκης ἀναβάλλεται, τίς ὁ νικήσων θεόν; 107. 108. πηδήματος εὐπετέος: εὐκινήτου. Ὅμηρος (Il. I. 501) ἡ δ' Ἄτη σθεναρή τε καὶ ἀρτίπος, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν. ἡ γὰρ ἐκ θεοῦ, φησίν, ἀμαύρωσις καὶ δόλωσις ἄφυκτός ἐστιν. ἅμα γὰρ δολοῖ καὶ προσαίνει καὶ κακοποιεῖ. 109. ἡ θεῶν ἀπάτη.

---

98. τ' recc.: δ' M. 100. πολιαινομένης M. 105—113. in M. inter 92 et 93 alieno loco insertos huc transferendos esse intellexit O. Muellerus.

βροτὸν εἰς ἄρκυας ἄτα,
τόθεν οὐκ ἔστιν ὑπὲρ θνα-
τὸν ἀλύξαντα φυγεῖν.

str. 1. ταῦτά μου μελαγχίτων
φρὴν ἀμύσσεται φόβῳ,
ὀᾶ,
Περσικοῦ στρατεύματος
τοῦδε μὴ πόλις πύθη-
ται κένανδρον μέγ' ἄστυ Σουσίδος,
antistr. 1. καὶ τὸ Κισσίων πόλισμ'
ἀντίδουπον ᾖσεται,
ὀᾶ,
τοῦτ' ἔπος γυναικοπλη-
θὴς ὅμιλος ἀπύων,
βυσσίνοις δ' ἐν πέπλοις πέσῃ λακίς.
str. 2. πᾶς γὰρ ἱππηλάτης
καὶ πεδοστιβὴς λεὼς
σμῆνος ὡς ἐκλέλοιπεν μέλισ-
σαι σὺν ὀρχάμῳ στρατοῦ,
τὸν ἀμφίζευκτον ἐξαμείψας

114. ἡ συνετή (l. ἡ συννεφής). μελαγχίτων: πενθήρης, ἢ ἀμφιμέλαινα. ἔστι δὲ παρὰ τὸ σὺ δ' ἔνδοθι θυμὸν ἀμύξῃς (Hom. Il. A. 243). τὰ γὰρ τοῦ σώματος πάθη δοκοῦμεν καὶ τὴν ψυχὴν πάσχειν. 116. ὀά: Περσικὸν θρήνημα. 118. μὴ πόλις πύθηται: μὴ πύθηταί τις τῶν ἑτέρων πόλεων κενὸν ἀνδρῶν ὂν τὸ ἄστυ. μὴ τὸ τῆς Σουσίδος ἄστυ κένανδρον ἀκούσῃ. 121. ἀντίδουπον: ἀντηχήσει τοῖς θρήνοις· μὴ ἀντηχήσῃ, φησί, θρῆνον αὐτῶν τελευτησάντων. 124. ἀπύοντος, πρὸς τὸ ἀντίδουπον ἔσεται· ἢ λείπει τὸ ἔσται· ἔσται ἀπύων· ἢ μετοχὴ ἀντὶ ῥήματος, ἀντὶ τοῦ ἀπύσει. 125. κατὰ κοινοῦ πάλιν τὸ μή· μὴ ῥῆξις πέσῃ (add. ἐν) πέπλοις. 128. καταλελοίπασι τὴν πόλιν ἀκολουθοῦντες Ξέρξῃ ὡς μέλισσαι τὸ σμῆνος. 130. τὸν ἀμφίζευκτον: τὸν ζευγνύντα ἄμφω τὰς ἠπείρους, ἢ ζευγνύμενον ἐξ ἀμφοῖν. ἢ τὸν ὑποζευχθέντα· βατὸν γὰρ αὐτὸν ἐποίησεν ὁ Ξέρξης.

111. ἄρκυας ἄτα Hermannus: ἀρκύστατα M. 121. ᾄσεται Burneius: ἔσεται M. 125. πέσῃ λακίς· omisit M, supplevit *m*. 128. μέλισσαι schol.: μέλισσα M.

ἀμφοτέρας ἅλιον
πρῶνα κοινὸν αἴας.
antistr. 2. λέκτρα δ' ἀνδρῶν πόθῳ
πίμπλαται δακρύμασιν·
Περσίδες δ' ἀκροπενθεῖς ἑκά-
στα πόθῳ φιλάνορι
τὸν αἰχμήεντα θοῦρον εὐνα-
τῆρ' ἀποπεμψαμένη
λείπεται μονόζυξ.

(Dux chori)

ἀλλ' ἄγε, Πέρσαι, τόδ' ἐνεζόμενοι
στέγος ἀρχαῖον,
φροντίδα κεδνὴν καὶ βαθύβουλον
θώμεθα, χρεία δὲ προσήκει,
πῶς ἄρα πράσσει Ξέρξης βασιλεὺς
Δαρειογενής,
τὸ πατρωνύμιον γένος ἡμέτερον·
πότερον τόξου ῥῦμα τὸ νικῶν,
ἢ δορυκράνου
λόγχης ἰσχὺς κεκράτηκεν.
ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς
φάος ὁρμᾶται μήτηρ βασιλέως,
βασίλεια δ' ἐμή, προσπίτνω·

131. τὸν Ἑλλήσποντον· οἱ δέ, ὅτι Ταῦρον τὸ ὄρος. 132. πρῶνα: τὸν προνεύοντα εἰς ἄμφω τὰς ἠπείρους. ἢ τὸν κοινὸν ἑκατέρας γῆς. μεταξὺ γάρ ἐστιν Εὐρώπης καὶ Ἀσίας. 133. τῇ ἀπουσίᾳ αὐτῶν. 135. ἐπιμόνως πενθοῦσαι, ὡς δοκεῖν ἀβρύνεσθαι ἐπὶ τὸ (l. τῷ) πενθεῖν. 136. μετὰ φιλάνορος πόθου. 139. ἄνευ τοῦ ἀνδρός. 143. ὁ δέ ἀντὶ τοῦ γάρ· ἢ γὰρ χρεία προσῆκον ποιεῖ τὸ βουλεύεσθαι. 146. ὅτι κατὰ πατέρα συγγενὴς ἡμῖν, τοῦτ' ἔστιν ὁ ἐκ προγόνου ἰθαγενής. 148. τῆς ἀπὸ ξύλου κρανείας. 150. Ἄτοσσα, θυγάτηρ Κύρου, γυνὴ Δαρείου, μήτηρ Ξέρξου κατὰ Ἡρόδοτον.

135. ἀβροπενθεῖς Paleius. 136. ἑκάσται, eraso ι, M. 138. εὐνατῆρα προπεμψαμένη (-α) recc. aliquot. 141. στέγος recc.: στέ-οσ M. 146. ἡμέτερον recc.: ἀμέτερον M. 150. paragrapho notat M. 152. προσπίτνω προσκυνῶ M. glossema omiserunt recc. plerique. προσπίτνωμεν Porsonus.

καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν
πάντας μύθοισι προσαυδᾶν.

ὦ βαθυζώνων ἄνασσα Περσίδων ὑπερτάτη,
μῆτερ ἡ Ξέρξου γεραιά, χαῖρε, Δαρείου γύναι·
θεοῦ μὲν εὐνήτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς,
εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῷ.
Ἄτοσσα. ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους
καὶ τὸ Δαρείου τε κἀμὸν κοινὸν εὐνατήριον.
καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ' ὑμᾶς ἐρῶ
μῦθον οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος, φίλοι·
μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀντρέψῃ ποδὶ
ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινος.
ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσί,
μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν
μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα.
ἔστι γὰρ πλοῦτός γ' ἀμεμφής, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος·
ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν.
πρὸς τάδ' ὡς οὕτως ἐχόντων τῶνδε σύμβουλοι λόγου
τοῦδέ μοι γένεσθε, Πέρσαι, γηραλέα πιστώματα·
πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα.
ΧΟ. εὖ τόδ' ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσειν
μήτ' ἔπος μήτ' ἔργον ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ·

153. προσηγορικοῖς. 157. τοὺς βασιλεῖς θεοὺς καλοῦσιν οἱ Πέρσαι. 158. ἡ εὐδαιμονία. 159. διὰ ταῦτα. 163. κονισθείς, ἢ κονίσας αὐτὸς τὸ οὖδας. 165. διὰ ταῦτα. 166. χωρὶς γὰρ ἀνδρῶν ἄχρηστά ἐστι τὰ χρήματα. 167. μήτ' ἀχρημάτοισι: μήτε τοὺς πένητας πᾶν σθένος ὁρᾶν τοῦ φωτός· ὃ ἐστιν, οὐ πάσης ἀπολαύουσι τῆς τοῦ φωτὸς ἡδονῆς οἱ πένητες. 174. ἀντὶ τοῦ δύνηται.

---

155. ὅτι ὁ $\overset{o}{\chi}$ — praescriptum in M. 162. οὐδ' ἀδείμαντον Weilius. 163. μέγας δαίμων Heimsoethius. κονίσας recc.: κονίσσασ M. 165. leg. φρασί. 173. φράσειν K.: φράσαι M. 174. δύναμις recc.: δυνάμεισ M.

εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς.
ΑΤ. πολλοῖς μὲν ἀεὶ νυκτέροις ὀνείρασι
ξύνειμ', ἀφ' οὗπερ παῖς ἐμὸς στείλας στρατὸν
Ἰαόνων γῆν οἴχεται πέρσαι θέλων·
ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην
ὡς τῆς πάροιθεν εὐφρόνης, λέξω δέ σοι.
ἑδοξάτην [μοι] δύο γυναῖκ' εὐείμονε,
ἣ μὲν πέπλοισι Περσικοῖς ἠσκημένη,
ἣ δ' αὖτε Δωρικοῖσιν, εἰς ὄψιν μολεῖν,
μεγέθει τε τῶν νῦν ἐκπρεπεστάτα πολὺ
κάλλει τ' ἀμώμῳ, καὶ κασιγνήτα γένους
ταὐτοῦ· πάτραν δ' ἔναιον ἣ μὲν Ἑλλάδα
κλήρῳ λαχοῦσα γαῖαν, ἣ δὲ βάρβαρον.
τούτω στάσιν τιν', ὡς ἐγὼ 'δόκουν ὁρᾶν,
τεύχειν ἐν ἀλλήλῃσι· παῖς δ' ἐμὸς μαθὼν
κατεῖχε κἀπράυνεν, ἅρμασιν δ' ὕπο
ζεύγνυσιν αὐτὼ καὶ λέπαδν' ἐπ' αὐχένων
τίθησι. χἡ μὲν τῇδ' ἐπυργοῦτο στολῇ
ἐν ἡνίαισί [τ'] εἶχεν εὔαρκτον στόμα,
ἣ δ' ἐσφάδαζε, καὶ χεροῖν ἔντη δίφρου
διασπαράττει, καὶ ξυναρπάζει βίᾳ
ἄνευ χαλινῶν καὶ ζυγὸν θραύει μέσον.
πίπτει δ' ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται

181. πρόσεχε τῇ τοῦ ὀνείρου ἀναγνώσει. ἐντεῦθεν ἔλαβεν Σοφοκλῆς τὸ ἑδοξάτην μοι τάδ', (τὰ δύ' Valckenaer) ἠπείρω μολεῖν καὶ Εὐριπίδης ἔδοξ' ἐν ὕπνῳ τῆσδ' ἀπαλλαχθεῖσα γῆς (Iphig. T. 44). 185. Ἄνδρων ὁ Ἁλικαρνασεύς φησι· Ὠκεανὸς δὲ γήμας Πομφολύγην καὶ Παρθενόπην ἴσχει ἐκ μὲν Παρθενόπης Εὐρώπην καὶ Θράκην, ἐκ δὲ Πομφολύγης Ἀσίαν καὶ Λιβύην· ἀφ' ὧν τὰς ἠπείρους ὀνομασθῆναι συμβέβηκεν. 192. τῇ Περσίδι δεικτικῶς, ὡς τῇ ἡμετέρᾳ, ἣν φορῶ. 193. ὑπήκοον. 194. ἐσκάριζεν. ἐν τῇ βίᾳ δίφρου χαλινὰ ῥήσσει. 196. τὸν δίφρον ἀχαλίνωτον γενόμενον.

---

176. paragraphus praefixa in M. 181. *μοι δύο* recc.: *δύο* M. 191. *ἐπ' αὐχένων* recc.: *ὑπαυχένων* M. 193. *ἡνίαισί τ'* Blomfieldus: *ἡνίαισιν* M. 194. *ἔντη* Scaliger: *ἐντῇ* M.

Δαρεῖος οἰκτίρων σφε· τὸν δ' ὅπως ὁρᾷ
Ξέρξης, πέπλους ῥήγνυσιν ἀμφὶ σώματι.
καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω·
ἐπεὶ δ' ἀνέστην καὶ χεροῖν καλλιρρόου
ἔψαυσα πηγῆς, σὺν θυηπόλῳ χερὶ
βωμὸν προσέστην, ἀποτρόποισι δαίμοσιν
θέλουσα θῦσαι πέλανον, ὧν τέλη τάδε·
ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἑσχάραν
Φοίβου· φόβῳ δ' ἄφθογγος ἑστάθην, φίλοι.
μεθύστερον δὲ κίρκον εἰσορῶ δρόμῳ
πτεροῖς ἐφορμαίνοντα καὶ χηλαῖς κάρα
τίλλονθ'· ὃ δ' οὐδὲν ἄλλο γ' ἢ πτήξας δέμας
παρεῖχε. ταῦτ' ἔμοιγε δείματ' ἔστ' ἰδεῖν,
ὑμῖν δ' ἀκούειν. εὖ γὰρ ἴστε, παῖς ἐμὸς
πράξας μὲν εὖ θαυμαστὸς ἂν γένοιτ' ἀνήρ,
κακῶς δὲ πράξας οὐχ ὑπεύθυνος πόλει,
σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονός.

ΧΟ. οὔ σε βουλόμεσθα, μῆτερ, οὔτ' ἄγαν φοβεῖν λόγοις
οὔτε θαρσύνειν, θεοὺς δὲ προστροπαῖς ἱκνουμένη,
εἴ τι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ' ἀποτροπὴν τελεῖν,
τὰ δ' ἀγάθ' ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν
καὶ πόλει φίλοις τε πᾶσι. δεύτερον δὲ χρὴ χοὰς
γῇ τε καὶ φθιτοῖς χέασθαι· πρευμενῶς δ' αἰτοῦ τάδε
σὸν πόσιν Δαρεῖον, ὅνπερ φῆς ἰδεῖν κατ' εὐφρόνην,
ἐσθλά σοι πέμπειν τέκνῳ τε γῆς ἔνερθεν ἐς φάος,
τἄμπαλιν δὲ τῶνδε γαίᾳ κάτοχα μαυροῦσθαι σκότῳ.

199. αἰδεσθεὶς τὸ πτῶμα. 203. οἷς ἀποτροπιαζόμεθα τοὺς ὀνείρους. 208. χηλαῖς: τοῖς ὄνυξιν. 213. οὐχ ὑπεύθυνος: οὐ τιμωρητέος, οὐ δίκας ὀφείλων, διὰ τὸ ὑμᾶς αὐτὸν παρορμῆσαι, καὶ κοινῇ ἤτοι κοινῷ δόγματι εἶναι τὴν ἔξοδον. 216. ἱκεσίαις. 217. ὡς οὐ δεινὰ τεθέασαι. 223. τὰ δὲ κακὰ τὰ σχεθέντα (κακὰ κατασχεθέντα Weilius) ὑπὸ τῆς γῆς ἀφανισθῆναι τῷ σκότῳ.

198. οἰκτείρων M. 201. καλιρόου M. 210. ἔστ' ἰδεῖν recc.: εσιδεῖν M. 216. θαρσύνειν recc.: θρασύνειν M. 218. τὰ δ' ἀγάθ' recc.: ταδ' αγαθὰ δ' M. 223. κάτοχα μαυροῦσθαι Blomfieldus: κἀτοχ' ἀμαυροῦσθαι M.

ταῦτα θυμόμαντις ὧν σοι πρευμενῶς παρήνεσα·
εὖ δὲ πάνταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.
ΑΤ. ἀλλὰ μὴν εὔνους γ' ὁ πρῶτος τῶνδ' ἐνυπνίων κριτὴς
παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν.
ἐκτελοῖτο δὴ τὰ χρηστά· ταῦτα δ', ὡς ἐφίεσαι,
πάντα θήσομεν θεοῖσι τοῖς τ' ἔνερθε γῆς φίλοις,
εὖτ' ἂν εἰς οἴκους μόλωμεν. κεῖνα δ' ἐκμαθεῖν θέλω,
ὦ φίλοι· ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός;
ΧΟ. τῆλε πρὸς δυσμαῖς ἄνακτος Ἡλίου φθινασμάτων.
ΑΤ. ἀλλὰ μὴν ἵμειρ' ἐμὸς παῖς τήνδε θηρᾶσαι πόλιν.
ΧΟ. πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.
ΑΤ. ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ;
ΧΟ. καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακά.
ΑΤ. καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δόμοις;
ΧΟ. ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός.
ΑΤ. πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χερὸς αὐτοῖς πρέπει;
ΧΟ. οὐδαμῶς· ἔγχη σταδαῖα καὶ φεράσπιδες σαγαί.
ΑΤ. τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατῷ;
ΧΟ. οὔτινος δοῦλοι κέκληνται φωτὸς οὐδ' ὑπήκοοι.
ΑΤ. πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;
ΧΟ. ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.

224. θυμόμαντις: οὐ φύσει μάντις, ἀλλ' ὑπὸ λογισμοῦ κρίνων καὶ ὑπὸ ἐνθυμήσεως. 226. ἀλλὰ μὴν εὔνους: ἀντὶ τοῦ σὺ πρῶτος ἀκούσας τοῦ ὀνείρου εὐνοϊκῶς συνεβούλευσας ἐξιλεώσασθαι οὐρανίους (καὶ add. Dindorfius) χθονίους δαίμονας. 227. τὸν ὄνειρον. 228. ἐκτελοῖτο δὲ τὰ χρηστά: ἢ ἐξιλέωσις εἰς ἀγαθὸν ἀποβαίη. 232. φθινασμάτων: τῶν λήξεων, τῶν δυσμῶν, ἢ τῶν δύσεων, ἢ τῶν ἐκλείψεων· ὅτε γὰρ δύει ὁ ἥλιος, ἐκλείπει. ἔνθεν καὶ λίψ ὁ ἄνεμος ἀπὸ δυσμῶν. 234. εἰ ληφθείησαν αἱ Ἀθῆναι. 236. ἔρξας πολλά: τῆς ἐν Μαραθῶνι πεζομαχίας μέμνηται. 238. τὰ ἐν τῇ Ἀττικῇ. ἀργύρου πηγή: ἐν Θορικῷ γάρ ἐστι μέταλλα καὶ ἐν Λαυρίῳ. 239. τοξικὴ βολή. 240. ἔγχη σταδαῖα: ἐκ τοῦ συστάδην μαχόμενα, οἷον συστάδην μάχονται. τοὺς γὰρ ἐκ διαστημάτων μαχομένους κατηυτέλιζον. 243. μὴ ἔχοντες τὸν ἐφεστηκότα.

---

226. paragrapho notat M. 228. δὴ recc.: δὲ M. 233—246. solas paragraphos adscriptas habent in M. 236. Fort. οὔ· στρατὸς δ' οἷός ποτ' ἔρξας. 239. χεροῖν Elmsleius.

ΑΤ. δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι.
ΧΟ. ἀλλ' ἐμοὶ δοκεῖν τάχ' εἴση πάντα ναμερτῆ λόγον·
τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν,
καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.
Ἄγγελος. ὦ γῆς ἁπάσης Ἀσιάδος πολίσματα,
ὦ Περσὶς αἶα καὶ πολὺς πλούτου λιμήν,
ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς ὄλβος, τὸ Περσῶν δ' ἄνθος οἴχεται πεσόν.
ὤμοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά, ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος,
Πέρσαι· στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων.
str. 1. ΧΟ. ἄνι' ἄνια κακά, νεόκοτα καὶ δάι'. αἰαῖ, διαίνεσθε, Πέρσαι, τόδ' ἄχος κλύοντες.
ΑΓ. ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα, καὐτὸς δ' ἀέλπτως νόστιμον βλέπω φάος.
antistr. 1. ΧΟ. ἦ μακροβίοτος ὅδε γέ τις αἰὼν ἐφάνθη γεραιοῖς, ἀκούειν τόδε πῆμ' ἄελπτον.
ΑΓ. καὶ μὴν παρών γε κοὐ λόγους ἄλλων κλύων, Πέρσαι, φράσαιμ' ἂν οἷ' ἐπορσύνθη κακά.
str. 2. ΧΟ. ὀτοτοτοῖ, μάταν

245. ἀντὶ τοῦ ἡμῖν. 246. κατὰ τὴν ἐμὴν δόκησιν μαθήσῃ τἀληθῆ. 248. λείπει ὥστε. 252. τὸ κάλλος, τὸ στράτευμα. 253. στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν (Soph. Antig. 277). 256. ἀνίατα. νεωστὶ μηνυθέντα ἡμῖν ὑπό τινος τῶν δαιμόνων. 257. δακρύετε. 258. ὃ εἶπον. 261. εἰς τοῦτο ἐμακρύνθη ὁ βίος ἡμῶν, εἰς τὸ ἀκοῦσαι τοιαῦτα κακά.

---

245. λέγεις συθέντων τοῖς τεκοῦσι Meinekius. 246. ναμερτῆ Porsonus: νημερτῆ M. 249. Ἀσίδος Blomfieldus. 250. καὶ μέγας πλούτου λιμήν Eurip. Orest. 1077. 253. paragraphus adscripta in M. 264. γε recc.: τε M. 266. ὀτοτοῖ τοῖ M.

τὰ πολλὰ βέλεα παμμιγῆ
γᾶς ἀπ᾽ Ἀσίδος ἦλθ᾽ ἐπ᾽ αἶαν
δᾴαν, Ἑλλάδα χώραν.
ΑΓ. πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων
Σαλαμῖνος ἀκταὶ πᾶς τε πρόσχωρος τόπος.
antistr. 2. ΧΟ. ὀτοτοτοῖ, φίλων
ἁλίδονα σώματα πολυβαφῆ
κατθανόντα λέγεις φέρεσθαι
πλαγκτοῖς ἐν διπλάκεσσιν.
ΑΓ. οὐδὲν γὰρ ἤρκει τόξα, πᾶς δ᾽ ἀπώλλυτο
στρατὸς δαμασθεὶς ναΐοισιν ἐμβολαῖς.
str. 3. ΧΟ. ἴυζ᾽ ἄποτμον βοὰν
δυσαιανῆ Πέρσαις
δᾴοις, ὡς πάντα παγκάκως
ἔθεσαν. αἰαῖ στρατοῦ φθαρέντος.
ΑΓ. ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν·
φεῦ, τῶν Ἀθηνῶν ὡς στένω μεμνημένος.
antistr. 3. ΧΟ. στυγναί γ᾽ Ἀθῆναι δᾴοις·
μεμνῆσθαί τοι πάρα
ὡς πολλὰς Περσίδων μάταν
ἔκτισαν εὔνιδας ἠδ᾽ ἀνάνδρους.
ΑΤ. σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη
κακοῖς· ὑπερβάλλει γὰρ ἥδε συμφορά,
τὸ μήτε λέξαι μήτ᾽ ἐρωτῆσαι πάθη.

267. διαφόρων ἐθνῶν. 268. ἐπ᾽ αἶαν Ἑλλάδα δῖαν χώραν. 273. ὑπὸ τοῦ αἵματος. 275. πλαγκτοῖς: ὡς ἂν εἴποι τις διαύλοις. τὰ γὰρ κύματα ἐκχεῖται καὶ ὑπονοστεῖ. διπλάκεσσι δέ, ταῖς δύο πλαξί, τῆς θαλάσσης τε καὶ γῆς. ἢ ἐν Σαλαμῖνι καὶ Πλαταιαῖς. 277. ἀντὶ τοῦ προσβολαῖς. 279. δυσθρήνητον. 280. διακεκομμένοις. 284. ἡμῖν τοῖς δηΐοις στυγνότητος αἴτιαι πάρεισιν εἰς μνήμην αἱ Ἀθῆναι, ὅ ἐστι τῶν Ἀθηνῶν ἡ μνήμη στυγνοὺς ἡμᾶς ποιεῖ. 286. ματαίως, μηδὲν βλαψάσας. 287. ἐποίησαν. ὀρφανάς. 290. λείπει ἡ πρός. τοιοῦτοι δὲ οἱ συμφοραῖς μεγάλαις κατεχόμενοι.

---

267. πολέα Lachmannus. τέλεα Meinekius. 269. δᾴαν Blomfieldus: δῖαν M. 277. ἐν βολαῖσ M. 278. ἴϋζε M.

ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν
θεῶν διδόντων· πᾶν δ' ἀναπτύξας πάθος
λέξον καταστάς, εἰ στένεις κακοῖς ὅμως,
τίς οὐ τέθνηκε, τίνα δὲ καὶ πενθήσομεν
τῶν ἀρχελείων, ὅστ' ἐπὶ σκηπτουχίᾳ
ταχθεὶς ἄνανδρον τάξιν ἠρήμου θανών.
ΑΓ. Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ βλέπει φάος.
ΑΤ. ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα
καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου.
ΑΓ. Ἀρτεμβάρης δέ, μυρίας ἵππου βραβεύς,
στυφλοὺς παρ' ἀκτὰς θείνεται Σιληνιῶν·
χὠ χιλίαρχος Δαδάκης πληγῇ δορὸς
πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο·
Τενάγων τ', ἄριστος Βακτρίων ἰθαγενής,
θαλασσόπληκτον νῆσον Αἴαντος πολεῖ.
Αἰλιος, Ἀρσάμης τε κἀργήστης τρίτος,
οἵδ' ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα
νικώμενοι κύρισσον ἰσχυρὰν χθόνα·
πηγαῖς τε Νείλου γειτονῶν Αἰγυπτίου
Ἀρκτεύς, Ἀδεύης, καὶ φρεσεύης τρίτος
Φαρνοῦχος, οἵδε ναὸς ἐκ μιᾶς πέσον.

293. καταστάς: κατάστασιν τοῦ θορύβου λαβών. 294. τίς οὐ τέθνηκεν: καλῶς πρῶτον περὶ τῶν ζώντων ἐρωτᾷ, ὡς ὀλίγων ὄντων, παρίστησι δὲ καὶ τὸ πλῆθος τῶν ἀποθανόντων. 295. λαῶν ἀρχόντων. τῶν βασιλέων, ἀπὸ τοῦ τῶν λαῶν ἄρχειν. 298. ἐνόμιζε γὰρ αὐτὸν τεθνάναι. 301. πετρώδεις. Σιληνίαι αἰγιαλὸς Σαλαμῖνος, (πλησίον add. Blomfieldus) τῆς λεγομένης Τροπαίου ἄκρας, ὡς Τιμόξενος ἐν τῷ ς' περὶ λιμένων. 304. Βάκτρα πόλις Περσίδος. 305. εὐφήμως, κεῖται ἐν Σαλαμῖνι. 307. τὴν πολυτρήρωνα Σαλαμῖνα παρὰ τὸ Ὁμηρικὸν πολυτρήρωνά τε Θίσβην (B. 502). 308. κύρισσον: συνέχρουον ἄλλοις (l. ἀλλήλοις). ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζῴων τῶν τυπτόντων τοῖς κέρασιν. 310. ταῦτα οὐκ ἔχει τὸν Αἰγύπτιον χαρακτῆρα, ἀλλὰ ποιητικῶς διαπέπλασται.

295. ἀρχελάων Robortellus. 297. βλέπει φάος Schol. Aristoph. Rann. 1060: φάος βλέπει M. 298, 300. paragraphos adscriptas habent in M. 304. ἀριστεύς Blomfieldus. ἰθαιγενής M. 310. Φερεσσεύης recc. φερεσσακής Halmius. 311. οἵδε recc. aliquot: οἵ τε M.

Χρυσεὺς Μάταλλος μυριόνταρχος θανών,
ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας,
πυρρὰν ζαπληθῆ δάσκιον γενειάδα
ἔτεγγ', ἀμείβων χρῶτα πορφυρᾷ βαφῇ.
καὶ Μᾶγος Ἄραβος Ἀρτάβης τε Βάκτριος,
σκληρᾶς μέτοικος γῆς, ἐκεῖ κατέφθιτο.
Ἄμιστρις Ἀμφιστρεύς τε πολύπονον δόρυ
νωμῶν, ὅ τ' ἐσθλὸς Ἀριόμαρδος Σάρδεσιν
πένθος παρασχών, Σεισάμης [θ'] ὁ Μύσιος,
Θάρυβίς τε πεντήκοντα πεντάκις νεῶν
ταγός, γένος Λυρναῖος, εὐειδὴς ἀνήρ,
κεῖται θανὼν δείλαιος οὐ μάλ' εὐτυχῶς·
Συέννεσίς τε πρῶτος εἰς εὐψυχίαν,
Κιλίκων ἄπαρχος, εἷς ἀνὴρ πλεῖστον πόνον
ἐχθροῖς παρασχὼν εὐκλεῶς ἀπώλετο.
τοιῶνδ' ἀρχόντων ὑπεμνήσθην πέρι·
πολλῶν παρόντων [δ'] ὀλίγ' ἀπαγγέλλω κακά.

ΑΤ. αἰαῖ, κακῶν ὕψιστα δὴ κλύω τάδε,
αἴσχη τε Πέρσαις καὶ λιγέα κωκύματα.
ἀτὰρ φράσον μοι τοῦτ' ἀναστρέψας πάλιν,
πόσον δὴ πλῆθος ἦν νεῶν Ἑλληνίδων,
ὥστ' ἀξιῶσαι Περσικῷ στρατεύματι
μάχην συνάψαι ναΐοισιν ἐμβολαῖς;

314. τινὲς ἀντὶ τῆς γενικῆς πυρρᾶς γενειάδος· καὶ τὸ ἐξῆς, ἔτεγγεν (τέγγεν M.) χρῶτα, ἔβρεχε τῷ αἵματι. δασύτριχον. 316. Μάγος ἐθνικόν, Ἄραβος κύριον. 317. σκληρᾶς μέτοικος γῆς: ὁ ἐκεῖ ἀπελθὼν (l. ἀποθανών) μετοικήσει τὴν Σαλαμῖνα τὴν σκληρὰν καὶ πετρώδη. ἐν Σαλαμῖνι μετοικήσας, εὐφήμως· παρόσον ἀνυπόστροφος αὐτῷ ἡ ἐκ ταύτης ἄφοδος γέγονεν. 322. ἀπὸ πόλεως. 325. ἡγεμών. 328. λείπει τὸ κακῶν. 329. ἰαμβικὸς ὁ στίχος. 331. ἀναλαβών. 333. ἄξιον ἡγήσασθαι, τολμῆσαι. 334. προσβολαῖς.

---

314. πυράν M. alterum ρ addidit *m.* δάσκειον M. 315. πορφυρᾶ Porsonus: πορφυρέᾳ M. 316. ἀρτάβης M. 320. θ' addidere recc. 324. Συέννεσις recc. aliquot: σύννεσις M. 325. ἄπαρχὸς M. ἔπαρχος recc., ὕπαρχος Hermannus. 327. post ἀρχόντων supra lineam νῦν in M. addidit manus recentior. 328. δ' addunt recc.

ΑΓ. πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι βαρβάρων
νανσὶ κρατῆσαι. καὶ γὰρ Ἕλλησιν μὲν ἦν
ὁ πᾶς ἀριθμὸς ἐς τριακάδας δέκα
ναῶν, δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος·
Ξέρξῃ δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
ὧν ἦγε πλῆθος, αἱ δ' ὑπέρκομποι τάχει
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος.
μή σοι δοκοῦμεν τῇδε λειφθῆναι μάχῃ;
ἀλλ' ὧδε δαίμων τις κατέφθειρε στρατόν,
τάλαντα βρίσας οὐκ ἰσορρόπῳ τύχῃ.
ΑΤ. θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς.
ἔστ' ἆρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις·
ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές.
ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν φράσον·
τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης,
ἢ παῖς ἐμός, πλήθει καταυχήσας νεῶν;
ΑΓ. ἦρξεν μέν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ
φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.
ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ
ἐλθὼν ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε,
ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,
Ἕλληνες οὐ μενοῖεν, ἀλλὰ σέλμασιν

335. λείπει τὸ ἦν. 336. σημείωσαι τὸ τῶν νεῶν πλῆθος τῶν στρατῶν ἀμφοτέρων. 337. τοῦτ' ἔστι τ'. 338. ἐκ τῶν τ' δέκα ἦσαν αἱ ἡγούμεναι ὡς βελτίονες. 341. σζ' αἱ ἄριστα· ἢ σιδ', ἵνα ᾖ τὸ δὶς ἐκ κοινοῦ. 344. τὰ τῶν Περσῶν ζυγὰ βαρήσας. ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν (Hom. Il. Θ. 72). 347. Ἀλκαῖος ἄνδρες γὰρ πόλεως πύργος ἀρεύιος. 353. ἀνὴρ γὰρ Ἕλλην: βουληθέντων γὰρ τῶν Ἑλλήνων φυγεῖν διὰ τὸ πλῆθος τῶν Περσῶν, Θεμιστοκλῆς Σίκιννον τὸν παιδαγωγὸν ἔπεμψε πρὸς τὸν Ξέρξην ὡς αὐτομολήσαντα, λέγοντα τῷ Ξέρξῃ ὅτι μέλλουσι φυγεῖν Ἕλληνες. τοῦτο δὲ ἐποίησεν, ἵνα ἐν ἀπογνώσει μαχήσονται οἱ Ἕλληνες.

---

340. *ὑπέρκοποι* Blomfieldus. 342. *λειφθῆναι* recc.: *ληφθῆναι* M. 345—348. paragraphos adpictas habent in M. 345. *σώζουσι* M. 346. *ἔστ' ἆρ'* recc. aliquot: *ἔτ' ἄρ'* M. 356. *μενοῖεν* Monkius: *μένοιεν* M.

ναῶν ἐπενθορόντες ἄλλος ἄλλοσε
δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσοίατο.
ὃ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς οὐδὲ τὸν θεῶν φθόνον,
πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον,
εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,
τάξαι νεῶν στῖφος μὲν ἐν στοίχοις τρισίν,
ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους,
ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ·
ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακόν,
ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινά,
πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.
τοσαῦτ' ἔλεξε κἀρθ' ὑπ' εὐθύμου φρενός·
οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο.
οἳ δ' οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ
δεῖπνόν [τ'] ἐπορσύνοντο, ναυβάτης τ' ἀνὴρ
τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.
ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο
καὶ νὺξ ἐπῆει, πᾶς ἀνὴρ κώπης ἄναξ
ἐς ναῦν ἐχώρει, πᾶς δ' ὅπλων ἐπιστάτης.
τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς,

362. ὡς ἀπὸ Ξέρξου ὁ λόγος. 363. κατὰ περίφρασιν τὸν αἰθέρα. 364. πλῆθος. 365. τὰς ἐξόδους. 366. κοινὸν τὸ τάξαι. 367. ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικόν, ὡς εἰ ἐξειλήσαιεν, φησίν, οἱ Ἕλληνες δραπετεύσαντες, πᾶσιν ἠπείλει τοῖς ταχθεῖσιν αὐτοῖς (l. αὐτούς) φυλάξαι τῆς κεφαλῆς στερηθῆναι. ἄτοπον δὲ ἀπειλεῖν πλήθει τοσούτῳ θάνατον. βέλτιον οὖν κράτος, τῆς τιμῆς καὶ ἀρχῆς στερίσκεσθαι, ἵν' ᾖ κράτος ἀντὶ κράτους. 374. κώπην εὐήρετμον ἀμφὶ σκαλμὸν ἐδέσμευε. τροπωτῆροδω (sp. vac. sex fere litterarum. τροπωτὴρ δὲ ὁ λῶρος ὁ Dindorfius) δεσμεύων τὴν κώπην πρὸς τῷ σκαλμῷ. 376. (imo 382) καὶ νὺξ ἐγένετο καὶ οὐδεὶς Ἑλλήνων ἠξίσι (ἠξίωσεν Dindorfius). 377. ἐπιστήμων. 378. τῆς πολεμικῆς.

357. ἐπενθορόντες recc.: ἐπανθορόντες M. 358. ἐκσωσοίατο Monkius: ἐκσωσαίατο M. 360. τῶν, mutatum in τόν, M. 368. νηυσὶν M. 369. κράτὸσ M. 373. τ' addidit Scaliger. 375. φθέγγος M. 377. θ' recc. 378. τάξεισ M.

πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος.
καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
ναῶν ἄνακτες πάντα ναυτικὸν λεών.
καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατὸς
κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο·
ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,
πρῶτον μὲν ἠχῇ κέλαδος Ἑλλήνων πάρα
μολπηδὸν ηὐφήμησεν, ὄρθιον δ' ἅμα
ἀντηλάλαξε νησιώτιδος πέτρας
ἠχώ· φόβος δὲ πᾶσι βαρβάροις παρῆν
γνώμης ἀποσφαλεῖσιν· οὐ γὰρ ὡς φυγῇ
παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,
ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει·
σάλπιγξ δ' ἀυτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν.
εὐθὺς δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ
ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύματος,
θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν.
τὸ δεξιὸν μὲν πρῶτον εὐτάκτως κέρας
ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος
ἐπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν
πολλὴν βοήν, ὦ παῖδες Ἑλλήνων ἴτε,
ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ
παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
θήκας τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών.
καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος
ὑπηντίαζε, κοὐκέτ' ἦν μέλλειν ἀκμή.
εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον

383. ὡς ᾠόμεθα. 393. τὰ τῶν Ἑλλήνων ἐξέκαιεν καὶ ἀνήγειρεν ἡ σάλπιγξ. 394. ῥοθιάδος: τῆς ἠχητικῆς· ἢ τῆς ἐν ὑγρῷ ἐλαυνομένης. 397. τὸ Θεμιστοκλέους. 398. τὸ ἀριστερὸν καὶ τὸ μέσον. (406) τὸ ἔμβολον λέγει· στόλον δὲ λέγει παρ' ὅσον εἰς ὀξὺ συνεσταλμέναι εἰσίν· οὕτως γὰρ ἔλεγον στόλον τὰ ἀπῳξυμμένα. 403. τάφους. 406. τὸν ἔμβολον παρὰ τὸ εἰς ὀξὺ συνεστάλθαι.

387. εὐφήμησεν M. 389. in margine supplevit *m*. 393. δ' supra lineam M.

ἔπαισεν· ἦρξε δ' ἐμβολῆς Ἑλληνικὴ
ναῦς, κἀποθραύει πάντα Φοινίσσης νεὼς
κόρυμβ', ἐπ' ἄλλην δ' ἄλλος ηὔθυνεν δόρυ.
τὰ πρῶτα μέν νυν ῥεῦμα Περσικοῦ στρατοῦ
ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν
ἤθροιστ', ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν,
αὐτοὶ δ' ὑφ' αὑτῶν ἐμβόλοις χαλκοστόμοις
παίοντ', ἔθραυον πάντα κωπήρη στόλον,
Ἑλληνικαί τε νῆες οὐκ ἀφρασμόνως
κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὲ
σκάφη νεῶν, θάλασσα δ' οὐκέτ' ἦν ἰδεῖν,
ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν·
ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐπλήθυον.
φυγῇ δ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο,
ὅσαιπερ ἦσαν βαρβάρου στρατεύματος·
τοὶ δ' ὥστε θύννους ἤ τιν' ἰχθύων βόλον
ἀγαῖσι κωπῶν θραύμασίν τ' ἐρειπίων
ἔπαιον, ἐρράχιζον, οἰμωγὴ δ' ὁμοῦ
κωκύμασιν κατεῖχε πελαγίαν ἅλα,
ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο.
κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα
στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι.

408. *ἀντὶ τοῦ Περσίδος.* 409. *τὴν ναῦν δόρυ εἴρηκεν.* 410. *ἀντὶ τοῦ δή.* 411. *μεταξὺ Σαλαμῖνος καὶ Αἰγίνης τὸ στενὸν ἦν.* 414. *παράλογον τὸ δυϊκόν.* 415. *οὐχ ἁπλῶς οὐδὲ ἀδιδάκτως.* 417. *ἀντὶ τοῦ αἱ νῆες. τῶν Περσῶν δηλονότι.* 418. *ναυαγία αὐτὸ τὸ πάθος, ναυάγιον δὲ αὐτὸ τὸ ναυαγῆσαν σκεῦος. διὰ τοῦτο οὖν ναυαγίων βαρυτόνως, τῶν σωμάτων.* 422. *ἄγραν.* 423. *ἐρείπια κυρίως τὰ πτώματα τῶν οἰκων· νῦν δὲ τὰ θραύσματα τῶν νεῶν.* 426. *λείπει τὴν μάχην· ἕως ἡ νὺξ ἐπιγενομένη ἔπαυσεν αὐτοὺς τῆς μάχης.* 427. *Ἴων ἐν ταῖς Ἐπιδημίαις παρεῖναι Αἰσχύλον ἐν τοῖς Σαλαμινιακοῖς φησί.* 428. *ἐφεξῆς λέγοιμι, στοιχομυθοίην.*

---

409. ἴθυνεν recc. 413. *ὑφ' αὑτῶν* recc.: *ὑπ' αὐτῶν* M. *ἐμβόλοις* Stanleius: *ἐμβολαῖσ* M. 419. fort. *ἀκταὶ νεκρῶν δέ.* 420. *ἀκόσμῳ* Casaubonus. 423. *ἐριπίων* M. 424. *οἰμωγή* recc.: *οἰμωγῆσ* M. 425. *καυχήμασιν* Hermannus. 428. *στοιχηγοροίην* recc.: *στοιχοιγαροίην* M.

εν γὰρ τόδ' ἴσθι, μηδάμ' ἡμέρᾳ μιᾷ
πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν.
ΑΤ. αἰαῖ, κακῶν δὴ πέλαγος ἔρρωγεν μέγα
Πέρσαις τε καὶ πρόπαντι βαρβάρων γένει.
ΑΓ. εὖ νῦν τόδ' ἴσθι, μηδέπω μεσοῦν κακόν·
τοιάδ' ἐπ' αὐτοῖς ἦλθε συμφορὰ πάθους,
ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ.
ΑΤ. καὶ τίς γένοιτ' ἂν τῆσδ' ἔτ' ἐχθίων τύχη;
λέξον τίν' αὖ φὴς τήνδε συμφορὰν στρατῷ
ἐλθεῖν κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα.
ΑΓ. Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν,
ψυχήν τ' ἄριστοι κεὐγένειαν ἐκπρεπεῖς,
αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεί,
τεθνᾶσιν αἰσχρῶς δυσκλεεστάτῳ μόρῳ.
ΑΤ. οἲ 'γὼ τάλαινα συμφορᾶς κακῆς, φίλοι.
ποίῳ μόρῳ δὲ τούσδε φὴς ὀλωλέναι;
ΑΓ. νῆσός τις ἐστὶ πρόσθε Σαλαμῖνος τόπων
βαιά, δύσορμος ναυσίν, ἣν ὁ φιλόχορος
Πὰν ἐμβατεύει, ποντίας ἀκτῆς ἔπι.
ἐνταῦθα πέμπει τούσδ', ὅπως ὅταν νεῶν
φθαρέντες ἐχθροὶ νῆσον ἐκσῳζοίατο,
κτείνοιεν εὐχείρωτον Ἑλλήνων στρατόν,
φίλους δ' ὑπεκσώζοιεν ἐναλίων πόρων·
κακῶς τὸ μέλλον ἱστορῶν. ὡς γὰρ θεὸς

430. πλῆθος ἀνθρώπων τοσοῦτον τῷ ἀριθμῷ. μήποτε δὲ τοσουτάριθμον θέλει. 431. εὔκαιρος ἡ τροπὴ ἀπὸ τῶν ἐν πελάγει ἀτυχησάντων. 435. τῇ κακῇ δηλονότι. 438. μείζονα. 441. εἰς πίστιν ἐν πρώτοις, ὃ ἐστι πιστικώτατοι. 445. τὴν Ψυττάλειάν φησιν, ἣ ἀπέχει προσ ρον σταδίους ε, ὅπου φυγόντες οἱ ἡγεμόνες τῶν Περσῶν ὑπὸ Ἀθηναίων ἀπώλοντο. 446. ὁ θεὸς ὁ Πάν. 447. ἢ ὡς ἱερᾶς οὔσης Πανός· ἢ ὡς ἔρημος. 448. ὁ Ξέρξης. 449. ἀντὶ τοῦ μετὰ φθορᾶς ἐξέλθοιεν. 452. σκοπῶν.

429. μηδάμ' recc. aliquot: μηδ' ἂν M. 430. τοσοῦτ' ἀριθμὸν M. 431. ἔρρωνται, mutatum in ἔρρωγε, M. 440. καὶ εὐγένειαν M. 443. οἲ ἐγὰ M. 446. νησοὶν M. 449. ἐξσωζοίατο M. 451. ὑπεκσώζοιεν M.

ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης,
αὐθημερὸν φάρξαντες εὐχάλκοις δέμας
ὅπλοισι ναῶν ἐξέθρῳσκον· ἀμφὶ δὲ
κυκλοῦντο πᾶσαν νῆσον, ὥστ' ἀμηχανεῖν
ὅποι τράποιντο. πολλὰ μὲν γὰρ ἐκ χερῶν
πέτροισιν ἠράσσοντο, τοξικῆς τ' ἀπὸ
θώμιγγος ἰοὶ προσπίπτοντες ὤλλυσαν,
τέλος δ' ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου
παίουσι, κρεοκοποῦσι δυστήνων μέλη,
ἕως ἁπάντων ἐξαπέφθειραν βίον.
Ξέρξης δ' ἀνώμωξεν κακῶν ὁρῶν βάθος·
ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ,
ὑψηλὸν ὄχθον ἄγχι πελαγίας ἁλός·
ῥήξας δὲ πέπλους κἀνακωκύσας λιγύ,
πεζῷ παραγγείλας ἄφαρ στρατεύματι,
ἴησ' ἀκόσμῳ ξὺν φυγῇ. τοιάνδε σοι
πρὸς τῇ πάροιθε συμφορὰν πάρα στένειν.

ΑΤ. ὦ στυγνὲ δαῖμον, ὡς ἄρ' ἔψευσας φρενῶν
Πέρσας· πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν
κλεινῶν Ἀθηνῶν ηὗρε, κοὐκ ἀπήρκεσαν
οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν·
ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν
τοσόνδε πλῆθος πημάτων ἐπέσπασεν.
σὺ δ' εἰπὲ ναῶν αἳ πεφεύγασιν μόρον,
ποῦ τάσδ' ἔλειπες· οἶσθα σημῆναι τορῶς;

ΑΓ. ναῶν δὲ ταγοὶ τῶν λελειμμένων σύδην

453. τῆς ναυμαχίας. 456. τοὺς Πέρσας. 459. θώμιγξ κέκληται τὸ λεπτὸν σχοινίον. 463. ἀπὸ τῶν ὑδάτων ἢ μεταφορά. 464. καθαράν, κεχωρισμένην· ἢ αὐγάζοντα καὶ ὁρῶντα. λέγει δὲ τὸ ἀντικρὺ Σαλαμῖνος ὄρος τὸν Αἰγάλεων, ὥς φησιν Ἡρόδοτος (8, 90). 467. φυγεῖν δῆλον ὅτι. 470. ψευσθῆναι ἐποίησας τῶν φρενῶν καὶ ἀποτυχεῖν ὧν ἤλπιζον. 473. ἐπὶ Δαρείου.

454. φράξαντες M. 459. ὤλλυσαν recc.: ὄλλυσαν M. 461. κρεωκοποῦσι, ω in o mutato, M. 464. εὐαγῆ Hemsterhusius. 465. πελαγίας recc.: πελασγίασ M. 472. εὗρε M. ἀπήρκεσαν recc.: ἀπήρκεσε M. 475. τοσόνδε recc.: τοσῶν δὲ M.

κατ᾽ ουρον οὐκ εὔκοσμον αἴρονται φυγήν.
στρατὸς δ᾽ ὁ λοιπὸς ἔν τε Βοιωτῶν χθονὶ
διώλυθ᾽, οἳ μὲν ἀμφὶ κρηναῖον γάνος
δίψῃ πονοῦντες, οἳ δ᾽ ὑπ᾽ ἄσθματος κενοὶ
διεκπερῶμεν ἔς τε Φωκέων χθόνα
καὶ Δωρίδ᾽ αἶαν, Μηλιᾶ τε κόλπον, οὗ
Σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῷ.
κἀντεῦθεν ἡμᾶς γῆς Ἀχαιίδος πέδον
καὶ Θεσσαλῶν πόλεις ὑπεσπανισμένους
βορᾶς ἐδέξαντ᾽· ἔνθα δὴ πλεῖστοι θάνον
δίψῃ τε λιμῷ τ᾽· ἀμφότερα γὰρ ἦν τάδε.
Μαγνητικὴν δὲ γαῖαν ἔς τε Μακεδόνων
χώραν ἀφικόμεσθ᾽, ἐπ᾽ Ἀξίου πόρον,
Βόλβης θ᾽ ἕλειον δόνακα, Πάγγαιόν τ᾽ ὄρος,
Ἠδωνίδ᾽ αἶαν. νυκτὶ δ᾽ ἐν ταύτῃ θεὸς
χειμῶν᾽ ἄωρον ὦρσε, πήγνυσιν δὲ πᾶν
ῥέεθρον ἀγνοῦ Στρυμόνος· θεοὺς δέ τις
τὸ πρὶν νομίζων οὐδαμοῦ τότ᾽ ηὔχετο
λιταῖσι, γαῖαν οὐρανόν τε προσκυνῶν.
ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο
στρατός, περᾷ κρυσταλλοπῆγα διὰ πόρον.
χῶστις μὲν ἡμῶν πρὶν σκεδασθῆναι θεοῦ
ἀκτῖνας ὡρμήθη, σεσωσμένος κυρεῖ.
φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος
μέσον πόρον διῆκε θερμαίνων φλογί·
πῖπτον δ᾽ ἐπ᾽ ἀλλήλοισιν· εὐτυχεῖ δέ τοι

479. ἐκεῖ, φησίν, ἀπίασιν ὅπου ὁ ἄνεμος αὐτοὺς φέρει. 481. τόπος Βοιωτίας ἡ Κρήνη. 482. οἷον μετὰ ἄσθματος. 485. ὁ Σπερχειὸς ἐξ Ἀνιάνων (Αἰνιάνων Dindorf.) ῥέων εἰς τὸν Μηλιακὸν ἐμβάλλει κόλπον. 492. Θρᾴκης. λίμνη Θρᾳκική. 494. παρὰ καιρόν. 495. Στρυμὼν ποταμὸς Θρᾴκης. καὶ ὁ πάνυ ἀσεβής. 499. κρυστάλλῳ πεπηγότα. τὸ ἐξῆς διαπερᾷ. 503. διελθεῖν καὶ ῥεῦσαι ἐποίησεν.

---

479. αἴρονται Elmsleius: αἰροῦνται M. 487. πόλεις Weilius: πόλισ M. 488. ἐδέξαντο M. 496. εὔχετο M. 501. σεσωσμένοσ M.

ὅστις τάχιστα πνεῦμ᾽ ἀπέρρηξεν βίου.
ὅσοι δὲ λοιποὶ κἄτυχον σωτηρίας,
Θρᾴκην περάσαντες μόγις πολλῷ πόνῳ,
ἥκουσιν ἐκφυγόντες, οὐ πολλοί τινες,
ἐφ᾽ ἑστιοῦχον γαῖαν· ὡς στένειν πόλιν
Περσῶν, ποθοῦσαν φιλτάτην ἥβην χθονός.
ταῦτ᾽ ἔστ᾽ ἀληθῆ· πολλὰ δ᾽ ἐκλείπω λέγων
κακῶν ἃ Πέρσαις ἐγκατέσκηψεν Θεός.

XO. ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς
ποδοῖν ἐνήλλου παντὶ Περσικῷ γένει.

AT. οἳ ᾽γὼ τάλαινα διαπεπραγμένου στρατοῦ·
ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐννυπνίων,
ὡς κάρτα μοι σαφῶς ἐδήλωσας κακά.
ὑμεῖς δὲ φαύλως αὖτ᾽ ἄγαν ἐκρίνατε.
ὅμως δ᾽, ἐπειδὴ τῇδ᾽ ἐκύρωσεν φάτις
ὑμῶν, Θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω·
ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα
ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν·
ἐπίσταμαι μὲν ὡς ἐπ᾽ ἐξειργασμένοις,
ἀλλ᾽ ἐς τὸ λοιπὸν εἴ τι δὴ λῷον πέλοι.
ὑμᾶς δὲ χρὴ ᾽πὶ τοῖσδε τοῖς πεπραγμένοις
πιστοῖσι πιστὰ ξυμφέρειν βουλεύματα·
καὶ παῖδ᾽, ἐάν περ δεῦρ᾽ ἐμοῦ πρόσθεν μόλῃ,
παρηγορεῖτε, καὶ προπέμπετ᾽ ἐς δόμους,
μὴ καί τι πρὸς κακοῖσι προσθῆται κακόν.

(Dux chori)

XO. ὦ Ζεῦ βασιλεῦ, νῦν Περσῶν

509. *τὴν Περσίδα, τὴν ἔχουσαν αὐτῶν τὴν ἑστίαν.* 515. *πεφονευμένου.* 518. *οὐκ ἀληθῶς. αὐτά· ἀντὶ τοῦ τὰ ὀνείρατα.* 519. *ἡ ὑμῶν κρίσις ἡ λέγουσά μοι εὔξασθαι θεοῖς καὶ Δαρείῳ.* 522. *πέλανον: πεπεμμένον πλακοῦντα.* 523. *οἶδα μὲν ὅτι τὸ κακὸν ἤδη ἐγένετο· ἀλλὰ κἂν ἐπὶ τοῖς ζῶσιν ἀνδράσιν εὔξωμαι* (*εὔξομαι* Robort.).

---

507. *Θρηίκην* M. 514. *ἐνήλλου* recc.: *ἐνήλου* M. 515. *οἳ ἐγὼ* M. 525. *ὑμᾶς* recc.: *ἡμᾶς* M. 526. *πιστοῖσι* recc. aliquot: *πιστοῖσ* M. 529. *μὴ καί τι — πρόσθηται* recc.: *μη κέτι — πρόσθητε* M.

τῶν μεγαλαύχων καὶ πολυάνδρων
στρατιὰν ὀλέσας
ἄστυ τὸ Σούσων ἠδ' Ἀγβατάνων
πένθει ἀνοφερῷ κατέκρυψας.
πολλαὶ δ' ἀπαλαῖς χερσὶ καλύπτρας
κατερεικόμεναι
διαμυδαλέοις δάκρυσι κόλπους
τέγγουσ', ἄλγους μετέχουσαι.
αἱ δ' ἀβρόγοοι Περσίδες ἀνδρῶν
ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν,
λέκτρων εὐνὰς ἁβροχίτωνας,
χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι,
πενθοῦσι γόοις ἀκορεστοτάτοις.
κἀγὼ δὲ μόρον τῶν οἰχομένων
αἴρω δοκίμως πολυπενθῆ.

(Chorus)

str. 1. νῦν δὴ πρόπασα μὲν στένει
γαῖ' Ἀσιὰς ἐκκενουμένα·
Ξέρξης μὲν ἤγαγεν, ποποῖ,
Ξέρξης δ' ἀπώλεσεν, τοτοῖ,
Ξέρξης δὲ πάντ' ἐπέσπε δυσφρόνως
βαρίδες τε ποντίαι.
τίπτε Δαρεῖος μὲν οὕ-
τω τότ' ἀβλαβὴς ἐπῆν
τόξαρχος πολιάταις,
Σουσίδαις φίλος ἄκτωρ,
antistr. 1. πεζούς τε καὶ θαλασσίους
αἱ δ' ὁμόπτεροι κυανώπιδες

536. *κατασχίζουσαι, ἐνεργητικῶς.* 539. *ἁβρόγοοι αἱ ἐντρυφῶσαι τοῖς δάκρυσιν.* 545. *βαστάζω.* 547. *τῶν ἀνδρῶν.* 548. *εἰς τὸν πόλεμον.* 551. *βάριδες αἱ νῆες.* 555. *βασιλεύς.*

---

535. *ἀπαλαῖσ* M. 546. *νῦν δή* Porsonus: *νῦν γὰρ δὴ* M. 548. *μὲν* Porsonus: *μὲν γὰρ* M. 550—559. in margine addidit *m.* 551. *βαρίδεσσι ποντίαις* recc. 552. *τίπτε* recc. unus: *τί ποτε m.* 554. *πολήταισ m.* 555. *Σουσίδαις* recc.: *σουσίδεσ m.* 556. *τε καί* recc. aliquot: *τε γὰρ καὶ m.*

νᾶες μὲν ἄγαγον, ποποῖ,
νᾶες δ' ἀπώλεσαν, τοτοῖ,
νᾶες πανωλέθροισιν ἐμβολαῖς,
διὰ δ' Ἰαόνων χέρας;
τυτθὰ δ' ἐκφυγεῖν ἄνακτ'
αὐτὸν ὡς ἀκούομεν
Θρᾴκης ἀμπεδιήρεις
δυσχίμους τε κελεύθους.

str. 2. τοὶ δ' ἄρα πρωτόμοροι, φεῦ,
λειφθέντες πρὸς ἀνάγκαν, ἠέ,
ἀκτὰς ἀμφὶ Κυχρείας, ὀᾶ,
..... στένε καὶ δακνάζου,
βαρὺ δ' ἀμβόασον
οὐράνι' ἄχη, ὀᾶ,
τεῖνε δὲ δυσβάνκτον
βοᾶτιν τάλαιναν αὐδάν.

antistr. 2. γναπτόμενοι δ' ἁλὶ δεινά, φεῦ,
σκύλλονται πρὸς ἀναύδων, ἠέ
παίδων τᾶς ἀμιάντου, ὀᾶ,
πενθεῖ δ' ἄνδρα δόμος στερηθείς·
τοκέες δ' ἄπαιδες

561. περισσοὶ οἱ δύο δὲ καὶ τὸ ὡς. τὸ δ' ἑξῆς, μόγις δὲ διαφυγεῖν ἀκούομεν τὰς χεῖρας Ἰαόνων τὸν ἄνακτα. 562. ὃ ἡμεῖς λέγομεν παρ' ὀλίγον. 566. περὶ τῶν τεθνηκότων ἐν Σαλαμῖνι. πρωτόμοροι: οἱ πρῶτοι ἀποθανόντες. τὸ ἑξῆς τούτου ἐστί, σκύλλονται πρὸς ἀναύδων. 567. πρὸς ἀνάγκαν: τὴν τοῦ θανάτου. Ὅμηρος· ἐπεὶ κατὰ μοῖρ' ἐπέδησεν (Od. λ. 291). 568. τῆς Σαλαμῖνος. 569. παραγώγως ἀντὶ τοῦ δάκνου. 571. ἕως τοῦ οὐρανοῦ βόησον τὰ ἄχη. 572. θρηνητικήν. 573. βοητικήν. 575. τῶν ἰχθύων. 576. τῆς θαλάσσης· αὐτὴν γὰρ λέγει ἀμίαντον. 577. λείπει πᾶς.

---

560. *πανωλέθροισιν* recc.: *πανολεθρίοισιν*, priore *ο* mutato in *ω*, M. 564. *θρηίκησ* M. 565. *δυσχίμους* Arnaldus: *δυσχειμέρους* M. 568. *ἀκτᾶσ ἀμφι κυχρείασ* M. 575. *σκύλλονται* recc.: *σκύλονται* M. 578. *τοκέες* Porsonus: *τοκῆεσ* M. 578—79. *ἄπαιδεσ ἐραδαι | μόνι'* M. litteras supervacaneas, e quibus *ἔρανται* procuderunt recc., expulit Porsonus.

δαιμόνι᾽ ἄχη, ὀᾶ,
δυρόμενοι γέροντες
τὸ πᾶν δὴ κλύουσιν ἄλγος.
str. 3. τοὶ δ᾽ ἀνὰ γᾶν Ἀσίαν δὴν
οὐκέτι περσονομοῦνται,
οὐδ᾽ ἔτι δασμοφοροῦσιν
δεσποσύνοισιν ἀνάγκαις,
οὐδ᾽ ἐς γᾶν προπίτνοντες
ἄρξονται· βασιλεία
γὰρ διόλωλεν ἰσχύς.
antistr. 3. οὐδ᾽ ἔτι γλῶσσα βροτοῖσιν
ἐν φυλακαῖς· λέλυται γὰρ
λαὸς ἐλεύθερα βάζειν,
ὡς ἐλύθη ζυγὸν ἁλκᾶς.
αἱμαχθεῖσα δ᾽ ἄρουραν
Αἴαντος περικλύστα
νᾶσος ἔχει τὰ Περσῶν.

ΑΤ. φίλοι, κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ,
ἐπίσταται βροτοῖσιν ὡς, ὅταν κλύδων
κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ·
ὅταν δ᾽ ὁ δαίμων εὐροῇ, πεποιθέναι
τὸν αὐτὸν αἰεὶ δαίμον᾽ οὐριεῖν τύχης.
ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα·

583. ὑπὸ Περσῶν ἄρχονται. 587. τὰ τοιαῦτα πάντα κτητικὰ μακρὸν ἔχει τὸ α. αἱ γὰρ βασιλεῖαι ἔχουσι τοῦτο. 589. οὐδὲν γὰρ δεδίασιν οἱ ὑπήκοοι ἔτι. ἠλευθέρωται οὖν αὐτῶν ἡ γλῶσσα πρὸς τὸ κακηγορεῖν βασιλέα. 592. ἡ ἀλκή. 595. σώματα. 596. ἔθος ἔχουσιν οἱ δυστυχοῦντες δυστυχίαν φαντάζεσθαι, οἱ δὲ εὐτυχοῦντες εὐτυχίαν. 600. οὐριεῖν: οὐριοδρομεῖν, παρὰ τὸ Ὁμηρικόν (Od. σ. 136)· τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ᾽ ἦμαρ ἄγῃσι.

---

586. οὐδ᾽ Brunckius: οὔτ᾽ M. προπίτνοντες recc.: προσπίτνοντες M. 587. βασίλεια· ἡ βασιλικὴ M. glossema omiserunt recc. plerique. 592. ἀλκῆς, η in α mutato, M. 593. ἄρουραν Porsonus: ἄρουρα M. 596. ἔμπειρος recc.: ἔμπορος M. 600. τύχην Blomfieldus.

ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν,
βοᾷ δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος.
τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας.
τοιγὰρ κέλευθον τήνδ' ἄνευ τ' ὀχημάτων
χλιδῆς τε τῆς πάροιθεν ἐκ δόμων πάλιν
ἔστειλα, παιδὸς πατρὶ πρευμενεῖς χοὰς
φέρουσ', ἅπερ νεκροῖσι μειλικτήρια,
βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα,
τῆς τ' ἀνθεμουργοῦ στάγμα, παμφαὲς μέλι,
λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα,
ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο
ποτὸν παλαιᾶς ἀμπέλου γάνος τόδε·
τῆς τ' αἰὲν ἐν φύλλοισι θαλλούσης βίον
ξανθῆς ἐλάας καρπὸς εὐώδης πάρα,
ἄνθη τε πλεκτά, παμφόρου γαίας τέκνα.
ἀλλ', ὦ φίλοι, χοαῖσι ταῖσδε νερτέρων
ὕμνους ἐπευφημεῖτε, τόν τε δαίμονα
Δαρεῖον ἀνακαλεῖσθε, γαπότους δ' ἐγὰ
τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς.

(Dux chori)

ΧΟ. βασίλεια γύναι, πρέσβος Πέρσαις,
σύ τε πέμπε χοὰς θαλάμους ὑπὸ γῆς,
ἡμεῖς θ' ὕμνοις αἰτησόμεθα
φθιμένων πομπούς

602. ἀνταῖα: ἐναντία φαίνεται τὰ θεῶν· οἷον, ἀντικειμένους ἡμῖν ὁρῶ τοὺς θεούς. 603. οὐ παιώνιος: ἀλλὰ φθαρτικός. 607. σημείωσαι τὸ εἶδος τῶν χοῶν. πατρὶ παιδός. 609. λευκῆς, ἢ ἀγελαίας, ἢ ἀσινοῦς. 610. φαιδρόν. 611. σὺν ὕδατι πηγαίῳ. καθαρᾶς. 612. ἀγριοποιοῦ διὰ τὴν μέθην. 614. ἀεὶ γὰρ ἔχει τὰ φύλλα· διὸ προσέθηκεν ἐν φύλλοισι θαλλούσης πρὸς τὸν καρπόν. οὐ γὰρ διηνεκής. 616. στέμματα. 618. ὡς θεὸς γὰρ παρὰ Πέρσαις τιμᾶται. 621. τιμία παρὰ Πέρσαις.

607. ἔστειλα recc.: ἐστείλατο M. 608. μειλικτήρια recc.: μηλικτήρια M. 615. ἐλαίας M. 616. πληκτὰ M. (ε superimposuit m). 619. ἀνακαλεῖσθε recc.: ἀνακαλεῖσθαι M. ἀγκαλεῖσθε Dindorfius.

εὔφρονας εἶναι κατὰ γαίας.
ἀλλὰ χθόνιοι δαίμονες ἄγνοί,
Γῆ τε καὶ Ἑρμῆ, βασιλεῦ τ' ἐνέρων,
πέμψατ' ἔνερθεν ψυχὴν ἐς φῶς·
εἰ γάρ τι κακῶν ἄκος οἶδε πλέον,
μόνος ἂν θνητῶν πέρας εἴποι.

(Chorus)

str. 1. η ῥ' ἀίει μου μακαρί-
τας ἰσοδαίμων βασιλεὺς
βάρβαρα σαφηνῆ
ἱέντος τὰ παναίολ' αἰ-
ανῆ δύσθροα βάγματα;
παντάλαν' ἄχη διαβοάσω;
νέρθεν ἆρα κλύει μου;

antistr. 1. ἀλλὰ σύ μοι, Γᾶ τε καὶ ἄλ-
λοι χθονίων ἡγεμόνες,
δαίμονα μεγαυχῆ
ἰόντ' αἰνέσατ' ἐκ δόμων,
Περσᾶν Σουσιγενῆ θεόν·
πέμπτετε δ' ἄνω οἷον οὔπω
Περσὶς αἶ' ἐκάλυψεν.

str. 2. ἦ φίλος ἀνήρ, φίλος ὄ-
χθος· φίλα γὰρ κέκευθεν ἤθη.
Ἀιδωνεὺς δ' ἀναπομ-
πὸς ἀνείης Ἀιδωνεὺς
Δαρεῖον, οἷον ἄνακτα Δαρειάν, ἠέ.

628. τὴν Δαρείου. 631. μακαρίτης ὁ τεθνεώς, μακάριος ὁ ζῶν. 636. θρηνητικά. 639. τὸν καταχθόνιον (l. τῶν καταχθονίων). 641. αἰνέσατε ἐλθεῖν ἐξ Ἅιδου. 645. τάφος. 649. τὸν μόνον γενόμενον βασιλέα διὰ τὸ κηδεμονικόν. ἔοικε δὲ ὁ Δαρεῖος καὶ Δαρειὰν λέγεσθαι. ἢ τὴν Δαρείαν ψυχὴν ἀνάπεμψον.

631. fort. ἆρ' μου recc.: μοι M. 640. μεγαυχῆ recc. unus: μεγαλαυχῆ M. 645. ἀνὴρ M. ἦ φίλος ὄχθος M. particulam delendam esse vidit Arnaldus. 648. ἀνείης Brunckius: ἂν εἴη M.

antistr. 2. οὔτε γὰρ ανδρας ποτ' ἀπώλ-
λυ πολεμοφθόροισιν ἄταις,
θεομήστωρ δ' ἐκικλή-
σκετο Πέρσαις, θεομήστωρ δ'
ἔσκεν, ἐπεὶ στρατὸν εὖ ἐποδώκει, ἠέ.

str. 3. βαλλὴν ἀρχαῖος βαλλὴν ἴθι, ἰκοῦ,
ἔλθ' ἐπ' ἄκρον κόρυμβον ὄχθου,
κροκόβαπτον ποδὸς εὔμαριν ἀείρων,
βασιλείου τιάρας φάλαρον πιφαύσκων.
βάσκε πάτερ ἄκακε Δαρειάν, οἲ.

antistr. 3. ὅπως καινά τε κλύῃς νέα τ' ἄχη,
δέσποτα δεσπότου, φάνηθι.
Στυγία γάρ τις ἐπ' ἀχλὺς πεπόταται·
νεολαία γὰρ ἤδη κατὰ πᾶσ' ὄλωλεν.
βάσκε πάτερ ἄκακε Δαρειάν, οἲ.

epod. αἰαῖ αἰαῖ.
ὦ πολύκλαυτε φίλοισι θανών,
τί τάδε δυνάτα δυνάτα
περὶ τᾷ σᾷ δίδυμα διαγόεν ἁμάρτια
πάσᾳ γᾷ τᾷδε,
ἐξέφθινται τρίσκαλμοι
νᾶες ἄναες ἄναες.

654. ὑπὸ τὸν ἑαυτοῦ πόδα ἡνιόχει. 655. βαλῆνα τὸν βασιλέα. Εὐφορίων δὲ Θουρίων φησὶ τὴν διάλεκτον. βασιλεὺς κατὰ Θουρίους. 657. εἶδος ὑποδήματος. 658. τιάρας: τῆς κυρβασίας. φαίνων, δεικνύων τῆς περικεφαλαίας τὸν λόφον. 664. ὡς ἐπῳδῇ κέχρηται τῇ βάσκε πάτερ. 667. ἀντὶ τοῦ δυνάστα. 668. δύο, Πέρσου καὶ Ξέρξου. ἁμάρτια: ὁμοῦ ἡρμοσμένα. γρ. (τινὲς Dindorf.) δὲ τὰ ἁμαρτήματα. 671. αἱ μηκέτι νῆες. ἀπώλοντο γάρ.

---

650. οὐδέ Dindorfius. ἀπώλλυ recc.: ἀπόλλυ M. 654. ὑποδώκει M. εὖ ἐποδώκει m εὖ ποδούχει Dindorfius. 658. τιήρασ M. 659. δαριανοὶ M. δαρειὰν οἲ m. 663. νεολαία M. 668. δίδυμα διαγόεν (δ' supra versum addidit m) ἁμαρτία (ἁμάρτια m) M. 669. πᾶσαν γᾶν τάνδε (πάσαι γᾶι ταῖδε m) M. 670. ἐξέφνντ' αἱ vel ἐξέφηντ' αἱ M. ἐξέφθινθ' αἱ recc., ἐξέφθινται Blomfieldus.

εἴδωλον ὦ πιστὰ πιστῶν ἥλικές θ' ἥβης ἐμῆς
Δαρείου. Πέρσαι γεραιοί, τίνα πόλις πονεῖ πόνον;
στένει, κέκοπται, καὶ χαράσσεται πέδον.
λεύσσων δ' ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας
ταρβῶ, χοὰς δὲ πρευμενὴς ἐδεξάμην.
ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑστῶτες τάφου
καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις
οἰκτρῶς καλεῖσθέ μ', ἐστὶ δ' οὐκ εὐέξοδον,
ἄλλως τε πάντως χοὶ κατὰ χθονὸς θεοὶ
λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι.
ὅμως δ' ἐκείνοις ἐνδυναστεύσας ἐγὼ
ἥκω· τάχυνε δ', ὡς ἄμεμπτος ὦ χρόνου.
τί ἐστι Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν;
str. XO. σέβομαι μὲν προσιδέσθαι,
σέβομαι δ' ἀντία λέξαι
σέθεν ἀρχαίῳ περὶ τάρβει.
ΔΑ. ἀλλ' ἐπεὶ κάτωθεν ἦλθον σοῖς γόοις πεπει-
σμένος,
μή τι μακιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγων
εἰπὲ καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ
μεθείς.
antistr. XO. δίεμαι μὲν χαρίσασθαι,
δίεμαι δ' ἀντία φάσθαι,
λέξας δύσλεκτα φίλοισιν.
ΔΑ. ἀλλ' ἐπεὶ δέος παλαιὸν σοὶ φρενῶν ἀνθίσταται,

672. ὑποκρίνεται ὁ Δαρεῖος. ἐκ πιστῶν πατέρων πιστοὶ υἱοί. 678. μεγάλως θρηνοῦντες. 679. οὐκ εὐέξοδον: οὐ δυνατὸν ταχέως ἐξιέναι. ἀπολογεῖται δὲ ὡς βραδύνας. 682. μεγάλα δυνηθεὶς παρ' αὐτοῖς. 684. νεωστὶ παρὰ τὴν αἰχμὴν γενόμενον. 689. μήκους ἐχόμενον. 691. τὰ πρὸς χάριν εἰπεῖν δέδια μέν σοι. δέδια. 692. ἀληθεῦσαι· λυπηθήσῃ γάρ.

---

673. πόλεισ M. 678. ὀρθιάζοντεσ Robortellus: ροθιάζοντεσ M. 679. καλεῖσθε recc.: καλεῖσθαι M. 683. τάχυνε M. 684. ἐνβριθὲσ M. 685. σέβομαι M. 688. πεπεισμένοσ addidit m. 691. 692. δίεμαι Hermannus: δείομαι M bis.

τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ', εὐγενὲς γύναι,
κλαυμάτων λήξασα τῶνδε καὶ γόων σαφές τί μοι
λέξον. ἀνθρώπεια δ' ἄν τοι πήματ' ἂν τύχοι βροτοῖς.
πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ
γίγνεται θνητοῖς, ὁ μάσσων βίοτος ἢν ταθῇ πρόσω.
ΑΤ. ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμῳ,
ὡς, ἕως τ' ἔλευσσες αὐγὰς ἡλίου, ζηλωτὸς ὢν
βίοτον εὐαίωνα Πέρσαις ὡς θεὸς διήγαγες,
νῦν τέ σε ζηλῶ θανόντα, πρὶν κακῶν ἰδεῖν βάθος·
πάντα γάρ, Δαρεῖ', ἀκούσῃ μῦθον ἐν βραχεῖ χρόνῳ·
διαπεπόρθηται τὰ Περσῶν πράγμαθ', ὡς εἰπεῖν
ἔπος.
ΔΑ. τίνι τρόπῳ; λοιμοῦ τις ἦλθε σκηπτός, ἢ στάσις
πόλει;
ΑΤ. οὐδαμῶς, ἀλλ' ἀμφ' Ἀθήνας πᾶς κατέφθαρται στρατός.
ΔΑ. τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; φράσον.
ΑΤ. θούριος Ξέρξης, κενώσας πᾶσαν ἠπείρου πλάκα.
ΔΑ. πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας;
ΑΤ. ἀμφότερα· διπλοῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν.
ΔΑ. πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸς ἤνυσεν περᾶν;
ΑΤ. μηχαναῖς ἔζευξεν Ἕλλης πορθμόν, ὥστ' ἔχειν πόρον.
ΔΑ. καὶ τόδ' ἐξέπραξεν, ὥστε Βόσπορον κλῇσαι μέγαν;
ΑΤ. ὧδ' ἔχει· γνώμης δέ πού τις δαιμόνων ξυνήψατο.
ΔΑ. φεῦ, μέγας τις ἦλθε δαίμων, ὥστε μὴ φρονεῖν καλῶς.
ΑΤ. ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.

699. ἐν τῷ μακρῷ τοῦ βίου χρόνῳ. ὁ μείζων. 705. σημείωσαι τὸ ὡς ἔπος εἰπεῖν. 708. Ἡρόδοτος (7, 2) ζ' φησὶ Δαρείου παῖδας εἶναι, Ἑλλάνικος δὲ ιά. 709. τὸ ἅπλωμα, περιφραστικῶς τὴν ἤπειρον. 711. καὶ ναυτικὸν καὶ πεζόν. 713. ὥστ' ἐπέχειν τὸ ὕδωρ καὶ συνέχειν τὸν πόρον. 714. τὸν Ἑλλήσποντον. 715. ἴσως καὶ συνήργησεν αὐτῷ δαίμων τις.

---

697. δή τοι Hartung. et Dindorf. 699. γίνεται M. 700. εὐτυχεῖ πότμῳ recc.: εὐτυχεῖ (εῖ in ῇ mutato in litura) πότμον M. 705. εἰπεῖν ἔπος recc.: ἔποσ εἰπεῖν M. 707—730. paragraphis adpositis notantur in M. 711. δυοῖν στρατευμάτοιν recc.: δοιοῖν στρατηλάτοιν M. 712. τόσσοσ δε M. 714. κλῇισαι M. 715. ὡ^σδ' M.

ΔΑ. καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε;
ΑΤ. ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσε στρατόν.
ΔΑ. ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορί;
ΑΤ. πρὸς τάδ' ὡς Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει.
ΔΑ. ὦ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ.
ΑΤ. Βακτρίων δ' ἔρρει πανώλης δῆμος οὐδέ τις γέρων.
ΔΑ. ὦ μέλεος, οἵαν ἄρ' ἦβην ξυμμάχων ἀπώλεσεν.
ΑΤ. μονάδα δὲ Ξέρξην ἔρημον φασὶν οὐ πολλῶν μέτα
ΔΑ. πῶς τε δὴ καὶ ποῖ τελευτᾶν; ἔστι τις σωτηρία;
ΑΤ. ἄσμενον μολεῖν γέφυραν γαῖν δυοῖν ζευκτηρίαν.
ΔΑ. καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε, τοῦτ' ἐτήτυμον;
ΑΤ. ναί· λόγος κρατεῖ σαφηνὴς τοῦτό γ' οὐκ ἔνι στάσις.
ΔΑ. φεῦ, ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις, ἐς δὲ παῖδ' ἐμὸν
Ζεὺς ἀπέσκηψεν τελευτὴν θεσφάτων· ἐγὼ δέ που
διὰ μακροῦ χρόνου τάδ' ηὔχουν ἐκτελευτήσειν θεούς.
ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς συνάπτεται.
νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν ηὐρῆσθαι φίλοις.
παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἦνυσεν νέῳ θράσει·
ὅστις Ἑλλήσποντον ἱρὸν δοῦλον ὡς δεσμώμασιν
ἤλπισε σχήσειν ῥέοντα, Βόσπορον ῥόον θεοῦ,
καὶ πόρον μετερρύθμιζε, καὶ πέδαις ἀφυρηλάτοις
περιβαλὼν πολλὴν κέλευθον ἦνυσεν πολλῷ στρατῷ,
θνητὸς ὢν θεῶν δὲ πάντων ᾤετ', οὐκ εὐβουλίᾳ,

719. τῶν ναυτικῶν φθαρέντων οἱ ἐν φυταλίᾳ (Ψυτταλείᾳ recc.) εὐάλωτοι γεγένηνται. 722. τῆς ἀπολομένης. 723. ὅ ἐστι πάντες νέοι. 726. διαπράττεσθαι. ἐν ἐρωτήσει. 727. τὸν Ἑλλήσποντον, ὃς ζεύγνυσιν Ἀσίαν καὶ Εὐρώπην. γρ. φυγεῖν. 729. ἀμφιβολίας (ἀμφιβολία Victorius). τοῦτο οὐκ ἄδηλον. 730. ὡς τοῦ Δαρείου (l. μαντείου) εἰπόντος αὐτὸν ἀποβαλεῖν πολὺν στρατόν. 733. ὅταν, φησί, σπουδάζῃ τις εἰς κακὰ ἢ εἰς καλά, ὁ θεὸς συνεπιλαμβάνεται. 736. διὰ τὸ ἱδρῦσθαι αὐτόθι Διὸς ἱερόν, ὡς Μνασέας· ἢ τὸν ἀνειμένον, ὡς ἱερὸν ἶχθύν (Homer. Il. Π 407).

721. κενανδρίαν, ν finali in litura posito, M. 727. γαῖν margo Askewii ap. Butlerum: ἐν M. δοιοῖν M. 729. τοῦτο κοὐκ Dindorfius. 730. Ἀτοσσα. Δα — praescripta in M. 734. εὑρῆσθαι M.

καὶ Ποσειδῶνος κρατήσειν. πῶς τάδ' οὐ νόσος φρενῶν
εἶχε παῖδ' ἐμόν; δέδοικα μὴ πολὺς πλούτου πόνος
οὗμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγή.
ΑΤ. ταῦτα τοῖς κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται
θούριος Ξέρξης· λέγουσι δ' ὡς σὺ μὲν μέγαν τέκνοις
πλοῦτον ἐκτήσω σὺν αἰχμῇ, τὸν δ' ἀνανδρίας ὕπο
ἔνδον αἰχμάζειν, πατρῷον δ' ὄλβον οὐδὲν αὐξάνειν.
τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν
τήνδ' ἐβούλευσεν κέλευθον καὶ στράτευμ' ἐφ' Ἑλλάδα.
ΔΑ. τοιγάρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον
μέγιστον, ἀείμνηστον, οἷον οὐδέπω
τόδ' ἄστυ Σούσων ἐξεκείνωσεν πεσόν,
ἐξ οὗτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν,
ἓν' ἄνδρ' ἁπάσης Ἀσίδος μηλοτρόφου
ταγεῖν, ἔχοντα σκῆπτρον εὐθυντήριον.
Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ.
ἄλλος δ' ἐκείνου παῖς τόδ' ἔργον ἤνυσεν·
φρένες γὰρ αὐτοῦ θυμὸν ὠκοστρόφουν.
τρίτος δ' ἀπ' αὐτοῦ Κῦρος, εὐδαίμων ἀνήρ,
ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις·
Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο,
Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ·
θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ.
Κύρου δὲ παῖς τέταρτος ἴθυνε στρατόν.

742. δέδοικα μὴ ὁ πολὺς πλοῦτος ἁρπαγῇ ὁ ἐμὸς ὑπὸ τοῦ φθάσαντος. 743. τοῦ καταλαμβάνοντος. 747. οἰκουρεῖν. 750. τοῖς προτρεψαμένοις. εἰς φθορὰν χωρῆσαν. 752. ἐκενώθη τὰ Σοῦσα. 758. ὁ Ἀρταφέρνης, ὃν ἐτυμολογεῖ ὁ ἀρτίας ἔχων φρένας. ὁ Ἀρταφέρνης ἐξ ἐτυμολογίας. 759. Κῦρος πρῶτος προσεκτήσατο Πέρσαις τὴν ἀρχὴν Μήδων ἀφελόμενος. Κύρου υἱὸς Καμβύσης, ἀδελφοὶ δὲ κατὰ Ἑλλάνικον Μάραφις, Μέρφις. 762. συνήγαγεν τῇ ἰδίᾳ δυνάμει. 764. Καμβύσης.

---

741. *νόοσ*, correctum in *νόσοσ*, M. 743. *ἁρπαγῆι* M ante correcturam. 744. *ταῦτά τοι* Dindorfius. 745. *μέγαν* recc.: *μέγα* M. 756. *ἦν γὰρ* M. 758. *ὠακοστρόφουν* Porsonus: *οἰακοστρόφουν* M. 764. *ἤθυνε*, mutatum in *ἴθυνε*, M.

πέμπτος δὲ Μάρδος ἦρξεν, αἰσχύνη πάτρᾳ
θρόνοισί τ' ἀρχαίοισι· τὸν δὲ σὺν δόλῳ
Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις,
ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ' ἦν χρέος.
ἕκτος δὲ Μάραφις, ἕβδομος [δ'] Ἀρταφρένης.
κἀγὼ πάλου τ' ἔκυρσα τοῦπερ ἤθελον
κἀπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ.
ἀλλ' οὐ κακὸν τοσόνδε προσέβαλον πόλει·
Ξέρξης δ' ἐμὸς παῖς νέος ἐὼν νέα φρονεῖ
κοὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς.
εὖ γὰρ σαφῶς τόδ' ἴστ', ἐμοὶ ξυνήλικες,
ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ' ἔσχομεν,
οὐκ ἂν φανεῖμεν πήματ' ἔρξαντες τόσα.
ΧΟ. τί οὖν, ἄναξ Δαρεῖε, ποῖ καταστρέφεις
λόγων τελευτήν; πῶς ἂν ἐκ τούτων ἔτι
πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς;
ΔΑ. εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον,
μηδ' εἰ στράτευμα πλεῖον ἢ τὸ Μηδικόν·
αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει.
ΧΟ. πῶς τοῦτ' ἔλεξας, τίνι τρόπῳ δὲ συμμαχεῖ;

765. πέμπτος δὲ Μάρδος: ἡ γραφὴ ἡμάρτηται. τὸν γὰρ ἐπιθέμενον τῇ Καμβύσου ἀρχῇ μάγον ὄντα οὐδεὶς Μάρδον εἶπεν, οὔτε γένος, οὔτε ὄνομα. μήποτε οὖν γραπτέον Μάρδις αἰσχύνη πάτρᾳ. ὁμωνύμως (ὁμώνυμος recc.) γὰρ εἶναι ἴσως ὑπεκρίνετο Μερδίᾳ τῷ Κύρου παιδί, ἀδελφῷ τε Καμβύσου. αἰσχύνη δὲ πάτρᾳ, ὅτι μάγος ὢν πῶς ἔσπασε (περιέσπασε Dindorf.) Περσῶν ἀρχὴν εἰς μάγους. 767. τοῦτον Ἑλλάνικος Δαφέρνην καλεῖ. 770 (imo 769). κακῶς· μετὰ γὰρ τὴν τῶν μάγων καθαίρεσιν Δαρεῖος ὁ μέγας ἦρξεν. 770. ὅ δέ ἀντὶ τοῦ δὴ νῦν. 776. οἱ πρὸ τοῦ βασιλεύσαντες ἡμεῖς. 777. ὅσα νῦν. 783. αὐτὴ ἡ Ἑλλάς. ἡ Ἀθής.

---

765. δ' ⟨σ⟩μάρδοσ (ισ superimposuit *m*) M. πάτρῃ M. post 768 versus aliquot haustos esse indicavit Hermannus. 769. δ' addiderunt recc. 770. τ' recc.: δ' M. 771. πολλὰσ σὺνπολῶ (alterum λ addidit *m*) M. πολλά recc. 772. προσέβαλον M. 773. ἂν νέος Turnebus, φρονεῖ νέα Monkius. Fort. νέος ἔτ' ὤν. 778—791. personarum vices paragraphis adpositis notat M. 782. ἦν Brunckius.

ΔΑ. κτείνουσα λιμῷ τοὺς ὑπερπόλλους ἄγαν.
ΧΟ. ἀλλ' εὐσταλῆ τοι λεκτὸν ἀροῦμεν στόλον.
ΔΑ. ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις
στρατὸς κυρήσει νοστίμου σωτηρίας.
ΧΟ. πῶς εἶπας; οὐ γὰρ πᾶν στράτευμα βαρβάρων
περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο;
ΔΑ. παῦροί γε πόλλ' ὧν, εἴ τι πιστεῦσαι θεῶν
χρὴ θεσφάτοισιν, ἐς τὰ νῦν πεπραγμένα
βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ' οὔ.
κεἴπερ τάδ' ἐστί, πλῆθος ἔκκριτον στρατοῦ
λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος.
μίμνουσι δ' ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς
ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονί·
οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν,
ὕβρεως ἄποινα κἀθέων φρονημάτων·
οἳ γῆν μολόντες Ἑλλάδ' οὐ θεῶν βρέτη
ἠδοῦντο συλᾶν οὐδὲ πιμπράναι νεώς·
βωμοὶ δ' ἄϊστοι, δαιμόνων [θ'] ἱδρύματα
πρόρριζα φύρδην ἐξανέστραπται βάθρων.
τοιγὰρ κακῶς δράσαντες οὐκ ἐλάσσονα
πάσχουσι, τὰ δὲ μέλλουσι, κοὐδέπω κακῶν
κρηπὶς ὕπεστιν, ἀλλ' ἔτ' ἐκπαιδεύεται.
τόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς
πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο·

785. καρποὺς ἀρκοῦντας μὴ ἔχουσα. 786. εὔμετρον. 792. ἀφ' ὧν ταῦτα ἐτελέσθη, κἀκεῖνα συμβήσεται. 793. οὐ γὰρ τὰ μὲν συμβαίνει, τὰ δ' οὔ· ἀντὶ τοῦ πάντα συμβαίνει. 795. ὁ Ξέρξης. 797. ἀντὶ τοῦ, λιπαίνει τὴν Βοιωτίαν ὁ Ἀσωπός. πίασμα ἀντὶ τοῦ λίπασμα. 798. τὴν ἐν Πλαταιαῖς πεζομαχίαν φησίν, ἣν πρὸς Λάκωνας ἡσσήθησαν. 801. ἐνεπίμπρασαν γὰρ τὰ ἱερά. 806. θεμέλιον. αὔξεται τὰ κακά. 808. Λακωνικῆς.

785. ὑπερπόλους (quod in ὑπερπόλλους, post eraso λ in ὑπερπώλους mutavit *m*) M. 786. εὐσταλῆ recc.: εὐτελῆ, τ in στ mutato, M. 787. τόποις recc.: τρόποις M. 797. φίλον recc.: φίλος M. 798. ὕψιστε παμμένει M. 801. πιπράναι M. 802. θ' addiderunt recc. 806. ἐκπιδύσται Schuetzius. 808. πλατέων M. Δωρίδος recc.: δωριάδος M.

ὅτινες νεηρῶν δὲ καὶ τριτοσπόρῳ γονῇ
ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν
ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.
ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν
ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.
τοιαῦθ' ὁρῶντες τῶνδε τἀπιτίμια
μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
ὑπερφρονήσας τὸν παρόντα δαίμονα
ἄλλων ἐρασθεὶς ὄλβον ἐκχέῃ μέγαν.
Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν
φρονημάτων ἔπεστιν, εὔθυνος βαρύς.
πρὸς ταῦτ' ἐκεῖνον σωφρονεῖν κεχρημένοι
πινύσκετ' εὐλόγοισι νουθετήμασιν,
λῆξαι θεοβλαβοῦνθ' ὑπερκόμπῳ θράσει.
σὺ δ', ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη,
ἐλθοῦσ' ἐς οἴκους κόσμον ὅστις εὐπρεπὴς
λαβοῦσ' ὑπαντίαζε παιδί. παντὶ γὰρ
κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι
στημορραγοῦσι ποικίλων ἐσθημάτων.
ἀλλ' αὐτὸν εὐφρόνως σὺ πράυνον λόγοις·
μόνης γάρ, οἶδα, σοῦ κλύων ἀνέξεται.
ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω.
ὑμεῖς δέ, πρέσβεις, χαίρετ', ἐν κακοῖς ὅμως
ψυχὴν διδόντες ἡδονῇ καθ' ἡμέραν,
ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.

XO. ἦ πολλὰ καὶ παρόντα καὶ μέλλοντ' ἔτι
ἤλγησ' ἀκούσας βαρβάροισι πήματα.

809. ὅτινες: οἱ σωροὶ καίπερ φωνὴν μὴ ἀφιέντες δείξουσι τὸ γένος (γεγονός vel γενόμενον?). τριτοσπόρῳ δέ, τρίτῃ τῶν μεταγενεστέρων γενεᾷ. 817. τὴν εὐδαιμονίαν. 818. τῶν μὴ προσηκόντων εὔθυνος, δικαστής. 820. τὸν Ξέρξην. 825. ὑπὸ γὰρ τοῦ ἄλγους τῶν κακῶν πάντα ἀμφὶ σώματι στημονορραγοῦσι λακίδες, οἷον διαρρέουσιν. 827. διαρρέουσιν.

---

810. σημαινοῦσιν M. 825. παντί Canterus: πάντα M. 832. ψυχὴν — ἡδονῇ Pauwius: ψυχῇ — ἡδονὴν M.

AT. ὦ δαῖμον, ὡς με πόλλ' ἐσέρχεται κακὰ
ἄλγη, μάλιστα δ' ἥδε συμφορὰ δάκνει,
ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι
ἐσθημάτων κλύουσαν, ἥ νιν ἀμπέχει.
ἀλλ' εἶμι, καὶ λαβοῦσα κόσμον ἐκ δόμων
ὑπαντιάζειν ἐμῷ παιδὶ πειράσομαι·
οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

str. 1 *XO.* ὦ πόποι, ἦ μεγάλας ἀγαθᾶς τε πολισσονόμου βιοτᾶς ἐπεκύρσαμεν,
εὖθ' ὁ γηραιὸς
πανταρκής, ἀκάκης, ἄμαχος βασιλεύς, ἰσόθεος Δαρεῖος ἄρχε χώρας.
antistr. 1. πρῶτα μὲν εὐδοκίμου στρατιᾶς ἀπεφαινόμεθ', ἠδὲ νομίσματα πύργινα
πάντ' ἐπεύθυνον.
νόστοι δ' ἐκ πολέμων ἀπόνους, ἀπαθεῖς, ... εὖ πράσσοντας ἄγον οἴκους.
str. 2. ὅσσας δ' εἶλε πόλεις πόρον οὐ διαβὰς Ἅλυος ποταμοῖο,

843. θαυμαστικῶς σύγκρισιν ποιεῖται τῶν ἐπὶ Δαρείου εὐτυχημάτων πρὸς τὰ νῦν κακά. 849. πρῶτα μὲν εὐδοκίμου: πρῶτα μὲν κατὰ πόλεμον διὰ στρατιᾶς εὐδοκιμοῦμεν καὶ ὁρμῶμεν κατὰ νενομισμένα ἔθη ταῖς πόλεσι ταῖς πορθουμέναις, οὐ τεμένη θεῶν πορθοῦντες, οὐ τάφους ἀνασπῶντες, ὡς Ξέρξης τολμήσας ἐποίησεν. περιβόητοι ἦμεν ἐν πολέμῳ. 850. τὰ νόμιμα πάντα τῶν τετειχισμένων πόλεων. οἱ δὲ δημωφελεῖς δῆμοι πάντα ἐπολιτεύοντο. 855. τὸ ὅσας θαυμαστικῶς· τῇ ἀρετῇ Ἕλληνας ὑπέταξεν, οὐκ ἀνάγκῃ ὁ Δαρεῖος. 856. σκληροτέρα ἡ συναλοιφὴ ποταμουδὲ ἀφ' ἑστίας, οἷόν ἐστι τὸ τουένεκα τούνεκα.

836. πολλὰ ἐισέρχεται M. κακῶν Bothius. 845. γηραιός recc.: γεραιὸσ M. 849. εὐδοκίμους στρατιάς Wellauerus. ἀπεφαινόμεθ' recc.: ἀποφαινόμεθ' M. 850. νομίσματα Hermannus: νομί | ματα M. 851. ἐπέ. θυνον, eraso ν ante θ, M. 854. οἴκους Porsonus: ἐσοικουσ M. 856. ποταμοῖο οὐδ' Burneius: ποταμοῦ δ' M.

οὐδ' ἀφ' ἑστίας συθείς,
οἷαι Στρυμονίου πελάγους Ἀχε-
λωΐδες εἰσὶ πάροικοι
Θρᾳκίων ἐπαύλων,
antistr. 2. λίμνας τ' ἔκτοθεν αἳ κατὰ χέρσον ἐ-
ληλαμέναι περὶ πύργον
τοῦδ' ἄνακτος ἄιον,
Ἕλλας [τ'] ἀμφὶ πόρον πλατὺν εὐχόμε-
ναι, μυχία τε Προποντίς,
καὶ στόμωμα Πόντου·
str. 3. νᾶσοί θ' αἳ κατὰ πρῶν' ἅλιον περίκλυστοι
τᾷδε γᾷ προσήμεναι,
οἷα Λέσβος, ἐλαιόφυτός τε Σάμος, Χίος,
ἠδὲ Πάρος, Νάξος, Μύκο-
νος, Τήνῳ τε συνάπτουσ'
Ἄνδρος ἀγχιγείτων.
antistr. 3. καὶ τὰς ἀγχιάλους ἐκράτυνε μεσάκτους,
Λῆμνον, Ἰκάρου θ' ἕδος,
καὶ Ῥόδον ἠδὲ Κνίδον Κυπρίας τε πόλεις, Πά-
ἠδὲ Σόλους, Σαλαμῖνά τε, [φον,

858. ὡς μέχρι Ὑπερβορέων παρατεινούσης τῆς ἀρχῆς Περσῶν. αἱ δίνγροι· Ἀχελῷον γὰρ πᾶν ὕδωρ λέγουσιν. 860. τῶν ἐπαυλισμάτων. 861. καὶ ἔξω τῆς θαλάσσης ὅσαι εἰσὶ μεσήπειροι. 862. τοῖς τείχεσι κεκυκλωμέναι. 863. τοῦ Δαρείου. ὑπήκουον. 864. ἀπὸ κοινοῦ τὸ οἷαί εἰσιν, (adde οἷαί εἰσιν) αἱ παρὰ τὸν Ἑλλήσποντον τὴν οἴκησιν αὐχοῦσαι. ἐπὶ πλατεῖ Ἑλλησπόντῳ (Homer. Il. *H.* 86). 866. ὁ Βόσπορος. 867. αἱ κατὰ τὸν Ἑλλήσποντον. 868. ὑποτασσόμεναι. 869. αὗται ἐν τῷ Αἰγαίῳ πελάγει εἰσίν. ὅτι μεταβέβηκεν εἰς τὸ Αἰγαιον πέλαγος· ἡ γὰρ Λέσβος ἐν τῷ Αἰγαίῳ ἐστίν. 873. ὑπὸ τὸ ἴδιον κράτος εἶχεν. μεσάγκτους δέ, μεσακτίους, παραθαλασσίους. 874. Λῆμνος Θρᾴκης ἐστί. αὗται δέ εἰσιν αἱ μεσάγκτιοι. Ἴκαρος τὸν κλύδωνα. 876. ἄποικοι γάρ εἰσιν οἱ ἐν Κύπρῳ Σαλαμίνιοι τῶν ἐν τῇ Ἀττικῇ. τὴν ἐν Κύπρῳ.

857. *συθείς* recc.: *συνθεὶσ* M. 860. *θρηΐκων* M. *θρηϊκίων* recc., *θρηκίων* editores. 864. *τ'* addunt recc. aliquot. *ἀρχόμεναι* Blomfieldus. 872. *ἀνδρῶν* M. *ὀσ.* 873. *μεσάκτους* recc.: *μεσάγκτουσ* M.

τᾶς νῦν ματρόπολις τῶνδ'
αἰτία στεναγμῶν.
epod. καὶ τὰς εὐκτεάνους κατὰ κλῆρον Ἰ-
αόνιον πολυάνδρους
Ἑλλάνων ἐκράτυνε σφετέραις φρεσίν.
ἀκάματον δὲ παρῆν σθένος
ἀνδρῶν τευχηστήρων,
παμμείκτων τ' ἐπικούρων.
νῦν δ' οὐκ ἀμφιλόγως θεότρεπτα τάδ'
αὖ φέρομεν πολέμοισι
δμαθέντες μεγάλως πλα-
γαῖσι ποντίαισιν.

Ξέρξης. ἰώ,
δύστηνος ἐγὼ στυγερᾶς μοίρας
τῆσδε κυρήσας ἀτεκμαρτοτάτης,
ὡς ὠμοφρόνως δαίμων ἐνέβη
Περσῶν γενεᾷ· τί πάθω τλήμων;
λέλυται γὰρ ἐμῶν γυίων ῥώμη
τήνδ' ἡλικίαν ἐσιδόντ' ἀστῶν.
εἴθ' ὄφελε, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν
τῶν οἰχομένων
θανάτου κατὰ μοῖρα καλύψαι.

(Dux chori)

ΧΟ. ὀτοτοῖ, βασιλεῦ, στρατιᾶς ἀγαθῆς
καὶ Περσονόμου τιμῆς μεγάλης,

879. Ἰονίδας (Ἰωνίδας Dind.) πόλεις. 881. τῷ ἰδίῳ λογισμῷ, οἷον φρόνιμος ὤν. 885. ἀλλὰ ἀληθῶς. ὑπὸ θεῶν ἐνεχθέντα καὶ θεοῖς δόξαντα. 887. δίχα ἅμα θέντες. 888. ταῖς ναυμαχίαις. 891. κακοτελευτήτου. 896. ὑπομιμνησκόμενος γὰρ τῶν παίδων αὐτῶν αἰσχύνῃ καὶ ἐλέῳ πιέζομαι. 900. τῆς τοῖς Πέρσαις νεμηθείσης.

877. ματρόπολις recc.: ματροπόλεισ M. 878. στεναγμῶν Hermannus: στεναγμάτων M. 879. εὐκτεάνους recc.: ὑκταιάνουσ M. 880. Ἰαόνιον Hermannus: ἰόνιον M. 881. leg. φρασίν. 884. παμμίκτων M. 885. θεότρεπτα recc. aliquot: θεόπρεπτα M. 889. paragraphum praefigit M. 899. ὀτοτοῖ Blomfieldus: ὀτοτοτοῖ M. βασιλεῦ recc.: βασιλεῦσ M.

κόσμου τ' ἀνδρῶν,
οὓς νῦν δαίμων ἐπέκειρεν.

γᾶ δ' αἰάζει τὰν ἐγγαίαν
ἥβαν Ξέρξᾳ κταμέναν Ἄιδου
σάκτορι Περσᾶν· ἀγδαβάται γὰρ
πολλοὶ φῶτες, χώρας ἄνθος,
τοξοδάμαντες, πάνυ γὰρ φύσεις
μυριὰς ἀνδρῶν ἐξέφθινται.
αἰαῖ κεδνᾶς ἀλκᾶς.
Ἀσία δὲ χθών, βασιλεῦ γαίας,
αἰνῶς αἰνῶς ἐπὶ γόνυ κέκλιται.

(Xerxes. Chorus)

str. 1. ΞΕ. ὅδ' ἐγών, οἰοῖ, αἰακτὸς
μέλεος γέννᾳ γᾷ τε πατρῴᾳ
κακὸν ἄρ' ἐγενόμαν.

str. 1. ΧΟ. πρόσφθογγόν σοι νόστου τὰν
κακοφάτιδα βοάν, κακομέλετον ἰὰν
Μαριανδυνοῦ θρηνητῆρος
πέμψω, πολύδακρυν ἰαχάν.

903. ἐγγαίαν: ἐγχωρίαν. τοῦτ' ἔστι τὴν ἐγχώριον· ἢ οὕτως, ἡ γῆ ἡμῶν τὴν ἔξω τῆς γῆς ἥβην σεσαγμένην ὑπὸ τοῦ Ἄιδου καὶ διὰ τὸν Ξέρξην κταμένην αἰάζει. 904. τὸ ἐξῆς, ἥβαν Περσᾶν. 905. σάκτορι: τῷ πληρωτῇ, παρὰ τὸ σάσσω· ὅτι δι' αὐτὸν ἀπέθανεν. ἔθνος Περσῶν. τὸ ἐξῆς, Ἀγδαβάται γὰρ ἐξέφθινται. 907. ἔκφυσις, γονή. τοῦτο διὰ μέσου. φύσις: ἡ πεφυρμένη καὶ ἐπὶ γῆς πεσοῦσα. 910. γαίας ἐπὶ γόνυ τὸ ἐξῆς. 912. θρηνητὸς τῇ γέννῃ. ἀντὶ τοῦ δυστυχῶς γεννηθείς. 915. προσφώνησίν σοι τοῦ νόστου πέμψω, τὴν κακοφάτιδα βοήν. 917. Καλλίστρατος ἐν δευτέρῳ περὶ Ἡρακλείας Τιτυοῦ τρεῖς παῖδας εἶναι, (Βῶρμον, add. Dindorf.) Πριόλαν καὶ Μαριανδυνόν, μόνον (δν recc.) κυνηγετοῦντα ἀπολέσθαι, καὶ μέχρι νῦν Μαριανδυνοὺς ἀκμῇ θέρους θρηνεῖν

901. in margine supplevit *m*. 905. *σάκτορ* (ι add. *m*) M. 907. *πάνυ ταρφύς τις* Franzius. 909. *ξέρξης*, 910. χ praefixum in M. 913. *πατρῴᾳ* Heathius: *πατρίαι* M. 915. *πρόσφθογγον* recc.: *προφθόγγου* M. 918. *πέμψω πέμψω* M, quorum alterum expulit Porsonus.

antistr. 1. ΞΕ. ἴετ' αἰανῆ πάνδυρτον
δύσθροον αὐδάν. δαίμων γὰρ ὅδ' αὖ
μετάτροπος ἐπ' ἐμοί.

antistr. 1. ΧΟ. ἥσω τοι καὶ πάνδυρτον
λαοπαθῆ τε σέβων ἁλίτυπά τε βάρη
πόλεως γέννας πενθητῆρος,
κλάγξω δ' αὖ γόον ἀρίθακρυν.

str. 2. ΞΕ. Ἰάνων γὰρ ἀπηύρα,
Ἰάνων ναύφαρκτος
Ἄρης ἑτεραλκὴς
νυχίαν πλάκα κερσάμενος
δυσδαίμονά τ' ἀκτάν.

str. 2. ΧΟ. οἰοιοῖ βόα καὶ πάντ' ἐκπεύθου,
ποῦ δὲ φίλων ἄλλος ὄχλος,
ποῦ δέ σοι παραστάται,
οἷος ἦν Φαρανδάκης,
Σούσας, Πελάγων,
Δοτάμας ἠδ' Ἀγαβάτας, Ψάμμις,

αὐτόν. τὸν δὲ Μαριανδυνὸν αὐξῆσαι μάλιστα τὴν θρηνητικὴν αὐλῳδίαν, καὶ διδάξαι Ὕαγνιν τὸν Μαρσύου πατέρα. καὶ αὐλοὶ δέ εἰσι Μαριανδυνοὶ ἐπιτηδειότητα ἔχοντες εἰς τὰς θρηνῳδίας. καὶ τὸ περιφερόμενον αὐλεῖ Μαριανδυνοῖς καλάμοις κρούων Ἰαστί. ὡς τῶν Μαριανδυνῶν θρηνῳδῶν ὄντων· καὶ αὐλοὶ δέ τινες λέγονται Μαριανδυνοί, ἐπιτηδείως ἔχοντες πρὸς θρήνους. 920. ἡ τύχη μεταβέβληται. 923. τὰ πάθη τῶν λαῶν σέβων. τὰ ἐν τῇ θαλάσσῃ συμβάντα ἀτυχήματα τῶν πολιτῶν 924. πένθους ἀξίας. 926. ὁ Ἀττικὸς στόλος ἀφείλετο τὴν Περσῶν σωτηρίαν. 927. ὁ τῶν Ἰώνων. 928. τοῦτ' ἔστι νικηφόρος. 929. ἀποκείρας στυγνὴν πλάκα κατὰ τὴν δυσδαίμονα ἀκτήν, τοῦτ' ἔστι κατὰ τὴν Σαλαμῖνα.

---

919. πάνδυρτον Passovius et Blomfieldus: καὶ πανόδυρτον M. 922. πάνδυρτον Blomfieldus: πανόδυρτον M. 923. σέβων Hermannus: σεβίζων M. 926. personae nota nulla in M. 927. ἰάων M. ναύφρακτος M. 931. 932. paragraphi praefixae in M. 931. ἐκπεύθου recc.: ἐκπεύθοι M. 936. Δοτάμας Hermannus: καὶ δότάμασ M.

Σουσισκάνης τ'
Ἀγβάτανα λιπών;

antistr. 2. ΞΕ. ὁλοοὺς ἀπέλειπον
Τυρίας ἐκ ναὸς
ἔρροντας ἐπ' ἀκταῖς
Σαλαμινιάσι στυφελοῦ
θείνοντας ἐπ' ἀκτᾶς.

antistr. 2. ΧΟ. οἰοιοῖ, ποῦ σοι Φαρνοῦχος
Ἀριόμαρδός τ' ἀγαθός,
ποῦ δὲ Σευάλκης ἄναξ,
ἢ Λίλαιος εὐπάτωρ,
Μέμφις, Θάρυβις,
καὶ Μασίστρας Ἀρτεμβάρης τ'
ἠδ' Ὑσταίχμας;
τάδε σ' ἐπανερόμαν.

str. 3. ΞΕ. ἰὼ ἰώ μοι,
τὰς ὠγυγίους κατιδόντες
στυγνὰς Ἀθάνας πάντες ἐνὶ πιτύλῳ,
ἔ ἔ ἔ, τλάμονες ἀσπαίρουσι χέρσῳ.

str. 3. ΧΟ. ἦ καὶ τὸν Περσῶν αὐτοῦ
τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν
μυρία μυρία πεμπαστὰν
Βατανώχου παῖδ' Ἄλπιστον
. . . . . .
τοῦ Σησάμα τοῦ Μεγαβάτα,

957. σημείωσαι ὅτι βασιλέως ὀφθαλμοὺς ἀριθμεῖ τὰς στρατιάς. τὸν ὄντα ὀφθαλμόν. 958. μετρητὴν στρατοπέδου, οἷον μυριάδα ἀριθμοῦντα τὰς ὅλας ἡγεμονίας. ἀριθμῆσαι κατὰ πεντάδα ἀνὰ μυρίους ἔχοντας (ἔχοντα Dind.) τοὺς ἀρχομένους.

---

942. *Σαλαμινιάσι* Hermannus: *σαλαμινῖσιν* M. 944. *ποῦ* Hermannus: *ποῦ δέ* M. 945. *Ἀριόμαρδός τ'* Brunckius: *κ' ἀριόμαρδόστ'* M. 951. *ἐπανερόμαν* Wellauerus: *ἐπανέρομαι* M. 952. *μοι* recc. aliquot: *μοῖ μοῖ* M. 956. *τὸν*, mutatione factum e *τῶν*, M. 959. *ἄλπνιστον* Weckleinius.

Πάρθον τε, μέγαν τ' Οἰβάρην
ἔλιπες ἔλιπες; ὦ ὦ [ὦ] δᾴων.
Πέρσαις ἀγαυοῖς κακὰ πρόκακα λέγεις.

antistr. 3. ΞΕ. ἴυγγά μοι δῆτ'
ἀγαθῶν ἑτάρων ὑπομιμνήσκεις, 965
[ἄλαστ'] ἄλαστα στυγνὰ πρόκακα λέγων.
βοᾷ βοᾷ μελέων ἔντοσθεν ἦτορ.

antistr. 3. ΧΟ. καὶ μὴν ἄλλους γε ποθοῦμεν,
Μάρδων ἀνδρῶν μυριόνταρχον
Ξάνθην, ἄρειόν τ' Ἀγχάρην, 970
Δίαιξίν τ' ἠδ' Ἀρσάκην
ἱππιάνακτας,
Κηγδαδάταν καὶ Λυθίμναν
Τόλμον [τ'] αἰχμᾶς ἀκόρεστον.
ἔταφον ἔταφον, οὐκ ἀμφὶ σκηναῖς 975
τροχηλάτοισιν ὄπιθεν ἑπόμενοι.

(Xerxes, chorus)

str. 1. ΞΕ. βεβᾶσι γὰρ οἵπερ ἀγρόται στρατοῦ.
ΧΟ. βεβᾶσιν, οἴ, νώνυμοι.
ΞΕ. ἰὴ ἰή, ἰὼ ἰώ.
ΧΟ. ἰὼ ἰώ, δαίμονες, 980

962. διακοπτικῶν πολεμίων κακῶν. 964. φιλίαν. 967. παρὰ τὸ κραδίη δέ οἱ ἔνδον ὑλάκτει (Hom. Od. v. 13). 969. ἔθνος Περσικόν. 970. λείπει ὁ καί. 972. τοὺς ἄνακτας τῶν ἵππων. 975. ἀπέθανον οὐκ ἐπὶ ὀχημάτων ὄντες, ἀλλὰ γυμνοὶ καθεστηκότες. 977. γρ. καὶ ἀκρόται· ἐξ οὗ ἔσται ἀπὸ τοῦ ἄκρου· εἰ δὲ ἀγρόται, ἀπὸ τοῦ ἄγειν καὶ ἀγείρειν. οἱ ἄρχοντες· εἰ δὲ ἀκρόται, οἱ ἄκροι. 978. τὸ οἴ θρηνητικῶς.

961. Οἰβάρην recc.: οιβάρην | τ' M. 962. tertium ὦ addidit Dindorfius. 966. ἄλαστ' addidit Hermannus. 967. ἔντοσθεν Blomfieldus: ἔνδοθεν M. 968. ἄλλους Prienius: ἄλλο M. 969. μυριόνταρχον M. μυριοταγόν Dindorfius. 974. τ' add. recc. aliquot. 975. paragraphum praefigit M. 976. ὄπιθεν ἑπόμενοι Wellauerus et Blomfieldus: ὄπισθεν δ' ἑπόμενοι M. 977. 978. personarum notae nullae in M. 977. τοίπερ Passovius. An τὰρ ? ἀγρέται Toupius. 978. νώνυμοι recc.: νώνυμνοι M. 979. paragraphum praefigit M., mox chori nota omissa.

ἔθετ' ἄελπτον κακὸν
διαπρέπον, οἷον δέδορκεν ἄτα.
antistr. 1. ΞΕ. πεπλήγμεθ' οἷαι δι' αἰῶνος τύχαι.
ΧΟ. πεπλήγμεθ', εὔδηλα γάρ,
ΞΕ. νέαι νέαι δύαι δύαι.
ΧΟ. Ἰαόνων ναυβατᾶν
κύρσαντες οὐκ εὐτυχῶς.
δυσπόλεμον δὴ γένος τὸ Περσᾶν.
str. 2. ΞΕ. πῶς δ' οὔ; στρατὸν μὲν τοσοῦτον τάλας
πέπληγμαι.
ΧΟ. τί δ' οὐκ ὄλωλεν, μεγάλατε Περσᾶν;
ΞΕ. ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς;
ΧΟ. ὁρῶ ὁρῶ.
ΞΕ. τόνδε τ' ὀιστοδέγμονα
ΧΟ. τί τόδε λέγεις σεσωσμένον;
ΞΕ. θησαυρὸν βελέεσσιν;
ΧΟ. βαιά γ' ὡς ἀπὸ πολλῶν.
ΞΕ. ἐσπανίσμεθ' ἀρωγῶν.
ΧΟ. Ἰάνων λαὸς οὐ φυγαίχμας.
antistr. 2. ΞΕ. ἀγανόρειος· κατεῖδον δὲ πῆμ' ἄελπτον.
ΧΟ. τραπέντα ναύφαρκτον ἐρεῖς ὅμιλον;
ΞΕ. πέπλον δ' ἐπέρρηξ' ἐπὶ συμφορᾷ κακοῦ.

982. οἷον κακὸν ἡ Ἄτη ἐφορᾷ. 983. γρ. δαίμονος τύχαι. 988. κακωθὲν πολέμῳ καὶ δυστυχῆσαν. 989. κόπτομαι, θρηνῶ ὀλέσας τοσοῦτον στρατόν. 990. λείπει κακά. ἢ στικτέον ἐν τῷ τί δέ· εἶτα· οὐχὶ τὰ μεγάλα Περσῶν ὄλωλεν; ἵνα λείπῃ τὸ τί δὲ ὅπερ λέλειπται. 991. θεωρεῖς τὸ περίλοιπον ἐμὲ λείψανον τῆς ὅλης στρατιᾶς. οἷον στόλου. 995. τὴν φαρέτραν. 996. ὀλίγα ἐσώθη ἀπὸ πολλῆς πανοπλίας. 998. ἐρωτηματικῶς. 1000. τὸν ἡμῶν ναυτικὸν λαόν. 1001. τοῦτο καὶ ὁ ἄγγελος προεῖπεν.

981. ἔθεσθ' Schneiderus. 983. in margine supplevit m. 985. 986. personarum notae nullae in M. 986. Ἰαόνων recc.: ἰάνων M. ναυβάτων vel ναυβάταν M. 988. περσῶν vel περσᾶν M. 989—992. paragraphos praefigit M. 989. τί δ' Heimsoethius. 993. τόνδε Porsonus: τὰν δὲ M. 994—1001. paragraphos praefigit M. 994. σεσωσμένον M. 995. βελέεσσιν Hermannus: βέλεσσιν M. 998. Ἰάνων Passovius: ἰαόνων M. 1000. ναύφρακτον M.

ΧΟ. παπαῖ παπαῖ.
ΞΕ. καὶ πλέον ἢ παπαῖ μὲν οὖν.
ΧΟ. δίδυμα γάρ ἐστι καὶ τριπλᾶ.
ΞΕ. λυπρά, χάρματα δ' ἐχθροῖς.
ΧΟ. καὶ σθένος γ' ἐκολούσθη.
ΞΕ. γυμνός εἰμι προπομπῶν.
ΧΟ. φίλων ἄταισι ποντίαισιν.
str. 3. ΞΕ. δίαινε δίαινε πῆμα· πρὸς δόμους δ' ἴθι.
ΧΟ. αἰαῖ αἰαῖ, δύα δύα.
ΞΕ. βόα νυν ἀντίδουπά μοι.
ΧΟ. δόσιν κακὰν κακῶν κακοῖς.
ΞΕ. ἴυζε μέλος ὁμοῦ τιθείς.
ΧΟ. ὀτοτοτοῖ.
βαρεῖά γ' ἄδε συμφορά.
οἳ μάλα καὶ τόδ' ἀλγῶ.
antistr. 3. ΞΕ. ἔρεσσ' ἔρεσσε καὶ στέναζ' ἐμὴν χάριν.
ΧΟ. διαίνομαι γοεδνὸς ὤν.
ΞΕ. βόα νυν ἀντίδουπά μοι.
ΧΟ. μέλειν πάρεστι, δέσποτα.
ΞΕ. ἐπορθίαζέ νυν γόοις.
ΧΟ. ὀτοτοτοῖ.
μέλαινα δ' αὖ μεμίξεται,
οἵ, στονόεσσα πλαγά.

1003. ὑπερβαίνει θρῆνον. 1006. τῶν Περσῶν. 1009. δάκρυε τὸ ἀτύχημα. 1012. δίδου τοῖς κακοῖς τὴν κακὴν δόσιν, ὃ ἐστι τὰ δάκρυα. 1013. συντιθεὶς μέλος θρήνει, ἀντὶ (τοῦ add. Dindorf.) εὐρύθμως. 1017. τύπτε σεαυτὸν εἰς ἐμὴν χάριν. 1020. ὁ θρῆνος. 1021. ἐπεκτεταμένως θρήνει. 1023. πενθήρης.

1002. personae nota abest in M; tum quattuor versibus qui sequuntur addit paragraphos. 1009. paragrapho notat M, 1010. nullam addit notam, 1013. 1014. paragraphos praefigit, 1015. Xerxi, 1016. choro tribuit, 1017—1024. singulis notantur paragraphis, cuius nota deest 1025; habent deinde paragraphos singulas 1026. 1027. et praeter 1028. qui sequuntur 1029—1042. 1013. ἴυζ' ὁμοῦ τιθεὶς μέλος Weilius. 1017. χάριν addidit *m*. 1018. γοεδνὸς recc.: γέεδνος M. 1023. αὖ in M literam *v* in litura habere dicitur et accentum addidisse *m*; unde ἀμμεμίξεται Dindorfius. 1024. οἵ Lachmannus: μοι M.

str. 4. ΞΕ. καὶ στέρν᾽ ἄρασσε κἀπιβόα τὸ Μύσιον.
ΧΟ. ἄνι᾽ ἄνια.
ΞΕ. καί μοι γενείου πέρθε λευκήρη τρίχα.
ΧΟ. ἄπριγδ᾽ ἄπριγδα μάλα γοεδνά.
ΞΕ. ἀΰτει δ᾽ ὀξύ.
ΧΟ. καὶ τάδ᾽ ἔρξω.
antistr. 4. ΞΕ. πέπλον δ᾽ ἔρεικε κολπίαν ἀκμῇ χερῶν.
ΧΟ. ἄνι᾽ ἄνια.
ΞΕ. καὶ ψάλλ᾽ ἔθειραν καὶ κατοίκτισαι στρατόν.
ΧΟ. ἄπριγδ᾽ ἄπριγδα μάλα γοεδνά.
ΞΕ. διαίνου δ᾽ ὅσσε.
ΧΟ. τέγγομαί τοι.
epod. ΞΕ. βόα νυν ἀντίδουπά μοι.
ΧΟ. οἰοῖ οἰοῖ.
ΞΕ. αἰακτὸς ἐς δόμους κίε.
ΧΟ. ἰὼ ἰώ, Περσὶς αἶα δύσβατος.
ΞΕ. ἰωὰ δὴ κατ᾽ ἄστυ.
ΧΟ. ἰωὰ δῆτα, ναὶ ναί.
ΞΕ. γοᾶσθ᾽ ἁβροβάται.
ΧΟ. ἰὼ ἰώ, Περσὶς αἶα δύσβατος.
ΞΕ. η ή η ή, τρισκάλμοισιν,
η ή η ή, βάρισιν ὀλόμενοι.
ΧΟ. πέμψω τοί σε δυσθρόοις γόοις.

1025. οἱ γὰρ Μυσοὶ καὶ οἱ Φρύγες εἰσὶ μάλιστα θρηνητικοί. 1028. ἐπίφθεγμα ἐπὶ τῶν μετὰ σφοδρότητος τιλλόντων τὰς τρίχας. 1033. ψάλλε ἀντὶ τοῦ τίλλε. καὶ χοιροψάλας Διόνυσος ὁ τίλλων τὰ μόρια τῶν γυναικῶν. 1047. προπέμψω.

1025. κἀπιβῶ Dindorfius. 1026. 1032. ἄνια ἄνια M. 1027. πέρθε recc.: ὕπερθε M. 1028. 1034. ἄπριγδα ἄπριγδα M. 1029. ἀΰτει M, ἄὔτει *m*. 1031. ἔρεικε recc.: ἔρειδε M. subscriptum in M: *Αἰσχύλου Πέρσαι.*

ΑΙΣΧΥΛΟΥ ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΣ.

Ὑπόθεσις τῶν Ἑπτὰ ἐπὶ Θήβας.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν Θήβαις ὑπόκειται, ὁ δὲ χορὸς ἐκ Θηβαίων ἐστὶ παρθένων, ἡ δὲ ὑπόθεσις στρατιὰ Ἀργείων πολιορκοῦσα Θηβαίους, τοὺς καὶ νικήσαντας, καὶ θάνατος Ἐτεοκλέους καὶ Πολυνείκους. ἐδιδάχθη ἐπὶ Θεαγένους ὀλυμπιάδι οἱ (anno primo, a. Chr. n. 467). *ἐνίκα Λαΐῳ, Οἰδίποδι, Ἑπτὰ ἐπὶ Θήβας, Σφιγγὶ σατυρικῇ. δεύτερος Ἀριστίων* (*Ἀριστίας* Franzius) *Περσεῖ, Ταντάλῳ, Παλαισταῖς σατυρικοῖς* (l. *σατύροις*) *τοῖς Πρατίνου πατρός. τρίτος Πολυφράσμων Λυκουργείᾳ τετραλογίᾳ.*

τὰ τοῦ δράματος πρόσωπα·

Ἐτεοκλῆς
ἄγγελος κατάσκοπος
χορὸς παρθένων
Ἀντιγόνη
Ἰσμήνη
κῆρυξ.

Ἐτεοκλῆς. Κάδμου πολῖται, χρὴ λέγειν τὰ καίρια
ὅστις φύλασσει πρᾶγος ἐν πρύμνῃ πόλεως,
οἴακα νωμῶν, βλέφαρα μὴ κοιμῶν ὕπνῳ.
εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεοῦ·
εἰ δ' αὖθ', ὃ μὴ γένοιτο, συμφορὰ τύχοι,
Ἐτεοκλέης ἂν εἷς πολὺς κατὰ πτόλιν
ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις
οἰμώγμασίν θ', ὧν Ζεὺς ἀλεξητήριος
ἐπώνυμος γένοιτο Καδμείων πόλει.
ὑμᾶς δὲ χρὴ νῦν, καὶ τὸν ἐλλείποντ' ἔτι
ἥβης ἀκμαίας καὶ τὸν ἔξηβον χρόνῳ,
βλαστημὸν ἀλδαίνοντα σώματος πολύν,
ὥραν ἔχονθ' ἕκαστον, ὥστι συμπρεπές,
πόλει τ' ἀρήγειν καὶ θεῶν ἐγχωρίων
βωμοῖσι, τιμὰς μὴ ξαλειφθῆναί ποτε·
τέκνοις τε, γῇ τε μητρί, φιλτάτῃ τροφῷ·

1. λείπει τὸ ἐκεῖνον. καίρια δὲ τὰ ἀναγκαῖα· παρακαίρια γὰρ τὰ ἄδικα. 2. ἐν ἐξουσίᾳ. 3. τὸν τῆς πόλεως κυβερνήτην. 4. τῆς εὐπραγίας ἡ αἰτία ἐπὶ τοὺς θεούς (ἀναφέρεται add. recc.), τῆς δὲ δυσπραγίας ἐπὶ τοὺς ἄρχοντας. 6. ἀντὶ τοῦ μόνος. 7. λοιδόροις. τὸ ὑμνεῖσθαι μέσον. 8. ἀλεξητήριος Ζεὺς ἐν Θήβαις τιμᾶται. φησὶν οὖν, συμφώνως ἑαυτῷ τιμῷτο. 10. καὶ τὸν νέον καὶ τὸν αὔξοντα τὴν βλάστησιν τοῦ Διός (σώματος Ritschl). 11. τὸν ἔξω ἡλικίας, τὸν γέροντα. 12. αὐξάνοντα ἀνδρῶν νῦν οἷον καθὸ ἕκαστος δύναται βοηθεῖν. 13. ὡραν φροντίδα, ἡλικίαν, ἵν' ᾖ ὁ νοῦς οὕτως, ἕκαστον ὑμῶν ἔχοντα φροντίδα τῆς πόλεως· ἢ ἕκαστον πρὸς τὴν ἡλικίαν βοηθεῖν τῇ πόλει ὡς πρέπον. ἁρμόδιον. 16. κοινὸν τὸ ἀρήγειν.

6. πολὺς supra versum addit M. 13. ὥ(ὧ m)ραν τ', litteris ν et τ in litura scriptis a manu rec., M. ἔχονθ' rasura factum ex ἔχωνθ' M. ἕκαστος, littera finali σ in ν mutata a manu recentiori, M. ὥστις, altero σ eraso, M.

ἡ γὰρ νέους ἕρποντας εὐμενεῖ πέδῳ,
ἅπαντα πανδοκοῦσα παιδείας ὄτλον,
ἐθρέψατ' οἰκιστῆρας ἀσπιδηφόρους
πιστοὺς ὅπως γένοισθε πρὸς χρέος τόδε.
καὶ νῦν μὲν ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεός·
χρόνον γὰρ ἤδη τόνδε πυργηρουμένοις
καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ.
νῦν δ' ὡς ὁ μάντις φησίν, οἰωνῶν βοτήρ,
ἐν ὡσὶ νωμῶν καὶ φρεσίν, πυρὸς δίχα,
χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ·
οὗτος τοιῶνδε δεσπότης μαντευμάτων
λέγει μεγίστην προσβολὴν Ἀχαιΐδα
νυκτηγορεῖσθαι κἀπιβουλεύσειν πόλει.
ἀλλ' ἔς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων
ὁρμᾶσθε πάντες, σοῦσθε σὺν παντευχίᾳ,
πληροῦτε θωρακεῖα, κἀπὶ σέλμασιν
πύργων στάθητε, καὶ πυλῶν ἐπ' ἐξόδοις
μίμνοντες εὖ θαρσεῖτε, μηδ' ἐπηλύδων
ταρβεῖτ' ἄγαν ὅμιλον· εὖ τελεῖ θεός.
σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ
ἔπεμψα, τοὺς πέποιθα μὴ ματᾶν ὁδῷ·
καὶ τῶνδ' ἀκούσας οὔ τι μὴ ληφθῶ δόλῳ.

17. αὕτη. κυρίως ἐπὶ παίδων τὸ ἕρποντας. 18. ἐπιδεχομένη. πάντα πόνον τῆς παιδικῆς ἡλικίας ὑποδεχομένη. 20. πιστοὶ δηλονότι. πρὸς κίνδυνον ὑπὲρ αὐτῆς πρόθυμον (πρόθυμοι recc.). 21. ἀπὸ τοῦ ἐν ζυγῷ. 22. φυλασσομένοις ὑπὸ τοῦ θεοῦ. 24. σκοπός, ὁ Τειρεσίας. 25. οὐκ ἐμπύρ' συρόμενος (ἐμπύροις χρώμενος recc.). 26. ἐξ ἀκοῆς γὰρ τὰς πτήσεις διέκρινεν. οὐχ ὁρῶν ὁ Τειρεσίας ἐπέβαλε (ἐπέβαλλε recc.) τῇ τέχνῃ, ἑτέρου ὑπαγορεύοντος, οὐκ αὐτὸς ὢν αὐτόπτης τῶν ὀρνέων. μαντευτικούς. 27. ὁ Τειρεσίας. 29. ἐν νυκτὶ ἀγορεύεσθαι καὶ βουλεύεσθαι. 31. σοῦσθε: ἐπίρρημα παρακελεύσεως. ὡπλισμένοι. 32. τὰς ἐπάλξεις τῶν τειχῶν. τοῖς ἐπιβήμασι. κατεχρήσατο δέ. 34. τῶν πολεμίων. 35. καλὰ θεὸς παρέχει. 37. μὴ μάτην ὁρμῆσαι.

19. *οἰκητῆρας* recc. aliquot. 25. leg. *φρασίν*. 29. *νυκτηγορῆσθαι κἀπιβούλευσιν* Dindorfius. 36. *κατοπτῆρα*, cui σ finale addidit m. rec., M.

Ἄγγελος Ἐτεόκλεες, φέριστε Καδμείων ἄναξ,
κατά- ἦκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων,
σκοπος. αὐτὸς κατόπτης δ' εἰμ' ἐγὼ τῶν πραγμάτων.
ἄνδρες γὰρ ἑπτά, θούριοι λοχαγέται,
ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος
καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου,
Ἄρη τ', Ἐνυώ, καὶ φιλαίματον Φόβον
ὡρκωμότησαν ἢ πόλει κατασκαφὰς
θέντες λαπάξειν ἄστυ Καδμείων βίᾳ,
ἢ γῆν θανόντες τήνδε φυράσειν φόνῳ·
μνημεῖά θ' αὑτῶν τοῖς τεκοῦσιν εἰς δόμους
πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον, δάκρυ
λείβοντες, οἶκτος δ' οὔτις ἦν διὰ στόμα·
σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων
ἔπνει, λεόντων ὡς Ἄρη δεδορκότων.
καὶ τῶνδε πύστις οὐκ ὄκνῳ χρονίζεται.
κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν

43. ἐς μελάνδετον: τὸ μελανισθὲν τῷ αἵματι· ἢ τὸ ἐκ μελαινῶν βυρσῶν περιβεβλημένον. οὕτως δὲ θύοντες ἐπάνω τῶν ἀσπίδων ἐμαντεύοντο. τὸ μελάνδετον δὲ καλῶς ἂν ἐπὶ ξίφους ῥηθείη, ἐπὶ δὲ σάκους παρέλκει τῶ (τὸ recc.) δετον ὡς ἐπὶ τοῦ κελαινεφὲς τὸ νέφος. 47. ἐκκενώσειν, ἀπὸ τοῦ λαπάθου. 49. μνημεῖα: περόνας ἢ τρίχας ἤ τι τοιοῦτον. ἔθος δὲ ἦν τοὺς ἐν πολέμῳ τοῖς οἰκείοις πέμπειν σημεῖα ἢ περόνας ἢ ταινίας ἢ βοστρύχους ἤ τι τοιοῦτον. τὸ δὲ ἔστεφον ἀντὶ τοῦ ἐπλήρουν. πρὸς ἅρμα δὲ Ἀδράστου, ἐπεὶ Ἀμφιάραος αὐτοῖς ἐμαντεύσατο μόνον Ἄδραστον σωθήσεσθαι. τοῦτο δὲ ὡς ἀπὸ τῆς ἱστορίας ἔλαβεν, ὅτι ἐσώθη ὁ Ἄδραστος· ἐπεὶ πόθεν ἤδεσαν ὅτι διαφεύξεται; 50. τοῦτον γὰρ ἔφασκεν ὁ μάντις σωθήσεσθαι μόνον ἐκ τοῦ πολέμου. ἐπλήρουν. 51. οὐκ ἦν ἔλεος διὰ τῆς γλώττης αὐτῶν προϊὼν ἀποθηλύνων τὴν ὁρμήν. 54. καὶ τῶνδε πύστις: μετ' οὐ πολὺ δὲ ταῦτα γνώσῃ τῇ πείρᾳ. ἡ περὶ τούτων ἀκοὴ οὐ βραδέως γέγονεν· ταχὺ γὰρ ἤγγειλα. ἡ γνῶσις οὐκ εἰς μακρὰν πλησιάζεται. 55. κληρουμένους δ' ἔλειπον: κλήρους γὰρ ποιησάμενοι πρὸς μίαν πύλην ἐδέξαντο οἱ ἑπτὰ λοχαγέται.

---

48. πρόσθε φυράσειν Stobaeus Fl. 7, 11. 51. ἀνὰ στόμα Stobaeus. 54. τῷδε πίστις Stobaeus.

ΑΙΣΧΥΛΟΥ ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΣ.

τᾶς νῦν ματρόπολις τῶνδ'
αἰτίᾳ στεναγμῶν.
epod. καὶ τὰς εὐκτεάνους κατὰ κλῆρον Ἰ-
αόνιον πολυάνδρους
Ἑλλάνων ἐκράτυνε σφετέραις φρεσίν.
ἀκάματον δὲ παρῆν σθένος
ἀνδρῶν τευχηστήρων,
παμμείκτων τ' ἐπικούρων.
νῦν δ' οὐκ ἀμφιλόγως θεότρεπτα τάδ'
αὖ φέρομεν πολέμοισι
δμαθέντες μεγάλως πλα-
γαῖσι ποντίαισιν.

Ξέρξης. ἰώ,
δύστηνος ἐγὼ στυγερᾶς μοίρας
τῆσδε κυρήσας ἀτεκμαρτοτάτης,
ὡς ὠμοφρόνως δαίμων ἐνέβη
Περσῶν γενεᾷ· τί πάθω τλήμων;
λέλυται γὰρ ἐμῶν γυίων ῥώμη
τήνδ' ἡλικίαν ἐσιδόντ' ἀστῶν.
εἴθ' ὄφελε, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν
τῶν οἰχομένων
θανάτου κατὰ μοῖρα καλύψαι.

(Dux chori)

ΧΟ. ὀτοτοῖ, βασιλεῦ, στρατιᾶς ἀγαθῆς
καὶ Περσονόμου τιμῆς μεγάλης,

879. Ἰονίδας (Ἰωνίδας Dind.) πόλεις. 881. τῷ ἰδίῳ λογισμῷ, οἷον φρόνιμος ὤν. 885. ἀλλὰ ἀληθῶς. ὑπὸ θεῶν ἐνεχθέντα καὶ θεοῖς δόξαντα. 887. δίχα ἅμα ὄντες. 888. ταῖς ναυμαχίαις. 891. κακοτελευτήτου. 896. ὑπομιμνησκόμενος γὰρ τῶν παίδων αὐτῶν αἰσχύνῃ καὶ ἐλέῳ πιέζομαι. 900. τῆς τοῖς Πέρσαις νεμηθείσης.

877. *ματρόπολις* recc.: *ματροπόλεισ* M. 878. *στεναγμῶν* Hermannus: *στεναγμάτων* M. 879. *εὐκτεάνους* recc.: *ὑκταιάνουσ* M. 880. Ἰαόνιον Hermannus: *ϊόνιον* M. 881. leg. *φρασίν*. 884. *παμμίκτων* M. 885. *θεότρεπτα* recc. aliquot: *θεόπρεπτα* M. 889. paragraphum praefigit M. 899. *ὀτοτοῖ* Blomfieldus: *ὀτοτοτοῖ* M. *βασιλεῦ* recc.: *βασιλεῦσ* M.

κόσμου τ' ἀνδρῶν,
οὓς νῦν δαίμων ἐπέκειρεν.

γᾶ δ' αἰάζει τὰν ἐγγαίαν
ἦβαν Ξέρξᾳ κταμέναν Ἄιδου
σάκτορι Περσᾶν· ἀγδαβάται γὰρ
πολλοὶ φῶτες, χώρας ἄνθος,
τοξοδάμαντες, πάνυ γὰρ φύσεις
μυριὰς ἀνδρῶν ἐξέφθινται.
αἰαῖ κεδνᾶς ἀλκᾶς.
Ἀσία δὲ χθών, βασιλεῦ γαίας,
αἰνῶς αἰνῶς ἐπὶ γόνυ κέκλιται.

(Xerxes. Chorus)

str. 1. ΞΕ. ὅδ' ἐγών, οἰοῖ, αἰακτὸς
μέλεος γέννᾳ γᾷ τε πατρῴᾳ
κακὸν ἄρ' ἐγενόμαν.

str. 1. ΧΟ. πρόσφθογγόν σοι νόστου τὰν
κακοφάτιδα βοάν, κακομέλετον ἰὰν
Μαριανδυνοῦ θρηνητῆρος
πέμψω, πολύδακρυν ἰαχάν.

903. ἐγγαίαν: ἐγχωρίαν. τοῦτ' ἔστι τὴν ἐγχώριον· ἢ οὕτως, ἡ γῆ ἡμῶν τὴν ἔξω τῆς γῆς ἦβην σεσαγμένην ὑπὸ τοῦ Ἄιδου καὶ διὰ τὸν Ξέρξην κταμένην αἰάζει. 904. τὸ ἐξῆς, ἦβαν Περσᾶν. 905. σάκτορι: τῷ πληρωτῇ, παρὰ τὸ σάσσω· ὅτι δι' αὐτὸν ἀπέθανεν. ἔθνος Περσῶν. τὸ ἐξῆς, Ἀγδαβάται γὰρ ἐξέφθινται. 907. ἔκφυσις, γονή. τοῦτο διὰ μέσου. φύσις: ἡ πεφυρμένη καὶ ἐπὶ γῆς πεσοῦσα. 910. γαίας ἐπὶ γόνυ τὸ ἐξῆς. 912. θρηνητὸς τῇ γέννῃ. ἀντὶ τοῦ δυστυχῶς γεννηθείς. 915. προσφώνησίν σοι τοῦ νόστου πέμψω, τὴν κακοφάτιδα βοήν. 917. Καλλίστρατος ἐν δευτέρῳ περὶ Ἡρακλείας Τιτυοῦ τρεῖς παῖδας εἶναι, (Βῶρμον, add. Dindorf.) Πριόλαν καὶ Μαριανδυνόν, μόνον (δν recc.) κυνηγετοῦντα ἀπολέσθαι, καὶ μέχρι νῦν Μαριανδυνοὺς ἀκμῇ θέρους θρηνεῖν

901. in margine supplevit *m*. 905. σάκτορ (ι add. *m*) M. 907. πάνυ ταρφύς τις Franzius. 909. ξέρξης, 910. χ praefixum in M. 913. πατρῴᾳ Heathius: πατρίαι M. 915. πρόσφθογγον recc.: προφθόγγου M. 918. πέμψω πέμψω M, quorum alterum expulit Porsonus.

antistr. 1. ΞΕ. ἴετ' αἰανῆ πάνδυρτον
δύσθροον αὐδάν. δαίμων γὰρ ὅδ' αὖ
μετάτροπος ἐπ' ἐμοί.

antistr. 1. ΧΟ. ἦσω τοι καὶ πάνδυρτον
λαοπαθῆ τε σέβων ἁλίτυπά τε βάρη
πόλεως γέννας πενθητῆρος,
κλάγξω δ' αὖ γόον ἀρίδακρυν.

str. 2. ΞΕ. Ἰάνων γὰρ ἀπηύρα,
Ἰάνων ναύφαρκτος
Ἄρης ἑτεραλκὴς
νυχίαν πλάκα κερσάμενος
δυσδαίμονά τ' ἀκτάν.

str. 2. ΧΟ. οἰοιοῖ βόα καὶ πάντ' ἐκπεύθου,
ποῦ δὲ φίλων ἄλλος ὄχλος,
ποῦ δέ σοι παραστάται,
οἷος ἦν Φαρανδάκης,
Σούσας, Πελάγων,
Δοτάμας ἠδ' Ἀγαβάτας, Ψάμμις,

αὐτόν. τὸν δὲ Μαριανδυνὸν αὐξῆσαι μάλιστα τὴν θρηνητικὴν αὐλῳδίαν, καὶ διδάξαι Ὕαγνιν τὸν Μαρσύου πατέρα. καὶ αὐλοὶ δέ εἰσι Μαριανδυνοὶ ἐπιτηδειότητα ἔχοντες εἰς τὰς θρηνῳδίας. καὶ τὸ περιφερόμενον αὐλεῖ Μαριανδυνοῖς καλάμοις κρούων Ἰαστί. ὡς τῶν Μαριανδυνῶν θρηνῳδῶν ὄντων· καὶ αὐλοὶ δέ τινες λέγονται Μαριανδυνοί, ἐπιτηδείως ἔχοντες πρὸς θρήνους. 920. ἡ τύχη μεταβέβληται. 923. τὰ πάθη τῶν λαῶν σέβων. τὰ ἐν τῇ θαλάσσῃ συμβάντα ἀτυχήματα τῶν πολιτῶν 924. πένθους ἀξίας. 926. ὁ Ἀττικὸς στόλος ἀφείλετο τὴν Περσῶν σωτηρίαν. 927. ὁ τῶν Ἰώνων. 928. τοῦτ' ἔστι νικηφόρος. 929. ἀποκείρας στυγνὴν πλάκα κατὰ τὴν δυσδαίμονα ἀκτήν, τοῦτ' ἔστι κατὰ τὴν Σαλαμῖνα.

---

919. *πάνδυρτον* Passovius et Blomfieldus: *καὶ πανόδυρτον* M. 922. *πάνδυρτον* Blomfieldus: *πανόδυρτον* M. 923. *σέβων* Hermannus: *σεβίζων* M. 926. personae nota nulla in M. 927. *ἰάων* M. *ναύφρακτος* M. 931. 932. paragraphi praefixae in M. 931. *ἐκπεύθου* recc.: *ἐκπεύθοι* M. 936. *Δοτάμας* Hermannus: *καὶ δότάμασ* M.

Σουσισκάνης τ'
Ἀγβάτανα λιπών;

antistr. 2. ΞΕ. ὁλοοὺς ἀπέλειπον
Τυρίας ἐκ ναὸς
ἔρροντας ἐπ' ἀκταῖς
Σαλαμινιάσι στυφελοῦ
θείνοντας ἐπ' ἀκτᾶς.

antistr. 2. ΧΟ. οἰοιοῖ, ποῦ σοι Φαρνοῦχος
Ἀριόμαρδός τ' ἀγαθός,
ποῦ δὲ Σευάλκης ἄναξ,
ἢ Λίλαιος εὐπάτωρ,
Μέμφις, Θάρυβις,
καὶ Μασίστρας Ἀρτεμβάρης τ'
ἠδ' Ὑσταίχμας;
τάδε σ' ἐπανερόμαν.

str. 3. ΞΕ. ἰὼ ἰώ μοι,
τὰς ὠγυγίους κατιδόντες
στυγνὰς Ἀθάνας πάντες ἑνὶ πιτύλῳ,
ἔ ἔ ἔ, τλάμονες ἀσπαίρουσι χέρσῳ.

str. 3. ΧΟ. ἦ καὶ τὸν Περσῶν αὐτοῦ
τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν
μυρία μυρία πεμπαστὰν
Βατανώχου παῖδ' Ἄλπιστον
. . . . . .
τοῦ Σησάμα τοῦ Μεγαβάτα,

957. σημείωσαι ὅτι βασιλέως ὀφθαλμὸς ἀριθμεῖ τὰς στρατιάς. τὸν ὄντα ὀφθαλμόν. 958. μετρητὴν στρατοπέδου, οἷον μυριάδα ἀριθμοῦντα τὰς ὅλας ἡγεμονίας. ἀριθμῆσαι κατὰ πεντάδα ἀνὰ μυρίους ἔχοντας (ἔχοντα Dind.) τοὺς ἀρχομένους.

942. Σαλαμινιάσι Hermannus: σαλαμινῖσιν M. 944. ποῦ Hermannus: ποῦ δέ M. 945. Ἀριόμαρδός τ' Brunckius: κ' ἀριόμαρδόστ' M. 951. ἐπανερόμαν Wellauerus: ἐπανέρομαι M. 952. μοι recc. aliquot: μοῖ μοῖ M. 956. τὸν, mutatione factum e τῶν, M. 959. ἄλπνιστον Weckleinius.

Πάρθον τε, μέγαν τ' Οἰβάρην
ἔλιπες ἔλιπες; ὦ ὦ [ὦ] δᾴων.
Πέρσαις ἀγανοῖς κακὰ πρόκακα λέγεις.

antistr. 3. ΞΕ. ἴυγγά μοι δῆτ'
ἀγαθῶν ἑταίρων ὑπομιμνήσκεις,
[ἄλαστ'] ἄλαστα στυγνὰ πρόκακα λέγων.
βοᾷ βοᾷ μελέων ἔντοσθεν ἦτορ.

antistr. 3. ΧΟ. καὶ μὴν ἄλλους γε ποθοῦμεν,
Μάρδων ἀνδρῶν μυριόνταρχον
Ξάνθην, ἄρειόν τ' Ἀγχάρην,
Λίαιξίν τ' ἠδ' Ἀρσάκην
ἱππιάνακτας,
Κηγδαδάταν καὶ Λυθίμναν
Τόλμον [τ'] αἰχμᾶς ἀκόρεστον.
ἔταφον ἔταφον, οὐκ ἀμφὶ σκηναῖς
τροχηλάτοισιν ὄπιθεν ἑπόμενοι.

(Xerxes, chorus)

str. 1. ΞΕ. βεβᾶσι γὰρ οἵπερ ἀχρόται στρατοῦ.
ΧΟ. βεβᾶσιν, οἴ, νώνυμοι.
ΞΕ. ἰὴ ἰή, ἰὼ ἰώ.
ΧΟ. ἰὼ ἰώ, δαίμονες,

962. διακοπτικῶν πολεμίων κακῶν. 964. φιλίαν. 967. παρὰ τὸ κραδίη δέ οἱ ἔνδοθεν ὑλάκτει (Hom. Od. *v*. 13). 969. ἔθνος Περσικόν. 970. λείπει ὁ καί. 972. τοὺς ἄνακτας τῶν ἵππων. 975. ἀπέθανον οὐκ ἐπὶ ὀχημάτων ὄντες, ἀλλὰ γυμνοὶ καθεστηκότες. 977. γρ. καὶ ἀκρόται· ἐξ οὗ ἔσται ἀπὸ τοῦ ἄκρου· εἰ δὲ ἀγρόται, ἀπὸ τοῦ ἄγειν καὶ ἀγείρειν. οἱ ἄρχοντες· εἰ δὲ ἀκρόται, οἱ ἄκροι. 978. τὸ οἵ θρηνητικῶς.

961. *Οἰβάρην* recc.: *οιβάρην* | τ' M. 962. tertium ὦ addidit Dindorfius. 966. ἄλαστ' addidit Hermannus. 967. *ἔντοσθεν* Blomfieldus: *ἔνδοθεν* M. 968. ἄλλους Prienius: ἄλλο M. 969. *μυριόνταρχον* M. *μυριοταγόν* Dindorfius. 974. τ' add. recc. aliquot. 975. paragraphum praefigit M. 976. *ὄπιθεν ἑπόμενοι* Wellauerus et Blomfieldus: *ὄπισθεν δ' ἑπόμενοι* M. 977, 978. personarum notae nullae in M. 977. *τοίπερ* Passovius. An τἀρ'? *ἀγρόται* Toupius. 978. *νώνυμοι* recc.: *νώνυμοι* M. 979. paragraphum praefigit M, mox chori nota omissa.

μήτ' ἐν κακοῖσι μήτ' ἐν εὐεστοῖ φίλῃ
ξύνοικος εἴην τῷ γυναικείῳ γένει·
κρατοῦσα μὲν γὰρ οὐχ ὁμιλητὸν θράσος,
δείσασα δ' οἴκῳ καὶ πόλει πλέον κακόν.
καὶ νῦν πολίταις τάσδε διαδρόμους φυγὰς
θεῖσαι διερροθήσατ' ἄψυχον κάκην,
τὰ τῶν θύραθεν δ' ὡς ἄριστ' ὀφέλλεται,
αὐτοὶ δ' ὑφ' αὑτῶν ἔνδοθεν πορθούμεθα.
κεἰ μή τις ἀρχῆς τῆς ἐμῆς ἀκούσεται,
ἀνὴρ γυνή τε χὤ τι τῶν μεταίχμιον,
ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται,
λευστῆρα δήμου δ' οὔ τι μὴ φύγῃ μόρον.
μέλει γὰρ ἀνδρί, μὴ γυνὴ βουλευέτω,
τἄξωθεν· ἔνδον δ' οὖσα μὴ βλάβην τίθει.
ἤκουσας ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω;
str. 1. *XO.* ὦ φίλον Οἰδίπου τέκος, ἔδεισ' ἀκού-
σασα τὸν ἁρματόκτυπον ὄτοβον,
ὅτε τε σύριγγες ἔκλαγξαν ἑλίτροχοι,

σωφρόνων μισήματα: ταῦτα, προσπίπτειν τοῖς ξοάνοις καὶ βοᾶν. ταῦτα οὖν ἃ πράττετε μισήσειαν οἱ εὖ φρονοῦντες ἄνδρες. 170. *εὐδαιμονία, εὐετηρία.* 172. *ἐν θορύβοις οὐ καθεκτή.* 175. *δειλίαν. διὰ τοῦ θορύβου ἐμβεβλήκατε.* 179. *ἀνὴρ γυνή τε: νέος ἢ γέρων. ἀκαίρως (ἀκύρως* Weil.) *δὲ ἡ λέξις τὸ μεταίχμιον. καὶ δηλοῖ τὸν ἀληθῶς ὀργιζόμενον. ἄλλως. κεκινδύνευται τῷ Αἰσχύλῳ ἐνταῦθα τὸ μεταίχμιον. γένους γὰρ ὄντος τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, μέσον ἄλλο εἶπεν· εἰ μὴ ἄρα τις λέγοι ὅτι ὀργιζόμενος οὕτως εἴρηκεν, ὡς καὶ παρὰ Δράκοντι τῷ νομοθέτῃ. ἐκεῖνος γὰρ ὑπὲρ τοῦ μηδὲν ἁμαρτάνειν φησί, κἂν ὄστρακον ᾖ τὸ ἀποκτεῖναν, κἂν ξύλον, κἂν σίδηρος, κἂν χαλκός, συνεκβάλλεσθαι.* 181. *τὸν ἐκ δήμου λευστῆρα μόρον.* 183. *τοὺς πολίτας δηλονότι θορυβοῦσα.* 186. *ἀπολογοῦνται διότι ἐθορύβησαν.* 187. *ἑλίτροχοι: περὶ ἃς ἑλίσσονται οἱ τροχοί.*

---

176. *ὀφέλλετε* recc. post 177, qui in M est extremus folii 66^{b}, hiare orationem intellexit Dindorfius. inter 177 et 178 exempla Byzantina inserunt adulterina haec:

τοιαῦτα δ' (vel *τ'*) *ἂν γυναιξὶ συνναίων ἔχοις.*

τῆσ
178. *ἀρχῆσ ἐμῆσ* M. 187. *ὅτε* recc. aliquot: *ὅτι* M.

ἱππικῶν τ' ἀύπνων πηδαλίων διὰ στόμα
πυριγενετᾶν χαλινῶν.
ET. τί οὖν; ὁ ναύτης ἆρα μὴ 'ς πρῷραν φυγὼν
πρύμνηθεν ηὗρε μηχανὴν σωτηρίας,
νεὼς καμούσης ποντίῳ ἐν κύματι;
antistr. 1. XO. ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρ-
χαῖα βρέτη, πίσυνος θεοῖς, νιφάδος
ὅτ' ὀλοᾶς νιφομένας βρόμος ἐν πύλαις,
δὴ τότ' ἤρθην φόβῳ πρὸς μακάρων λιτάς,
ἵν' ὑπερέχοιεν ἀλκάν. [πόλεως
ET. πύργον στέγειν εὔχεσθε πολέμιον δόρυ.
οὐκοῦν τάδ' ἔσται πρὸς θεῶν· ἀλλ' οὖν θεοὺς
τοὺς τῆς ἁλούσης πόλεος ἐκλείπειν λόγος.
str. 2. XO. μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν
ἄδε πανάγυρις, μηδ' ἐπίδοιμι τάνδ'
ἀστυδρομουμέναν πόλιν καὶ στράτευμ'
ἁπτόμενον πυρὶ δαΐῳ.
ET. μή μοι θεοὺς καλοῦσα βουλεύου κακῶς·

188. τῶν μὴ ἐώντων με ἠρεμεῖν. 191. μηχανὴν σωτηρίας: οὐκοῦν οὐδὲ ὑμεῖς μηχανὴν σωτηρίας παριοῦσαι (περιιοῦσαι recc.) τὴν πόλιν εὑρήσετε. 193. βασιλικά, παρὰ τὴν ἀρχήν. 194. νιφάδα τὸ τῶν πολεμίων ἔθνος. 197. ἵνα τὴν ἑαυτῶν ἀλκὴν ὑπὲρ ἡμῶν ἔχοιεν οἱ θεοί. 198. πύργον στέγειν εὔχεσθε: τοῦτο εὔχεσθε, διαμένειν ἡμῶν τὰ τείχη ἁπλῶς ὥστε τὸ δόρυ στέγειν καὶ ἀπείργειν τοὺς πολεμίους. 199. οὐκ ἀλόγως λέγει τοὺς τῆς πόλεως θεοὺς φεύγειν, πορθηθείσης αὐτῆς. λέγεται γὰρ ὅτι ὅτε ἔμελλε πορθηθῆναι ἡ Τροία, ἐφάνησαν οἱ θεοὶ τοῖς Τρωσὶν ἀνελόμενοι ἐκ τῶν ναῶν τὰ ἀγάλματα αὐτῶν. 201. μήποτ' ἐμὸν κατ' αἰῶνα: μηδέποτε, φησίν, ἐπὶ τοῦ ἐμοῦ βίου καταλείποιεν τὴν πόλιν οἱ θεοί. εὑρὼν δὲ ὁ Αἰσχύλος παρὰ τῷ Ὁμήρῳ τὸ θεῖον δύσονται ἀγῶνα (Il. H. 298), παρὰ γοῦν τὸ εἰς τὸ αὐτὸ ἀγείρεσθαι ἀγῶνα εἴρηκεν. τὴν οὖν τῶν θεῶν εἰς τὸ αὐτὸ συναγωγὴν πανήγυριν τραγικώτερον εἶπεν. 204. γρ. τυφόμενον, οἷον καιόμενον πολεμίῳ πυρί.

190. πρώραν M. 191. εὗρε M. 192. ποντίωι ||||||| ματι M. ἐν κύ in rasura addidit sive *m* sive manus etiam recentior; ποντίῳ πρὸς κύματι recc. Fort. ποντίοισι κύμασι. 195. νειφομένης M. 201. sola paragrapho notatus in M. λίποι recc.: λείποι M.

πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας
μήτηρ, γυνὴ σωτῆρος· ὧδ' ἔχει λόγος.
antistr. 2. ΧΟ. ἔστι· θεοῖς δ' ἔτ' ἰσχὺς καθυπερτέρα·
πολλάκι δ' ἐν κακοῖσιν τὸν ἀμήχανον
κἀκ χαλεπᾶς δύας ὕπερθ' ὀμμάτων
κρημναμενᾶν νεφελᾶν ὀρθοῖ.
ΕΤ. ἀνδρῶν τάδ' ἐστί, σφάγια καὶ χρηστήρια
θεοῖσιν ἕρδειν, πολεμίων πειρωμένων·
σὸν δ' αὖ τὸ σιγᾶν καὶ μένειν εἴσω δόμων.
str. 3. ΧΟ. διὰ θεῶν πόλιν νεμόμεθ' ἀδάματον,
δυσμενέων δ' ὄχλον πύργος ἀποστέγει.
τίς τάδε νέμεσις στυγεῖ;
ΕΤ. οὗτοι φθονῶ σοι δαιμόνων τιμᾶν γένος·
ἀλλ' ὡς πολίτας μὴ κακοσπλάγχνους τιθῇς,
εὔκηλος ἴσθι μηδ' ἄγαν ὑπερφοβοῦ.
antistr. 3. ΧΟ. ποταίνιον κλύουσα πάταγον ἄμμιγα
ταρβοσύνῳ φόβῳ τάνδ' ἐς ἀκρόπτολιν,
τίμιον ἕδος, ἱκόμαν.
ΕΤ. μή νυν, ἐὰν θνήσκοντας ἢ τετρωμένους

206. πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας: πάνυ λαμπρῶς ὁ Αἰσχύλος τὴν πειθαρχίαν μητέρα εὐπραξίας ὠνόμασεν, ἐμφαίνων ὅτι καλόν ἐστι τὸ πειθαρχεῖν· πειθόμεναι γὰρ καὶ αἱ πόλεις τοῖς κρατοῦσιν ἑστᾶσιν. τινὲς δὲ ἀντὶ τοῦ εὖ πράσσειν. σωματοποιεῖ δὲ τὰ πράγματα. 207. λείπει Διός, γυνὴ Διὸς σωτῆρος. οἰκείως ἔχουσα πρὸς τὸ σώζεσθαι. 211. κριμναμέναν νεφέλαν: τὸν μὴ δυνάμενον ἑαυτῷ μηχανήσασθαι καὶ βοηθῆσαι ὁ θεὸς ὀρθοῖ. 212. τὰ εἰς χρῆσιν καὶ θυσίαν θύματα. 214. τῇ γυναικί. 215. λείπει δι' ἐπικουρίαν. 218. τὸ τιμᾶν τοὺς σώζοντας θεούς. (217) οὐδεὶς ταῦτα ὁρῶν ἡμᾶς ποιούσας μισήσειεν. 222. τὴν ἀκρόπολιν τίμιον ἕδος.

---

207. *γύναι* Blomfieldus. 208. *θεοῦ* M, *θεοῦ* Marcellinus vita Thucyd. p. 2 *B*. 209. *τόν* Canterus: *τὰν* M et Marcellinus. 210. *ὑπέρ τε* Marcellinus. 211. *κρημναμενᾶν νεφελᾶν* Hermannus: *κριμναμέναν νεφέλαν* M, *κρημναμέναν νεφέλαν* Marcellinus. 213. *πειρωμένοισ* M. syllabae extremae *ων* superimposuit manus recentissima. 215. *νεμόμεθ'* recc.: *νεμόμεσθ'* M. *ἀδάματον* Pauwius: *ἀδάμαντον* M. 217. *τίς* Heathius: *τί* M. 221. *κλύουσ' ἀνάμιγα πάταγον* Prienius. 222. *ἀκρόπτολιν* Porsonus: *ἀκρόπολιν* M. 224. *θνήσκοντασ* M.

πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε·
τούτῳ γὰρ Ἄρης βόσκεται, φόνῳ βροτῶν.
ΧΟ. καὶ μὴν ἀκούω γ' ἱππικῶν φρυαγμάτων.
ΕΤ. μή νυν ἀκούουσ' ἐμφανῶς ἄκου' ἄγαν.
ΧΟ. στένει πόλισμα γῆθεν, ὡς κυκλουμένων.
ΕΤ. οὐκοῦν ἔμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι.
ΧΟ. δέδοικ', ἀραγμὸς δ' ἐν πύλαις ὀφέλλεται.
ΕΤ. οὐ σῖγα μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν;
ΧΟ. ὦ ξυντέλεια, μὴ προδῷς πυργώματα.
ΕΤ. οὐκ ἐς φθόρον σιγῶσ' ἀνασχήσῃ τάδε;
ΧΟ. θεοὶ πολῖται, μή με δουλείας τυχεῖν.
ΕΤ. αὐτὴ σὺ δουλοῖς κἀμὲ καὶ πᾶσαν πόλιν.
ΧΟ. ὦ παγκρατὲς Ζεῦ, τρέψον εἰς ἐχθροὺς βέλος.
ΕΤ. ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος.
ΧΟ. μοχθηρόν, ὥσπερ ἄνδρας ὧν ἁλῷ πόλις.
ΕΤ. παλιντομεῖς αὖ θιγγάνουσ' ἀγαλμάτων;
ΧΟ. ἀψυχία γὰρ γλῶσσαν ἁρπάζει φόβος.
ΕΤ. αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος.
ΧΟ. λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ' εἴσομαι.
ΕΤ. σίγησον, ὦ τάλαινα, μὴ φίλους φόβει.

225. μὴ ἁρπάσητε τὸ θρηνεῖν. 226. ταῦτα νόμιμα Ἄρεως. 228. κἂν ἀκούῃς, προσποιοῦ μὴ ἀκούειν. 229. ὡς κυκλούντων τὴν πόλιν τῶν πολεμίων σείεται, φησίν, ἡ ἡμετέρα γῆ. 233. τὸ κοινὸν ἄθροισμα τῶν θεῶν, μεταφορικῶς. κυρίως γὰρ ἡ τῶν στρατιωτῶν ἄθροισις· τέλος γὰρ τὸ τάγμα. Ὅμηρος· ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος (Il. K. 56). 235. τοὺς ἰδίους καὶ πατρῴους ἐπικαλοῦνται θεούς, μὴ εἰς δουλείαν ἐμπεσεῖν. 236. θρηνοῦσα δῆλον ὅτι καὶ κράζουσα σὺ ἡμᾶς δούλους ποιεῖς. 237. βέλος νῦν τὸν πόλεμον. βέλος δὲ πᾶν τὸ βαλλόμενον. 240. δυσφημεῖς καίτοι τῶν ἀγαλμάτων ἐχομένη. 241. ὑπὸ φόβου συναρπάζομαι. 243. λέγοις ἂν ὡς τάχιστα: λέγε, φησί, ταχέως, καὶ ἐὰν δυνατὸν ᾖ, γνώσομαι σιγᾶν, ἢ ὑπακούειν· γνώσομαι, φησίν, εἰ δυνατόν μοι ποιεῖν ἐστιν ὃ κελεύεις.

229—246 singulas paragraphos praefigit M, addita versibus 234 et 239 chori nota. 234. φόνον M, quod in φθόρον mutavit m. rec. 236. καὶ σὲ καὶ πᾶσαν Wunderlichius. πτόλιν M sec. Merkelium. 242. γρ. λόγον margo M a manu antiqua.

XO. σιγῶ· σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον.
ET. τοῦτ' ἀντ' ἐκείνων τοὔπος αἱροῦμαι σέθεν.
καὶ πρός γε τούτοις, ἐκτὸς οὖσ' ἀγαλμάτων,
εὔχου τὰ κρείσσω ξυμμάχους εἶναι θεούς.
κἀμῶν ἀκούσασ' εὐγμάτων, ἔπειτα σὺ
ὁλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον,
Ἑλληνικὸν νόμισμα θυστάδος βοῆς,
θάρσος φίλοις, λύουσα πολέμιον φόβον.
ἐγὼ δὲ χώρας τοῖς πολισσούχοις θεοῖς,
πεδιονόμοις τε κἀγορᾶς ἐπισκόποις,
Ἀίρκης τε πηγαῖς, οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω,

245. *οὐχ ἁπλῶς ἐσίγησεν, ἀλλὰ μετὰ φόβου. σιγῶ, σὺν ἄλλοις: ἐπὶ τοῦ παρόντος, φησί, σιγῶ· σὺν ἄλλοις γὰρ τὸ εἱμαρμένον πείσομαι.* 246. *τοῦτο μᾶλλον ἢ τὰ προειρημένα ἐπαινῶ. ἀνθ' ὧν ἄλλων δυσφήμων εἴρηκας τοῦτο μᾶλλον παρὰ σοῦ αἱροῦμαι.* 250. *διέστειλεν τὸν ὁλολυγμὸν τοῦ παιῶνος. ὥσπερ (καὶ* Vict.*) γὰρ μόνῃ τῇ Ἀθηνᾷ, δαίμονι οὔσῃ πολεμικῇ, ὁλολύζουσι, τοῖς δὲ ἄλλοις θεοῖς παιωνίζουσιν. ὁ γοῦν ποιητής φησιν ἐπὶ τῶν Τρωϊάδων· αἱ δ' ὁλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον* (Il. *Z.* 301)*, καὶ ἐπὶ τῶν Ἑλληνίδων· αἱ δ' ὁλόλυξαν θυγατέρες τε νυοί τε* (Od. *γ.* 450)*. ἡ δὲ διάνοια ἁπλῆ· φησὶν οὕτω, κἀμοῦ, φησίν, εὐχομένου ἀκούσασα· πῶς δέ, ἐπιφέρει. νικήσας φησὶ τρόπαια ἀναθήσειν αὐτοῖς τοῖς θεοῖς καὶ θυσίας ποιεῖν· οὐ γὰρ ματαίας οὐδὲ γυναικείας εὐχὰς ἐπιτελέσω, ἀλλὰ παρὰ ταῖς θυσίαις δεῖ σε ὁλολύζειν, ὡς ἔθος Ἑλληνικόν.* 251. *ἐνθουσιαστικῆς. θυστάδος: τῆς παρὰ ταῖς θυσίαις γινομένης, ἀφ' ἧς ἐνίοτε καὶ ἡ βάκχη. σημαίνει γὰρ καὶ τοῦτο καὶ τὴν καθαρὰν ἐσθῆτα, ὡς παρ' Εὐριπίδῃ. ἢ, ἣ νενόμισται τοῖς Ἕλλησιν ἐν μάχαις· ἢ, ὡς νενομισμένον Ἕλλησι παρὰ τὰς θυσίας ὁλολύζειν.* 252. *τὸ γὰρ εὔχεσθαι τοῖς θεοῖς θάρσος ἐμποιεῖ τοῖς φίλοις. πολέμιον δὲ φόβον τὴν ὁλολυγὴν ἐξηγήσατο ἐν τῷ λύουσα πολέμιον φόβον. διὰ τῶν τοιούτων εὐχῶν λύουσα τὸν τῶν πολεμίων φόβον.* 255. *οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω: ἀντὶ τοῦ, σὺν τῷ Ἰσμηνῷ· κατὰ σχῆμα δὲ ἡ φωνή, οἷον, λέγω ὅτι σὺν τῷ Ἰσμηνῷ. θύω οὖν αὐτοῖς πᾶσι, τῶν πραγ-*

245. *σπείσομαι* M. *σπ* in *π* correxit *m*. 250. *παιώνισον* M. *ω* ita correxit man. rec., ut quid dare voluerit non liqueat. 255. *οὐδ' ἀπϊσμινοῦ* M, quod in *οὐδ' ἀπ' ἰσμηνοῦ* correxit *m* sive manus etiam recentior. Fort. *χὔδατ' Ἰσμηνοῦ*.

εὖ ξυντυχόντων καὶ πόλεως σεσωσμένης,
μήλοισιν αἱμάσσοντας ἑστίας θεῶν,
ταυροκτονοῦντας θεοῖσιν, ὦδ' ἐπεύχομαι
θήσειν τροπαῖα, πολεμίων δ' ἐσθήματα,
λάφυρα δαΐων δουρίπληχθ' ἁγνοῖς δόμοις
στέψω πρὸ ναῶν πολεμίων δ' ἐσθήματα.
τοιαῦτ' ἐπεύχου μὴ φιλοστόνως θεοῖς,
μηδ' ἐν ματαίοις κἀγρίοις ποιφύγμασιν·
οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον·
ἐγὼ δ' ἐπ' ἄνδρας ἓξ ἐμοὶ σὺν ἑβδόμῳ
ἀντηρέτας ἐχθροῖσι τὸν μέγαν τρόπον
εἰς ἑπτατειχεῖς ἐξόδους τάξω μολών,
πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυρρόθους
λόγους ἱκέσθαι καὶ φλέγειν χρείας ὕπο.

str. 1. XO. μέλει, φόβῳ δ' οὐχ ὑπνώσσει κέαρ·
γείτονες δὲ καρδίας

μάτων εὐτυχῶς ἀποβάντων. ἄλλως. καινῶς εἶπεν, οὐκ ἀριθμῶ τὸν Ἰσμηνόν, ὡς δήλου ὄντος ὅτι τιμᾶται καὶ ἐγγράφεται τοῖς τιμωμένοις. 258. λείπει ἡμᾶς, ἡμᾶς ἐπεύχομαι. 259. παρατηρητέον ὅτι οὐδέπω ἦν ἡ τῶν τροπαίων ὀνομασία κατὰ τὸν Ἐτεοκλέα· ὥστε ἀνεβίβασε τὰ κατὰ τὸν χρόνον ὁ Αἰσχύλος. ἐσθήμασιν ἐσθήματα ἀναθήσω πρὸ τῶν ναῶν τὰ λάφυρα. 263. οἷον ἐκφοβήμασι τοῖς δυναμένοις ἐκπλῆξαι τοὺς ἀκούοντας. 265. ἡ ἐπί πρὸς τὸ ἐχθροῖς. ἐγὼ δὲ σὺν ἐμαυτῷ ἄλλους ς', ὥστε ἐστὶν αὐτὸς ἕβδομος, ἀντιστάτας τοῖς πολεμίοις ποιήσομαι ταῖς ἑπτὰ πύλαις, καὶ σπεύσω ἐγὼ τάξαι λοχαγοὺς πρὶν ἢ τὰ πράγματα κατεπείξῃ, ὥστε δι' ἀγγέλων συχνῶν ἐξάγειν τὸ στράτευμα. 268. τοὺς συνεχῶς κατεπείγοντας τὴν ἀφ' ἡμῶν ἔξοδον. 270. ὁ νοῦς· μέλει μοι, φησίν, ὧν εἶπεν ὁ Ἐτεοκλῆς, ἀλλ' ὁ ἐν ἐμοὶ φόβος οὐκ ἠρεμεῖν με ποιεῖ καὶ ἡσυχάζειν. 271. γείτονες δὲ καρδίας: αἱ δ' ἐν τῇ καρδίᾳ μέριμναι ἀνάπτουσι τὸν ἐν ἐμοὶ φόβον. ἡ καρδία μου, φησί, δέδοικε τὸν πολιορκοῦντα στρατὸν ὡς δράκοντα ὑπὲρ τῶν νεοσσῶν πελειάς.

---

259. ἐσθήμασι M. τα illud a qua manu suprascriptum sit non constat inter auctores. 260. δουρίληφθ' Porsonus. 261. δ' M. 264. αλλων vel ...α...λο...ν, mutatum in μᾶλλον, M. 269. χρείασ M, sed ut ρει litterae in rasura sint a manu recentiore. 270. ὑπνώσει M. alterum σ addidit man. rec.

μέριμναι ζωπυροῦσι τάρβος,
τὸν ἀμφιτειχῆ λεὼν
δράκοντα δ' ὥς τις τέκνων
ὑπερδέδοικεν λεχαί-
ων δυσευνήτορας
πάντροφος πελειάς.
τοὶ μὲν γὰρ ποτὶ πύργους
πανδημεὶ πανομιλεὶ
στείχουσιν· τί γένωμαι;
τοὶ δ' ἐπ' ἀμφιβόλοισιν
ἰάπτουσι πολῖται
χερμάδ' ὀκριόεσσαν.
παντὶ τρόπῳ, Διογενεῖς
θεοί, πόλιν καὶ στρατὸν
Καδμογενῆ ῥύεσθε.

antistr. 1. ποῖον δ' ἀμείψεσθε γαίας πέδον

275. λεχέων: τοῦτ' ἔστι, νεμομένων ἐπὶ τῆς καλιᾶς. ταύτην γὰρ λέχος εἶπεν. οἷον τὸν (τῶν Dind.) ἐν ὡρισμένῳ τόπῳ μενόντων καὶ μήπω δυναμένων ἵπτασθαι. δυσευνήτορας δὲ δυσευνήτους, διὰ τὸν φόβον τοῦ δράκοντος. πάντροφον δὲ τὴν πελειάδα φησίν, ὅτι πάντα τὰ ὄρνεα ἅπαξ τοῦ ἔτους τίκτει, ἡ δὲ περιστερὰ ἀεί· διὸ ἀνάκειται τῇ Ἀφροδίτῃ. περιστερὰ δὲ εἴρηται ἡ περισσὰ ἐρῶσα, πλεονάζοντος τοῦ τ κατὰ τὸ μέσον. 280. τῆς τύχης δηλονότι. 281. πάντοθεν βαλλομένοις· ἢ ἀμφοτέρωθεν. 282. ἰάπτουσιν: μετὰ βλάβης βάλλουσιν ἐπιπέμποντες τοῖς πολίταις μου τὴν ὀκριόεσσαν χερμάδα. 286. ἀπὸ Κάδμου γὰρ οἱ Θηβαῖοι. 287. ποῖον δ' ἀμείψεσθε γαίας πέδον: ἀντὶ τοῦ ποῖον οἰκήσετε δάπεδον ἐντεῦθεν μεταστάντες; εἴρηται δὴ καὶ ἐν Ξοανηφόροις Σοφοκλέους ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται. ἐὰν ταύτην, φησί, τὴν γῆν προδῶτε τοῖς πολεμίοις, ποίαν βελτίονα αὐτῆς εὑρήσετε;

---

275. ὕπερ δέδοικ... M. in litura ε reposuit man. rec. λεχαίων Lachmannus: λεχέων M. 276. δυσευνήτορας (ει et α a manu rec. superscr.) M. δυσευνάτορας Blomfieldus. 277. ἁ πάντροφος M, ita ut φ videri possit m addidisse. 281. τί mut. in τοὶ M. 282. πολῖται Buechelerus: πολίταισ M. 283. ὀκρυόεσσαν M; υ pro ο man. rec. 284. διογεν... M; εῖσ in rasura posuit m.

τᾶσδ' ἄρειον, ἐχθροῖς
ἀφέντες τὰν βαθύχθον' αἶαν,
ὕδωρ τε Λιρκαῖον, εὐ-
τραφέστατον πωμάτων
ὅσων ἵησιν Ποσει-
δᾶν ὁ γαιάοχος
Τηθύος τε παῖδες.
πρὸς τάδ', ὦ πολιοῦχοι
θεοί, τοῖσι μὲν ἔξω
πύργων ἀνδρολέτειραν
καὶ τὰν ῥίψοπλον ἄταν
ἐμβαλόντες ἄροισθε
κῦδος τοῖσδε πολίταις,
καὶ πόλεως ῥύτορες εὖ-
εδροί τε στάθητ'
ὀξυγόοις λιταῖσιν.
str. 2. οἰκτρὸν γὰρ πόλιν ὧδ' ὠγυγίαν
Ἀίδᾳ προϊάψαι δορὸς ἄγραν,
δουλίαν ψαφαρᾷ σποδῷ
ὑπ' ἀνδρὸς Ἀχαιοῦ θεόθεν
περθομέναν ἀτίμως,
τὰς δὲ κεχειρωμένας ἄγεσθαι,

288. ἄρειον πεδίον προείρηται. 289. οἷον, τὴν εὔγειον ταύτην καταλείψαντες εἰς τίνα χωρήσετε; 292. Ποσειδῶν ὁ γαιήοχος: ἢ ὅτι τῆς ὑγρᾶς οὐσίας δεσπότης Ποσειδῶν, ἢ ὅτι ἐκ τῆς θαλάσσης οἱ ὄμβροι, ἀφ' ὧν οἱ χείμαρροι. 295. πρὸς τάδ', ὦ πολιοῦχοι: ἀντὶ τοῦ διὰ ταῦτα. πρὸς ταῦτα γάρ, ὦ πολῖται θεοί, τοῖς μὲν ἔξω τοῦ τείχους Ἀχαιοῖς ἄτην ἐμποιήσατε, ὥστε αὐτοὺς τὰ ὅπλα ῥῖψαι· τούτου δὲ γενομένου πρὸς ὑμῶν πάνυ ἂν ὑμνοῖσθε παρὰ τῶν πολιτῶν. 301. εὔεδροί τε: εὔεδροι στάθητε. συναπτέον τὸ ποῖον ἀμείψεσθε γαίας πέδον. 303. ὀξυγόοις λι: διὰ τὰς ὀξυθρηνήτους λιτὰς ἡμῶν. 305. διὰ δόρατος ἀγρευθεῖσαν. 306. ἀσθενεῖ, ἐλαφρᾷ.

290. εὐτραφέστατον recc.: εὐτρεφέστατον M. 298. καταρίψοπλον M, καὶ τἀρίψοπλον m. 306. δουλείαν M. 309. κεχηρωμένασ M, ει superaddito ab alia manu, fortasse m.

ἦ ἔ, νέας τε καὶ παλαιὰς
ἱππηδὸν πλοκάμων, περιρ-
ρηγνυμένων φαρέων.
βοᾷ δ' ἐκκενουμένα πόλις,
λαΐδος ὀλλυμένας μιξοθρόου·
βαρείας τοι τύχας προταρβῶ.
antistr. 2. κλαυτὸν δ' ἀρτιτρόποις ὠμοδρόπων
νομίμων προπάροιθεν διαμεῖψαι
δωμάτων στυγερὰν ὁδόν.
τί; τὸν φθίμενον γὰρ προλέγω
βέλτερα τῶνδε πράσσειν,
πολλὰ γάρ, εὖτε πόλις δαμασθῇ,
ἦ ἔ, δυστυχῇ τε πράσσει.
ἄλλος δ' ἄλλον ἄγει, φονεύ-
ει, τὰ δὲ πυρφορεῖ·
καπνῷ χραίνεται πόλισμ' ἅπαν.
μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας
μιαίνων εὐσέβειαν Ἄρης.

310. διέκοψεν τὸν λόγον τῶν θρήνων (τῷ θρήνῳ Dind.). 311. ἱππηδὸν ἄγεσθαι, ὑπὸ ἱππέων σύρεσθαι τῶν πλοκάμων μετὰ ἀνάγκης· καὶ γὰρ οἱ ἵπποι ἀνάγκῃ τινὶ ἕπονται. 314. πορθουμένας. 316. κλαυτὸν δ' ἀρτιτρόποις: εἰ μὲν διὰ τοῦ τ ἀρτιτρόποις, ταῖς νεωστὶ τραπείσαις τῆς παιδικῆς ἡλικίας καὶ ἡβησάσαις· εἰ δὲ διὰ τοῦ δ ἀρτιδρόποις, ταῖς ἄρτι δρεπομέναις. ταῖς δὲ παρὰ τὴν ἀκμήν, φησί, διακορευομέναις ἔσται κλαυθμός, ἢ, ταῖς δὲ διαμειβούσαις τὴν τῆς αἰχμαλωσίας ὁδὸν ἔσται δάκρυα. ὠμοδρόπων: ὑπὸ τῶν ὠμῶς αὐτῶν δρεπομένων τὴν ἥβην πρὸ τῶν νομίμων γάμων. 317. διαδέξασθαι τὴν στέρησιν τῶν οἰκημάτων. 319. τί γὰρ δεῖ πολλὰ λέγειν; ὃ προτεθνηκὼς εὐτυχῶς πράσσει πλέον τοῦ ζῶντος. οἱ τελευτήσαντες, φησί, καὶ μὴ τοιαύτης πειραθέντες συμφορᾶς ἄμεινον ἡμῶν πράττουσιν. 325. χαλεπώτερος γὰρ ὁ καπνὸς ἐν ταῖς πορθήσεσιν. 326. λαοδάμας: κυρίως τὸ ἐπίθετον Ἄρεως εἴρηται.

---

316. ἀρτιτρόποισ (δ fort. *m*) M. 325. καπνῷ Brunckius: καπνῶ δὲ M.

str. 3. κορκορυγαὶ δ' ἀν' ἄστυ,
πότὶ πτόλιν δ' ὀρκάνα πυργῶτις.
πρὸς ἀνδρὸς δ' ἀνὴρ δορὶ καίνεται·
βλαχαὶ δ' αἱματόεσσαι
τῶν ἐπιμαστιδίων
ἀρτιτρεφεῖς βρέμονται.
ἁρπαγαὶ δὲ διαδρομᾶν ὁμαίμονες·
ξυμβολεῖ φέρων φέροντι,
καὶ κενὸς κενὸν καλεῖ,
ξύννομον θέλων ἔχειν,
οὔτε μεῖον οὔτ' ἴσον λελιμμένοι.
τί ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα;

antistr. 3. παντοδαπὸς δὲ καρπὸς
χαμάδις πεσὼν ἀλγύνει
κυρήσας· πικρὸν δ' ὄμμα θαλαμηπόλων·
πολλὰ δ' ἀκριτόφυρτος
γᾶς δόσις οὐτιδανοῖς
ἐν ῥοθίοις φορεῖται.

328. ταραχαί. κεκωμῴδηται δὲ ἡ λέξις. 329. φυλακή. ὀρκάνη τὸ θηρατικὸν δίκτυον, ὃ καὶ σαργάνη καλεῖται. 330. παρὰ τὸ Ὁμηρικὸν ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζεν (Il. Δ. 472). 331. βλαχαὶ δ' αἱματόεσσαι: ἐπὶ τῶν ἄσημα φθεγγομένων νέων τὴν βληχὴν ἔθηκεν. ὥσπερ, φησί, τὰ νεογνὰ οὐδέπω τὴν φωνὴν ἔναρθρον ἔχοντα ἀπαγόμενα πρὸς τῶν πολεμίων αἱμάσσεται, ὥστε αὐτὰ ἄναρθρον φωνὴν καὶ ὥσπερ προβατώδη προΐεσθαι. τὸ δ' ἑξῆς, βλαχαὶ βρέμονται. 334. συγγενεῖς· Ἕλληνες γὰρ πάντες. οἷον μετὰ αἵματος γινόμεναι. ἢ τῶν ὁμαιμόνων καὶ συγγενῶν καὶ ἐξ ἑνὸς γένους. 337. κοινωνόν. 338. λαβεῖν βουλόμενοι. οὔτε μεῖον οὔτ' ἴσον λελιμμένοι: διὰ τούτου τοὺς πλεονέκτας ἐμφαίνει. ὁ γὰρ μήτε ἔλασσον αἱρούμενος μήτε τὸ ἴσον φαίνεται πλείονος ὀρεγόμενος. 339. τί ἐκ τῶνδ' εἰκάσαι: τί δεῖ ὑπονοῆσαι ἐκ τούτων ἢ πένθη καὶ συμφοράς; 341. τὸν τυγχάνοντα. 342. πικρὸν δ' ὄμμα θαλα: πικρὰ θέα τῶν παρθένων ἀποσπωμένων ἐκ τῶν θαλάμων. 343. ἀναμεμιγμένη. 344. ὁ καρπός. 345. ὡς ἐπὶ ναυαγίοις.

---

330. κλίνεται M, κλίνεται a m. rec. 337. ξύννομον recc.: ξύνομον M. 338. λελιμμένοι recc.: λελημμένοι M. 345. ῥοθίοις recc.: ῥοθίοισι M.

δμωίδες δὲ καινοπήμονες νέαι
τλήμονες εὐνὰν αἰχμάλωτον
ἀνδρὸς εὐτυχοῦντος ὡς
ὀυσμενοῦς ὑπερτέρου
ἐλπίς ἐστι νύκτερον τέλος μολεῖν,
παγκλαύτων ἀλγέων ἐπίρροθον.

(Dux chori)

ὅ τοι κατόπτης, ὡς ἐμοὶ δοκεῖ, στρατοῦ
πευθώ τιν' ἡμῖν, ὦ φίλαι, νέαν φέρει,
σπουδῇ διώκων πομπίμους χνόας ποδῶν.
καὶ μὴν ἄναξ ὅδ' αὐτὸς Οἰδίπου τόκος
εἶσ' ἀρτίκολλον ἀγγέλου λόγον μαθεῖν·
σπουδὴ δὲ καὶ τοῦδ' οὐκ ἀπαρτίζει πόδα.

ΑΓ. λέγοιμ' ἂν εἰδὼς εὖ τὰ τῶν ἐναντίων,
ὥς τ' ἐν πύλαις ἕκαστος εἵλητεν πάλον.

ἐπειδὴ τὰ κύματα ἔσθ' ὅτε ὠφέλειαν παρέχεται ταῖς πόλεσιν· διὰ γὰρ αὐτῶν τὰ ἐπιτήδεια ἄγεται· τροπικῶς δὲ ῥόθια εἶπεν τὰ συνεχῆ κύματα τῶν πολεμίων. προσέθηκεν ἐπίτηδες τὸ οὐτιδανοῖς, οἷον ἀχρείοις (τροπικῶς-πολεμίων ante προσέθηκεν Vict.). ῥοθίοισιν: ταῖς ὑβριστικαῖς κινήσεσι τῶν πολεμίων. τούτους γὰρ ῥόθια φησιν, ἐπειδὴ πολεμοῦσιν· τὰ γὰρ κύματα ἐπωφελῆ εἰσιν· δι' αὐτὰ γὰρ ὁ πλοῦς τὰ πρὸς τὸ ζῆν κομίζων ταῖς πόλεσιν. 347. μεταστᾶσαι εἰς δουλείαν οἴσουσι τὴν τῶν πολεμίων εὐνήν. 349. ἐκ τοῦ πολέμου κρατήσαντος. 350. φόβος. τὴν νύκτα περιφραστικῶς. 354. μεταφορικῶς εἶπε τὰ ἄκρα τῶν ποδῶν. ἄλλως. τὸ συνεχὲς κίνημα τῶν ποδῶν παραβόλως χνόας εἶπεν· τοῦ μέντοι ἄξονος τὸ ἄκρον τὸ ἐντιθέμενον τῇ χοινικίδι χνόη καλεῖται. 355. καὶ μὴν ἄναξ: καὶ μὴν αὐτὸς ὁ Ἐτεοκλῆς ἐπείγεται, ἀκουσόμενος τὰ παρὰ τοῦ ἀγγέλου λεγόμενα, ὡς ταῦτα ἀρτίως ἀκουσόμενος, ὥστε κολλῆσαι τῇ διανοίᾳ ἢ τοῖς ὠσὶν ἀκούσαντα. 356. ἐν συναφῇ ἁρμόδιον, ἢ τὸν ἀρτίως κολλώμενον. 357. σπουδὴ δὲ καὶ τοῦδ': ἡ τούτου δὲ σπουδὴ οὔπω τέλος ἔχει, ἀλλ' ἐπείγεται· τὸ γὰρ ἀπηρτισμένον καὶ τέλος ἔχει, μεθ' ὃ οὐκ ἄλλο πρακτέον. 358. εἰδὼς εὖ λέγοιμί σοι ἄν.

χ

352. 355. ημι — praefixum in M. 358. personae nota nulla in M. 359. ὅστ', 'sed *o* m. rec. corr. ex *ω*, item *σ* rec. in ras.' ('..ό..τ' Merkel) M.

Τυδεὺς μὲν ἤδη πρὸς πύλαισι Προιτίσιν
βρέμει, πόρον δ' Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν
ὁ μάντις· οὐ γὰρ σφάγια γίγνεται καλά.
Τυδεὺς δὲ μαργῶν καὶ μάχης λελιμμένος
μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων βοᾷ·
θείνει δ' ὀνείδει μάντιν Οἰκλείδην σοφόν,
σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ.
τοιαῦτ' ἀυτῶν τρεῖς κατασκίους λόφους
σείει, κράνους χαίτωμ', ὑπ' ἀσπίδος δ' ἔσω
χαλκήλατοι κλάζουσι κώδωνες φόβον.
ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε,
φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον·
λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει,
πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμός, πρέπει.
τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σαγαῖς
βοᾷ παρ' ὄχθαις ποταμίαις, μάχης ἐρῶν,
ἵππος χαλινῶν ὡς κατασθμαίνων μένει,
ὅστις βοὴν σάλπιγγος ὁρμαίνει μένων.
τίν' ἀντιτάξεις τῷδε; τίς Προίτου πυλῶν
κλῆθρων λυθέντων προστατεῖν φερέγγυος;

360. *Τυδεὺς μὲν ἤδη*: αἰδεσθεὶς τὰ Ὁμηρικὰ ἐγκώμια πρῶτον αὐτὸν καταλέγει ὁ Αἰσχύλος. *Προιτίς* ὀξυτόνως. 363. *ἐπιθυμῶν*, παρὰ τὸ λίπτω. 364. *τότε γὰρ μάλιστα μέμηνεν*. 365. *τὸν Ἀμφιάρεων*. 366. *ἐκκλίνειν*. 367. *νεωτερικὸν τοῦτο, τοῦ κράνους ἡ τριλοφία*. 368. *οἷον τῆς περικεφαλαίας τὸ χαίτωμα*. 370. *ὑπερήφανον*. 372. *ἐν τῷ μέσῳ τοῦ σάκους*. 273. *καὶ Πίνδαρος* (Olymp. 1, 7) *ἄστρον τὸν ἥλιόν φησι*. 376. *ἵππος χαλινῶν*: *οὕτως ἀσθμαίνει καὶ σπεύδει ὡς καὶ ἵππος πολεμιστὴς σάλπιγγος ἀκούων καὶ ἐπιθυμῶν πολέμου* (, *εἰ* add. Vahlen.) *εἴργεται πρὸς τοῦ ἐπιβάτου*. 378. *τίν' ἀντιτάξεις*: *τίνα οὖν ἀντιτάξεις τῷ Τυδεῖ; τίς ἄξιός ἐστιν προϊστασθαι τῆς ἐγγύτητος* (l. *πύλης*) *ταύτης; ἀξιόπιστος, ἐγγυητής*.

---

362. *γίνεται* M. 363. λε$^{\mu}$λιμενοσ M. 365. *θείνει* recc.: *θένει* M. 374. *ὑπερκόμποι σαγαῖσ* M; corr. m. rec. 376. *χαλινῶν* ὡσ$^{\delta'}$ M, sed *δ'* a. m. rec. addito.

ET. κόσμον μὲν ἀνδρὸς οὔτιν᾽ ἂν τρέσαιμ᾽ ἐγώ,
οὐδ᾽ ἑλκοποιὰ γίγνεται τὰ σήματα·
λόφοι δὲ κώδων τ᾽ οὐ δάκνουσ᾽ ἄνευ δορός.
καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ᾽ ἀσπίδος
ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν,
τάχ᾽ ἂν γένοιτο μάντις ἡ ἀνοία τινί.
εἰ γὰρ θανόντι νὺξ ἐπ᾽ ὀφθαλμοῖς πέσοι,
τῷ τοι φέροντι σῆμ᾽ ὑπέρκομπον τόδε
γένοιτ᾽ ἂν ὀρθῶς ἐνδίκως τ᾽ ἐπώνυμον,
καὐτὸς καθ᾽ αὑτοῦ τήνδ᾽ ὕβριν μαντεύσεται.
ἐγὼ δὲ Τυδεῖ κεδνὸν Ἀστακοῦ τόκον
τόνδ᾽ ἀντιτάξω προστάτην πυλωμάτων,
μάλ᾽ εὐγενῆ τε καὶ τὸν Αἰσχύνης θρόνον
τιμῶντα καὶ στυγοῦνθ᾽ ὑπέρφρονας λόγους·
αἰσχρῶν γὰρ ἀργός, μὴ κακὸς δ᾽ εἶναι φιλεῖ.
σπαρτῶν δ᾽ ἀπ᾽ ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο,
ῥίζωμ᾽ ἀνεῖται, κάρτα δ᾽ ἔστ᾽ ἐγχώριος,

381. οὐδ᾽ ἑλκοποιὰ γίνεται: ταῦτα παρὰ Ἡλκαίου. οὐ τιτρώσκει τὰ ἐπίσημα ὅπλα οὐδὲ αὐτὰ καθ᾽ ἑαυτὰ δύναμιν ἔχει, εἰ μὴ ἄρα ὁ φέρων αὐτά, ἐὰν ᾖ ὁ (del. Dind.) γενναῖος. 383. καὶ νύκτα ταύτην ἣν λέγεις: ὁ νοῦς, ταύτην δὲ ἣν λέγεις εἶναι νύκτα ἐπὶ τῆς ἀσπίδος, τάχα προμαντεύεται τῷ φοροῦντι ὅτι χωρήσει ὑπὸ νύκτα. ἐπιφέρει δὲ ὥσπερ ἐξηγούμενος εἰ γὰρ θανόντι νὺξ ἐπ᾽ ὄμμασιν πέσοι. 385. ἡ ἀνοία: παροξυτόνως, Ἀττικῶς ἀντὶ τοῦ ἄνοια. διὰ δὲ τὸ μέτρον ἐξέτεινεν. ὁ δὲ νοῦς· τὰ ἐξ ἀνοίας τινῶν γενόμενα τάχα τῶν κακῶν αὐτοῖς ἔσται σύμβολα. 389. ὅτι φέρει ἐπὶ τῆς ἀσπίδος νύκτα καὶ τὴν πανσέληνον. 392. μάλ᾽ εὐγενῆ τε καὶ τὸν Αἰσχύνης: καλῶς ἀντέταξεν τὸν μὴ τοῖς ἤθεσιν αὐτοῦ συμφωνοῦντα, ἀλλ᾽ ἀλλότριον. 393. ὑπέρφρονας: ἀντὶ τοῦ ὑπερηφάνους· οἷον, οὔτε ὑπερήφανα λέγει ὡς ὁ Τυδεύς, ἀλλὰ καὶ μισεῖ τοὺς ὑπερηφάνους. 394. αἰσχρῶν γὰρ ἀργός: ἀργός ἐστι τῶν κακῶν λόγων, ἢ τῶν ἔργων. φιλεῖ δὲ τὸ μὴ εἶναι κακός, ἢ τῷ τρόπῳ, ἢ ὡς Ὅμηρος, ἀντὶ τοῦ δειλός. 396. ἐγχώριος: γνήσιος πολίτης ἐκ τῶν σπαρτῶν, οὐ τῶν μετὰ Κάδμου ἐπηλύδων.

---

381. *γίνεται* M. 389. *μαντεύσεται* M, *σ* postmodum inserto. 390. paragraphus praefixa in M.

Μελάνιππος. ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ·
Δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται
εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.
str. 1. *ΧΟ.* τὸν ἁμόν νυν ἀντίπαλον εὐτυχεῖν
Θεοὶ δοῖεν, ὡς δικαίως πόλεως
πρόμαχος ὄρνυται· τρέμω δ' αἱματη-
φόρους μόρους ὑπὲρ φίλων
ὁλομένων ἰδέσθαι.
ΑΓ. τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν Θεοί·
Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἵληχεν πύλαις,
γίγας ὅδ' ἄλλος τοῦ πάρος λελεγμένου
μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ,
πύργοις δ' ἀπειλεῖ δεινά, ἃ μὴ κραίνοι τύχη·
Θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν
καὶ μὴ θέλοντος φησίν, οὐδὲ τὴν Διὸς
ἔριν πέδοι σκήψασαν ἐμποδὼν σχεθεῖν.
τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς
μεσημβρινοῖσι θάλπεσιν προσήκασεν.

397. ἔργον δ' ἐν κύβοις: ἐν τοῖς τοῦ Ἄρεως κύβοις κρινεῖ αὐτοὺς ὁ πόλεμος. 398. Δίκη δ' ὁμαίμων: τὸ τῆς συγγενείας δίκαιον στέλλει αὐτὸν εἰς τὴν μάχην. 401. ὅτι δικαίως προμάχεται τῆς πόλεως. 403. οὓς ποιοῦνται ὑπὲρ τῶν φίλων πολιτῶν οἱ Θηβαῖοι. ἡ ὑπὲρ δὲ περισσή. 405. τῷ Μελανίππῳ. 407. γίγας ὅδ' ἄλλος: πάνυ ῥητορικὸς ὁ Αἰσχύλος· ῥητορικὸν δὲ λέγω, ὅταν τοῖς ῥήτορσι λόγος ἦτοι ἐπαινετικὸς ἢ ψεκτικὸς παρά (περί Dind.) τινων δύο τοῦ μὲν ἃ εἶπῃ ἔπαινον ἢ ψόγον, παραλείπηται τοῦ ἐπαίνου (παραλείπῃ δὲ τοῦ ἑτέρου Dind.). πανηγυρικὸν δὲ καὶ δριμὺ περὶ τοῦ Τυδέως λέγων, οὐκ εἰπὼν ὅτι πᾶς ἐστι γίγασιν ὅμοιος, Καπανέα δὲ ἐγκωμιάζων καὶ τὸ μέγεθος αὐτοῦ φησι γίγας ὅδ' ἄλλος. φαίνεται οὖν ὅτι ἐνέλιπεν ἐν τοῖς περὶ Τυδέως εἰπεῖν ὅτι γίγας ἐστίν, ἢ γίγασιν ὅμοιος. τοῦ Τυδέως. 408. Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής (Hom. Il. *E.* 801). 411. οὐδὲ τὴν Διός: οὐδὲ τὸν τοῦ Διὸς σκηπτὸν εἰς γῆν κατενεχθέντα, ἢ αὐτοῦ τοῦ Διὸς φιλονεικήσαντος, ἐμποδὼν γενέσθαι αὐτῷ λέγει.

---

402. πρόσμαχοσ corr. in πρόμαχοσ M. 405. τούτωι, e τούτων factum, M. θεοὶ δοῖεν M. 411. fort. οὐδὲ τᾶν Διος. 412. πέδωι M.
β α

ἔχει δὲ σῆμα γυμνὸν ἄνδρα πυρφόρον,
φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη·
χρυσοῖς δὲ φωνεῖ γράμμασιν· πρήσω πόλιν.
τοιῷδε φωτὶ πέμπε· τίς ξυστήσεται,
τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ;
ET. καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται.
τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων
ἑ γλῶττ᾽ ἀληθὴς γίγνεται κατήγορος.
Καπανεὺς δ᾽ ἀπειλεῖ δρᾶν παρεσκευασμένος,
θεοὺς ἀτίζων, κἀπογυμνάζων στόμα
χαρᾷ ματαίᾳ θνητὸς ὢν ἐς οὐρανὸν
πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ᾽ ἔπη.
πέποιθα δ᾽ αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον
ἥξειν κεραυνόν, οὐδὲν ἐξῃκασμένον
μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου.
ἀνὴρ δ᾽ ἐπ᾽ αὐτῷ, κεἰ στόμαργός ἐστ᾽ ἄγαν,
αἴθων τέτακται λῆμα, Πολυφόντου βία,
φερέγγυον φρούρημα, προστατηρίας
Ἀρτέμιδος εὐνοίαισι σύν τ᾽ ἄλλοις θεοῖς.
λέγ᾽ ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα.

415. ἔχει δὲ σῆμα: ἡ δὲ ἀσπὶς αὐτοῦ σημεῖον ἔχει ἄνδρα γυμνὸν λαμπάδα βαστάζοντα διὰ χειρῶν. ἐν ταῖς χερσὶν αὐτοῦ ἀνθ᾽ ὅπλου οὖσα ἡ λαμπάς. 420. καὶ τῷδε κέρδει: κέρδος πρὸς τῷ μεῖναι τὸ νικῆσαι. τοῦτο γάρ ἐστι κέρδει κέρδος. 430. ἀνὴρ δ᾽ ἐπ᾽ αὐτῷ: ἀντὶ τοῦ ἀντιτέτακται. καὶ εἰ ἄγαν ἐστὶ μανιώδης τὸν λόγον ὁ Καπανεύς, ἀλλ᾽ ὅμως ἀκίνητος τῷ παραστήματι ἡ δύναμις τοῦ Πολυφόντου ἀνθέστηκε μηδὲν δεδοικυῖα. 432. φερέγγυον φρούρημα: ἱκανὸς φρουρεῖν τὴν πατρίδα. 433. Ἀρτέμιδος εὐνοίαισι: ὡς τοῦ Πολυφόντου ἱερέως ὄντος τῆς Ἀρτέμιδος. ἀφιέρωται δὲ τῇ Ἀρτέμιδι ἡ τῶν Θηβαίων (πόλις add. recc.). διὰ τοῦτο οὖν οὕτως λέγει, εὐνοίαις τῆς Ἀρτέμιδος καὶ τῶν ἄλλων πολιούχων θεῶν.

---

419. κομπάσαντα M, κομπάσαντα m. rec. 422. γλῶττ᾽ M. γίνεται M. 423. παρασκευασμένος M. 426. γεγωνά Brunckius: γεγωνᾶ M, γεγωνᾶι m. 427. πυρφόρον recc.: πυρφόρων M. 432. φερέγγυον recc.: φερέγγιον M. 434. πύλαισι ληχότα M, πύλαισ εἰληχότα m.

antistr. 1. *ΧΟ.* ὅλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται,
κεραυνοῦ δέ νιν βέλος ἐπισχέθοι,
πρὶν ἐμὸν ἐσθορεῖν δόμον, πωλικῶν θ'
ἑδωλίων ὑπερκόπῳ
δορί ποτ' ἐκλαπάξαι.
ΑΓ. καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις
λέξω. τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος
ἐξ ὑπτίου πήδησεν εὐχάλκου κράνους,
πύλαισι Νηΐστῃσι προσβαλεῖν λόχον.
ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας
δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι.
φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον,
μυκτηροκόμποις πνεύμασιν πληρούμενοι.
ἐσχημάτισται δ' ἀσπὶς οὐ μικρὸν τρόπον·
ἀνὴρ δ' ὁπλίτης κλίμακος προσαμβάσεις
στείχει πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων·
βοᾷ δὲ χοὗτος γραμμάτων ἐν ξυλλαβαῖς
ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων.
καὶ τῷδε φωτὶ πέμπε τὸν φερέγγυον
πόλεως ἀπείργειν τῆσδε δούλιον ζυγόν.
ΕΤ. πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ.
καὶ δὴ πέπεμπται κόμπον ἐν χεροῖν ἔχων,

440. *καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα*: *τὸν ἀπὸ τούτου κληρωθέντα. τρίτῳ γὰρ τῷ Ἐτεόκλῳ* (ἐξῆλθεν add. recc.) *ὁ κλῆρος ἀπὸ τοῦ κράνους, ἐν ᾧ περιστρέψαντες ἐκλήρουν.* 443. *οὕτω καλουμέναις.* 444. *τοῖς χαλινοῖς. ἐν ἀμπυκτῆρσιν: οἱ κορυφιστῆρες, τὰ προμετωπίδια κυρίως. νῦν δὲ λέγει τοῖς χαλινοῖς, ἵν' ᾖ, τοὺς ἵππους θυμοῦ πλήρης* (πλήρεις recc.) *περὶ τοὺς χαλινοὺς ἀνακάμπτειν καὶ περιάγειν, ἤδη βουλομένους εἶναι πρὸς ταῖς πύλαις.* 446. *ἀπηνῆ ἦχον· ἢ ἐπεὶ* (ὡσεὶ recc.) *ἡ σῦριγξ βοᾷ.* 450. *στείχει πρὸς ἐχθρῶν πύργον: οὐκ εἶπεν πρὸς ποῖον πύργον. μεγάλως οὖν φησι πρὸς πάντα πύργον.*

---

436. *μιν* M. 437. *θ'* recc.: *τ'* M. 438. *ὑπερκόπῳ* Brunckius: *ὑπερκόμπῳ* M. 443. *νηΐτησι*, corr. rec. in *νηΐστησι*, vel etiam *νηΐστησι* 'litterae stigma parte priore erasa' M. 444. *ἀμπυκτῆρσιν* recc.: *ἀμπυκτῆρσιν* M. 448. *εἰσημάτισται* ('.... *σημάτιστα* Merkel) M, *ἐσχημάτισται* e corr. m. rec. 454. *δούλειον* M. 456. *πέπεμπται* recc. unus: *πέπεμπτ' οὐ* M.

Μεγαρεὺς Κρέοντος σπέρμα τοῦ σπαρτῶν
ὃς οὔτι μάργων ἱππικῶν φρυαγμάτων [γένους,
βρόμον φοβηθεὶς ἐκ πυλῶν χωρήσεται,
ἀλλ' ἢ θανὼν τροφεῖα πληρώσει χθονί,
ἢ καὶ δύ' ἄνδρε καὶ πόλισμ' ἐπ' ἀσπίδος
ἑλὼν λαφύροις δῶμα κοσμήσει πατρός.
κόμπαζ' ἐπ' ἄλλῳ, μηδέ μοι φθόνει λέγων.

str. 2. ΧΟ. ἐπεύχομαι δὴ τάδε μὲν εὐτυχεῖν, ἰὼ
πρόμαχ' ἐμῶν δόμων, τοῖσι δὲ δυστυχεῖν.
ὡς δ' ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει
μαινομένᾳ φρενί, τώς νιν
Ζεὺς νεμέτωρ ἐπίδοι κοταίνων.

ΑΓ. τέταρτος ἄλλος, γείτονας πύλας ἔχων
Ὄγκας Ἀθάνας, ξὺν βοῇ παρίσταται,
Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος·
ἅλω δὲ πολλήν, ἀσπίδος κύκλον λέγω,

461. καὶ πόλισμ' ἐπ' ἀσπίδος: τὸν φέροντα τὴν ἀσπίδα καὶ τὸν ἐγγεγραμμένον τῇ ἀσπίδι, καὶ τὸ ἐπ' ἀσπίδος πόλισμα γραφέν. 463. κόμπαζ' ἐπ' ἄλλῳ: λέγε ἄλλον κομπώδη, μηδὲ (καὶ μηδὲν recc.) ἀποκρύψῃ με τῶν ἀλαζονειῶν. 468. ὃ πᾶν διανέμων. 469. γείτονας πύλας ἔχων: ὧν εἶπον. γείτονας οὖν πύλας ἐγγὺς (ἔχων add. Dind.) ταύτας ἵσταται ἅμα βοῇ τὰς τῆς Ἀθηνᾶς τῆς Ὀγκαίας, ἀφ' ἧς καὶ αἱ πύλαι Ὀγκαῖαι. ἡ δὲ ἱστορία αὕτη. Ἄγηνωρ ὁ Τύριος παῖδας ἔσχε τρεῖς, Εὐρώπην, Κάδμον καὶ Κίλικα. τῆς δ' Εὐρώπης ὑπὸ Διὸς ἁρπασθείσης ὁ Φοῖνιξ ἀπέστειλεν ἐπὶ ζήτησιν ταύτης τοὺς παῖδας, καὶ εἰ μὴ εὕροιεν, προσέταξε μὴ ἐπανήκειν. ὁ οὖν Κάδμος ἐλθὼν εἰς Ἑλλάδα καὶ μὴ εὑρὼν εἰς Δελφοὺς ἦλθεν ἐρωτήσων ποῦ κατασταίη. ὁ δὲ θεὸς εἶπεν αὐτῷ μετὰ τὸ ἀπὸ τοῦ ἱεροῦ ἐξελθεῖν τῷ εὑρεθέντι ἀκολουθεῖν. εὑρέθη βοῦς· ἠκολούθει. ἦλθεν εἰς Θήβας, ὤλισθεν ἡ βοῦς, καὶ ὁ μὲν Κάδμος ἐκεῖ ᾤκησεν, ἔθυσε δὲ τὴν βοῦν Ἀθηνᾷ, καὶ τῇ Αἰγυπτίᾳ φωνῇ ταύτην ἐτίμησεν ἐκεῖ Ὄγκαν. ὅθεν οὕτως καὶ αἱ πύλαι ὠνομάσθησαν. ἀπὸ δὲ Κίλικος Κιλικία. 471. περιφραστικῶς ὁ Ἱππομέδων, μέγας ὢν καὶ κάλλιστον ἔχων σχῆμα. 472. ἅλω δὲ πολλήν: ἅλως ἐστὶ κυρίως, ὅταν νέφη περὶ τὸν ἥλιον ἐκ-

457. σπαρτοῦ, ω a manu sive antiqua sive recentiore superscr., M. 461. δύ' ἄνδρε recc.: δ' ἄνδρε M. 463. λόγων Valckenaerius. 466. βάζουσιν recc.: βάζουσ' M.

ἔφριξα δινήσαντος· οὐκ ἄλλως ἐρῶ.
ὁ σηματουργὸς δ' οὔ τις εὐτελὴς ἄρ' ἦν
ὅστις τόδ' ἔργον ὤπασεν πρὸς ἀσπίδι,
Τυφῶν' ἱέντα πύρπνοον διὰ στόμα
λιγνὺν μέλαιναν, αἰόλην πυρὸς κάσιν·
ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος
προσηδάφισται κοιλογάστορος κύκλου.
αὐτὸς δ' ἐπηλάλαξεν, ἔνθεος δ' Ἄρει
βακχᾷ πρὸς ἀλκὴν Θυιὰς ὡς φόβον βλέπων.
τοιοῦδε φωτὸς πεῖραν εὖ φυλακτέον·
φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται.
ΕΤ. πρῶτον μὲν Ὄγκα Παλλάς, ἥτ' ἀγχίπτολις
πύλαισι γείτων, ἀνδρὸς ἐχθαίρουσ' ὕβριν,
εἴρξει νεοσσῶν ὡς δράκοντα δύσχιμον·
Ὑπέρβιος δὲ κεδνὸς Οἰνόπος τόκος
ἀνὴρ κατ' ἄνδρα τοῦτον ἡρέθη, θέλων
ἐξιστορῆσαι μοῖραν ἐν χρείᾳ τύχης,
οὔτ' εἶδος οὔτε θυμὸν οὔθ' ὅπλων σχέσιν
μωμητός, Ἑρμῆς δ' εὐλόγως συνήγαγεν.

καυθέντα (ἐκταθέντα recc.) λευκὰ φαίνηται καὶ ἐν κύκλῳ τοῦ ἡλίου γένηται. νῦν δὲ λέγει τὸν ῥοῖζον καὶ τὴν κίνησιν τὴν συνεχῆ τῆς ἀσπίδος. ἔφριξα οὖν, φησί, κινήσαντος καὶ οὐ ψευδῆ λέγω. ὁ δὲ ποιήσας τὴν ἀσπίδα καὶ τὰ σημεῖα αὐτῆς οὐκ ἦν, ὡς ἔοικεν, εὐτελής. 476. Τυφῶν' ἱέντα: ὤπασε δὲ ἐπὶ τῆς ἀσπίδος τὸν Τυφῶνα ἀφιέντα διὰ τοῦ στόματος καπνὸν μέλανα τὸν ἀδελφὸν τοῦ πυρός. αἰόλην δὲ τὴν ἀκίνητον (εὐκίνητον Ritschl) καὶ ταχεῖαν. κάσιν δὲ εἶπεν, ἐπεὶ σύνεστι τῷ πυρὶ ὁ καπνός. 477. τῶν παραδόξων ἐν χαλκῷ λαμπρῷ δεῖξαι μέλαν. 478. περίδρομον κύτος: τὸ χώρημα τῆς ἀσπίδος. ἡ δὲ περιφέρεια τῆς ἀσπίδος κύκλῳ ὁφίων εἰς ἑαυτοὺς ἀντικρυς ὁρώντων καὶ ἐμπεπλεγμένων τὰ τέλη ἔχει ἐγγεγραμμένου (-α recc.) πρὸς τὰ τέλη. ἡ ἀσπὶς ἡ κοίλη πρὸς τῇ γαστρὶ τοῦ κατέχοντος αὐτὴν οὖσα. τοὺς γηγενεῖς δρακοντόποδας ἔγραφον. 480. ἐμμανής. 487. Ὑπέρβιος ὄνομα κύριον. 491. τὰ ἀπὸ τῆς τύχης Ἑρμῇ ἀναφέρουσιν.

---

480. Ἄρει recc.: ἄρηι M. 481. Θυιάς recc.: Θυὰς M. φόνον Canterus. 484. ἦδ' Stanleius. 490. οὔθ' recc.: οὐδ' M.

ἐχθρὸς γὰρ ἀνὴρ ἀνδρὶ τῷ ξυστήσεται.
ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδων
θεούς· ὃ μὲν γὰρ πύρπνοον Τυφῶν' ἔχει,
Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδος
σταδαῖος ἥσται, διὰ χερὸς βέλος φλέγων.
κοὔπω τις εἶδε Ζῆνά που νικώμενον.
τοιάδε μέντοι προσφίλεια δαιμόνων.
πρὸς τῶν κρατούντων δ' ἐσμέν, οἳ δ' ἡσσωμένων,
εἰ Ζεύς γε Τυφῶ καρτερώτερος μάχῃ·
Ὑπερβίῳ τε πρὸς λόγον τοῦ σήματος
εἰκὸς δὲ πράξειν ἄνδρας ὧδ' ἀντιστάτας·
σωτὴρ γένοιτ' ἂν Ζεὺς ἐπ' ἀσπίδος τυχών.

antistr. 2. ΧΟ. πέποιθα τὸν Διὸς ἀντίτυπον ἔχοντ'
ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας
δαίμονος, ἐχθρὸν εἴκασμα βροτοῖς τε καὶ
δαροβίοισι θεοῖσι,
πρόσθε πυλᾶν κεφαλὰν ἰάψειν.

ΑΓ. οὕτως γένοιτο. τὸν δὲ πέμπτον αὖ λέγω,
πέμπταισι προσταχθέντα Βορραίαις πύλαις,
τύμβον κατ' αὐτὸν Διογενοῦς Ἀμφίονος·
ὄμνυσι δ' αἰχμὴν ἣν ἔχει, μᾶλλον θεοῦ
σέβειν πεποιθὼς ὀμμάτων θ' ὑπέρτερον,
ἢ μὴν λαπάξειν ἄστυ Καδμείων βίᾳ

494. τοὺς θεοὺς (οὓς add. recc.) ἐν ταῖς ἀσπίσι φοροῦσιν. 496. ἐνιδρυμένος. 498. οἰκείωσις. 499. τοῦ κρατοῦντος ἐσμὲν Διός, οὗ καὶ τὸ σημεῖον. 504. πιστεύω ἀπολεῖσθαι τὸν ἔχοντα ἐν τῷ σάκει τὸν ἐχθρὸν τοῦ Διὸς δαίμονα.

---

492. ἀνὴρ τῶι ξυντήσεται (ξυνστήσεται e corr., fort. *m*) M. 497 post 500 collocat Weilius. του Elmsleius. 500—503. *β γ α δ* adscripsit manus rec. sec. 14. vs. 502 inter 498 et 499 videtur reponendus. 502. εἰκόσγε πρᾶξιν M, εἰκός γε πρᾶξιν man. rec. 504. ἔχοντα M. 506. δαίμονος Brunckius: δαίμοσιν M. βροτοῖς Brunckius: βροτοῖσι M. 510. Βορραίαις Porsonus: βορρέαισ M.

Διός· τόδ' αὐδᾷ μητρὸς ἐξ ὀρεσκόου
βλάστημα καλλίπρῳρον, ἀνδρόπαις ἀνήρ.
στείχει δ' ἴουλος ἄρτι διὰ παρηίδων,
ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρίξ.
ὃ δ' ὠμόν, οὔτι παρθένων ἐπώνυμον,
φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων, προσίσταται.
οὐ μὴν ἀκόμπαστός γ' ἐφίσταται πύλαις·
τὸ γὰρ πόλεως ὄνειδος ἐν χαλκηλάτῳ
σάκει, κυκλωτῷ σώματος προβλήματι,
Σφίγγ' ὠμόσιτον προσμεμηχανημένην
γόμφοις ἑνώμα, λαμπρὸν ἔκκρουστον δέμας,
φέρει δ' ὑφ' αὑτῇ φῶτα Καδμείων ἕνα,
ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτεσθαι βέλη.
ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην,
μακρᾶς κελεύθου δ' οὐ καταισχυνεῖν πόρον,
Παρθενοπαῖος Ἀρκάς· ὁ δὲ τοιόσδ' ἀνήρ,
μέτοικος, Ἄργει δ' ἐκτίνων καλὰς τροφάς,
πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνοι θεός.
ΕΤ. *εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι πρὸς θεῶν,*
αὐτοῖς ἐκείνοις ἀνοσίοις κομπάσμασιν·
ἢ τἂν πανώλεις παγκάκως τ' ὀλοίατο.
ἔστιν δὲ καὶ τῷδ', ὃν λέγεις τὸν Ἀρκάδα,

516. *καλλιπρόσωπον.* ὁ νεωστὶ εἰς ἄνδρας τελῶν, ἢ ὁ ἐν παιδικῇ ἡλικίᾳ ἀνδρεῖος. καλλίπρωρος δὲ ἀντὶ τοῦ εὐειδής, ἐπεὶ ἡ πρώρα ὡς ὄψις ἐστὶ νεώς. 518. *τῆς παιδικῆς. ταρφύσεως* (l. *ταρφύς:*) *πεπυκνωμένη.* 519. *οὐ σύμφωνον τῇ κλήσει τῆς παρθένου τὸ φρόνημα ἔχων, ἀλλὰ ὠμόν.* 522. *ἐπειδὴ Οἰδίπους ἐμίγη τῇ μητρὶ λύσας τὸ αἴνιγμα τῆς Σφιγγός.* 530. *Ἀντίμαχος φησὶν Ἀργεῖον αὐτόν, οὐκ Ἀρκάδα. τοιοῦτός ἐστιν οἷον ἐγὼ εἶπον.* 531. *ἀκούσιον φόνον δράσας ὁ Παρθενοπαῖος εἰς Ἄργος ἔφυγεν.* 533. *εἴθε γὰρ παρὰ θεῶν τύχοιεν ἐπαξίως ὧν φρονοῦσιν ἀνοσίων καὶ ἀλαζονεύονται, ἐπὶ τῶν ἀσπίδων κομπάσματα ἔχοντες.*

---

515. *μητρός* recc.: *ματρὸσ* M. 516. *καλλίπρωρον* M. 523. *κύκλῳ τῶι* vel *κυκλωτωι* M, *κύκλωιτῶι m.* 530—532. fort. post 520 transponendi. 534. *ἀνοσίαισ* M.

ἀνὴρ ἄκομπος, χειρὶ δ' ὁρᾷ τὸ δράσιμον,
Ἄκτωρ, ἀδελφὸς τοῦ πάρος λελεγμένου·
ὃς οὐκ ἐάσει γλῶσσαν ἐργμάτων ἄτερ
ἔσω πυλῶν ῥέουσαν ἀλδαίνειν κακά,
οὐδ' εἰσαμεῖψαι θηρὸς ἐχθίστου δάκους
εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος·
ἔξωθεν εἴσω τᾷ φέροντι μέμψεται,
πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν.
θεῶν θελόντων δ' ἂν ἀληθεύσαιμ' ἐγώ.

str. 3. *XO.* ἱκνεῖται λόγος διὰ στηθέων,
τριχὸς δ' ὀρθίας πλόκαμος ἵσταται
μεγάλα μεγαληγόρων
κλύων ἀνοσίων ἀνδρῶν. εἴθεοὶ
θεοὶ τούσδ' ὀλέσειαν ἐν γᾷ.

AΓ. ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστατον
ἀλκήν τ' ἄριστον, μάντιν, Ἀμφιάρεω βίαν.
Ὁμολωίσιν δὲ πρὸς πύλαις τεταγμένος
κακοῖσι βάζει πολλὰ Τυδέως βίαν,
τὸν ἀνδροφόντην, τὸν πόλεως ταράκτορα,
μέγιστον Ἄργει τῶν κακῶν διδάκαλον,
Ἐρινύος κλητῆρα, πρόσπολον φόνου,

537. ἄλλο οὐδὲν ἢ σιωπᾶν μὲν οἶδεν, τῇ δὲ χειρὶ πολεμεῖν. περιφραστικῶς, πολεμικώτατός ἐστι. 539. ὃς τούτου τὸν κόμπον ἐφέξει τῶν πράξεων ἀποδέοντα μὴ ἔσω πυλῶν γενέσθαι. (541) τὸν φέροντα τὴν Σφίγγα. 544. ἡ ἀσπίς, ἢ ἡ Σφίγξ, βαλλομένη τῷ ἀπὸ τῶν δοράτων κρουσμῷ. 546. ὁ λόγος ὁ ἀπὸ τῶν πολεμίων ὁ ἀλαζονικός. 547. κατὰ περίφρασιν ἡ θρίξ. 548. μεγάλα πράγματα ἀκούων. 550. τοὺς πολεμίους. 552. Ἀμφιάραος Οἰκλέους τοῦ Μελάμποδος τοῦ Ἀμυθάονος τοῦ Κρηθέως τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διός, μητρὸς δὲ Ὑπερμνήστρας. 553. ἀπὸ Ὁμολωΐδος τῆς θυγατρὸς Νιόβης. 555. ἐπεὶ τοὺς Μέλανος ἀπέκτεινε παῖδας Ἀλκάθουν καὶ Λυκαυγέα (Λυκωπέα Butlerus). 557. ἐπειδὴ ἐπηράσατο Οἰδίπους μεθ' αἵματος διανείμασθαι αὐτοὺς τὴν βασιλείαν. ταύτην οὖν τὴν Ἐρινὺν ἐπιστένει. ὑπηρέτην. ἱερέα.

544. κροτησμοῦ, mutatum in κροτισμοῦ, M. 545. ἂν δ' Wellauerus. 547. καὶ τριχὸς ὄρθιος Blomfieldus. 549. εἰ θεῶι (correctum in θεοί) | θεοὶ M. εἴθε γὰρ θεοί recc.

κακῶν τ᾽ Ἀδράστῳ τῶνδε βουλευτήριον·
καὶ τὸν σὸν αὖθις προσμόραν ἀδελφεόν,
ἐξυπτιάζων ὄμμα, Πολυνείκους βίαν,
δίς τ᾽ ἐν τελευτῇ τοὔνομ᾽ ἐνδατούμενος
καλεῖ· λέγει δὲ τοῦτ᾽ ἔπος διὰ στόμα·
ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλές,
καλόν τ᾽ ἀκοῦσαι καὶ λέγειν μεθυστέροις,
πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
πορθεῖν, στράτευμ᾽ ἐπακτὸν ἐμβεβληκότα;
μητρός τε πηγὴν τίς κατασβέσει δίκη,
πατρὶς δὲ γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ
ἁλοῦσα πῶς σοι ξύμμαχος γενήσεται;
ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα,
μάντις κεκευθὼς πολεμίας ὑπὸ χθονός·
μαχώμεθ᾽, οὐκ ἄτιμον ἐλπίζω μόρον.
τοιαῦθ᾽ ὁ μάντις ἀσπίδ᾽ εὔκυκλον νέμων
πάγχαλκον ηὔδα· σῆμα δ᾽ οὐκ ἐπῆν κύκλῳ.
οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ᾽ εἶναι θέλει,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.
τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας
πέμπειν ἐπαινῶ· δεινὸς ὃς θεοὺς σέβει.

559. τὸν ἀξιοθάνατον· ἢ τὸν συμπράκτορα αὐτοῦ. 560. ἀναπτύσσων, ἐτυμολογῶν. 561. εἰς δύο διαιρῶν τὸ ὄνομα τοῦ Πολυνείκους, τὸ πολὺ καὶ τὸ νεῖκος. 563. καθ᾽ ὑπόκρισιν. 564. τοῖς μεθ᾽ ἡμᾶς ὕστερον λέγειν ταῦτα καλόν ἐστιν ὥστε περὶ σοῦ λέγεσθαι. 567. τὰ δάκρυα τῆς πατρίδος ποία παύσει τιμωρία; 570. κεραυνῷ γὰρ σχισθεῖσα ἔλαβεν αὐτόν. 572. οὐκ ἀγεννῆ. οὗτος γὰρ ἐκεῖ καταποθεὶς ὑπὸ τῆς γῆς ὕστερον μετὰ θάνατον ἐμάντευεν. 576. βαθεῖαν ἔχων τὴν ἄλοκα τῆς φρενός, ἐξ ἧς ἀνδρὸς φύεται λόγος. τοῦτο ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ (2 p. 362) ἀπεδέξατο. 578. τροπικῶς ὡς ἐπὶ ναυμαχίας. 579. δυσκατέργαστος γάρ ἐστιν ὅστις τοὺς θεοὺς τιμᾷ.

559. πρὸσμόραν, eraso priore accentu, M. 560. ὄμμα Schuetzius: ὄνομα M. 567. πληγήν Seidlerus. δίκηι, eraso ι, M. 568. τε recc. 571. ὑπὸ χθονός recc.: ἐπὶ χθονὸς M. 573. εὔκηλον ἔχων M, γρ. εὔκυκλον νέμων m.

ΕΤ. φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς
δίκαιον ἄνδρα τοῖσι δυσσεβεστάτοις.
ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς
κάκιον οὐδέν, καρπὸς οὐ κομιστέος·
ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται.
ἢ γὰρ ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ
ναύτῃσι θερμοῖς καὶ πανουργίᾳ τινὶ
ὄλωλεν ἀνδρῶν σὺν θεοπτύστῳ γένει,
ἢ ξὺν πολίταις ἀνδράσιν δίκαιος ὢν
ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοσιν
ταὐτοῦ κυρήσας ἐκδίκως ἀγρεύματος,
πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ δάμη.
οὕτως δ' ὁ μάντις, υἱὸν Οἰκλέους λέγω,
σώφρων δίκαιος ἀγαθὸς εὐσεβὴς ἀνήρ,
μέγας προφήτης, ἀνοσίοισι συμμιγεὶς
θρασυστόμοισιν ἀνδράσιν βίᾳ φρενῶν
τείνουσι πομπὴν τὴν μακρὰν πάλιν μολεῖν,
Διὸς θέλοντος συγκαθελκυσθήσεται.
δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις,
οὐχ ὡς ἄθυμος οὐδὲ λήματος κάκῃ,
ἀλλ' οἶδεν ὡς σφε χρὴ τελευτῆσαι μάχῃ,
εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου.
φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια.

580. συνάγοντος· ἀπὸ μεταφορᾶς τῶν τὰς συναλλαγὰς καὶ τὰ συμβόλαια ποιουμένων. 583. οὐκ ἄξιος κομίζεσθαι ὁ καρπὸς αὐτῆς. 584. λύμης χωρίον ἢ τῶν πονηρῶν φιλία. 590. οἷον σὺν αὐτοῖς θηραθείς. 595. τοῖς ὁρμῶσι τῇ βίᾳ. 596. ἐπὶ τὴν εἰς Ἅιδην ἀποικίαν ἑλκυσθήσεται μολεῖν τὴν ἐναντίαν τῇ εἰς Ἄργος. 598. αὐτόν. 600. ἀλλ' ὡς μάντις τὸ τέλος εἰδὼς οὐκ εἰς κίνδυνον ἑαυτὸν καθήσει. 601. εἰ φύει ἀλήθειαν τὸ μάντευμα, παρέπεται καρπός, εἰ ταῖς τοῦ Ἀπόλλωνος μαντείαις τέλος ἔνι. 602. παραδιαζευκτικὸς ἀντὶ τοῦ καί, καὶ λέγειν τὰ καίρια.

580. βροτοὺσ M, βροτοῖσ *m* (βροτοῖσ Merkel). 581. δυσσεβεστάτοις recc.: δυσσεβεστέροισ M. 584. damnavit Schuetzius. 586. πανουργίας πλέφς Dindorfius. 592. οὕτωσ δ', mutatum in οὗτοσ δ' a manu rec., M. 599. ἄθυμον Turnebus. 600. ὥσφε M, 'σ inter ω et σ a man. rec. inserto'. 602 post 605 collocat Weilius.

ὅμως δ' ἐπ' αὐτῷ φῶτα, Λασθένους βίαν,
ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν·
γέροντα τὸν νοῦν, σάρκα δ' ἡβῶσαν φύει,
ποδῶκες ὄμμα, χεῖρα δ' οὐ βραδύνεται
παρ' ἀσπίδος γυμνωθὲν ἁρπάσαι δόρυ.
Θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς.

antistr. 3. ΧΟ. κλύοντες Θεοὶ δικαίας λιτὰς
ἡμετέρας τελεῖθ', ὡς πόλις εὐτυχῇ,
δορίπονα κάκ' ἐκτρέπον-
τες γᾶς ἐπιμόλους· πύργων δ' ἔκτοθεν
βαλὼν Ζεύς σφε κάνοι κεραυνῷ.

ΑΓ. τὸν ἕβδομον δὴ τόνδ' ἐφ' ἑβδόμαις πύλαις
λέξω, τὸν αὐτοῦ σοῦ κασίγνητον, πόλει
οἵας γ' ἀρᾶται καὶ κατεύχεται τύχας·
πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς χθονί,
ἀλώσιμον παιᾶν' ἐπεξιακχάσας,
σοὶ ξυμφέρεσθαι καὶ κτανὼν θανεῖν πέλας,
ἢ ζῶντ' ἀτιμαστῆρα τὼς ἀνδρηλάτην
φυγῇ τὸν αὐτὸν τόνδε τίσασθαι τρόπον.
τοιαῦτ' ἀυτεῖ καὶ Θεοὺς γενεθλίους
καλεῖ πατρῴας γῆς ἐποπτῆρας λιτῶν
τῶν ὧν γενέσθαι πάγχυ Πολυνείκους βία.

603. περιφραστικῶς τὸν Λασθένη τὸν ἰσχυρόν. 610. ἐπιτελεῖτε ὅπως εὐτυχῇ, τὰ ἀπὸ τοῦ πολέμου κακὰ ἀπὸ τῆς γῆς ἐπὶ τοὺς ἐπελθόντας τρέποντες. 612. ἀποβαλὼν δὲ αὐτοὺς ὁ Ζεὺς ἔξω τῶν τειχῶν διαφθρεῖ ἐν (l. διαφθείρειεν) κεραυνῷ ἐπὶ ταῖς πύλαις. 618. ἐκβοήσας. ἐπινίκιον παιᾶνα ἐπαλαλάξας μετὰ ἰαχῆς. οὕτω καὶ ὁ Ἴακχος λέγεται παρὰ (τὰς add. recc.) ἰαχὰς τῶν μυουμένων. 619. συστῆναί σοι καὶ φονεῦσαι, ἀποθανὼν ἐγγύς. 623. τούτων οὖν αὐτῶν (l. ταῦτα οὖν αὐτῶν) βοηθοὺς γενέσθαι τοὺς Θεοὺς ἐπεύχεται παντελῶς τῇ βίᾳ αὐτοῦ ὁ Πολυνείκης.

---

605. φύει Wellauerus: φύσει, cui φέρει superscripsit man. rec., M. 612. ἐς γᾶς Hermannus. ἐπιμόλουσ, sed ut εἰς additum sit a man. recenti, M. 614. τὸν πρὸς ἑβδόμαις Heimsoethius. 616. οἵ...γ' ἀρᾶται, ας addito in litura a manu recentissima, M. 620. τῶσ M, τὼσ m. 624. βίαι M.

ἔχει δὲ καινοπηγὲς εὔθετον σάκος
διπλοῦν τε σῆμα προσμεμηχανημένον.
χρυσήλατον γὰρ ἄνδρα τευχηστὴν ἰδεῖν
ἄγει γυνή τις σωφρόνως ἡγουμένη.
Δίκη δ' ἄρ' εἶναι φησίν, ὡς τὰ γράμματα
λέγει· κατάξω δ' ἄνδρα τόνδε καὶ πόλιν
ἕξει πατρῴων δωμάτων τ' ἐπιστροφάς.
τοιαῦτ' ἐκείνων ἐστὶ τἀξευρήματα.
σὺ δ' αὐτὸς ἤδη γνῶθι τίνα πέμπειν δοκεῖ·
ὡς οὔποτ' ἀνδρὶ τῷδε κηρυκευμάτων
μέμψῃ, σὺ δ' αὐτὸς γνῶθι ναυκληρεῖν πόλιν.
ΕΤ. ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος,
ὦ πανδάκρυτον ἁμὸν Οἰδίπου γένος·
ὤμοι, πατρὸς δὴ νῦν ἀραὶ τελεσφόροι.
ἀλλ' οὔτε κλάειν οὔτ' ὀδύρεσθαι πρέπει,
μὴ καὶ τεκνωθῇ δυσφορώτερος γόος.
ἐπωνύμῳ δὲ κάρτα, Πολυνείκει λέγω,
τάχ' εἰσόμεσθα τοὐπίσημ' ὅποι τελεῖ,
εἴ νιν κατάξει χρυσότευκτα γράμματα
ἐπ' ἀσπίδος φλύοντα σὺν φοίτῳ φρενῶν.
εἰ δ' ἡ Διὸς παῖς παρθένος Δίκη παρῆν
ἔργοις ἐκείνου καὶ φρεσίν, τάχ' ἂν τόδ' ἦν·
ἀλλ' οὔτε νιν φυγόντα μητρόθεν σκότον,
οὔτ' ἐν τροφαῖσιν, οὔτ' ἐφηβήσαντά πω,

625. γρ. εὔθετον, ἵν' ᾖ εὐβάστακτον. θεῖναι γὰρ τὸ ἀναλαβεῖν λέγουσιν Ἀττικοί. καὶ ὅπλα ἔθεντο ἀντὶ τοῦ ἀνέλαβον. 627. ὁπλίτην. 634. ἀντὶ τοῦ ἐμοὶ ὢν ἀπήγγειλα. 635. περιέπειν, πεφροντικέναι. 636. ὦ θεοῖς ἐπιμαινόμενε. ἐπιστρατεύῃ καὶ πατρίδι καὶ πατρῴοις θεοῖς. 640. αὐξηθῇ. 641. πάνυ γὰρ τὸ ἐπώνυμον τῇ φιλονεικίᾳ (συμφωνεῖ add. recc.). 643. οὐκ εἶπεν θεὸς ἢ ἄνθρωπος, ἀλλὰ τὰ χρυσᾶ γράμματα. 644. φλυαροῦντα. 647. ἀντὶ τοῦ γεννηθέντα.

---

625. εὔκυκλον M. 630. λέγει recc.: λέξει, sed ε e corr. m in rasura, M. 631. τ' videri potest m addidisse. 633. δόκεῖ, eraso priore accentu, M. 639. κλαίειν M. 641. πολυνείκει, sed ut ει syllabae extremae videatur in litura esse, M. 642. τοὐπίσημ' M (υ in litura, fort. m). 644. συμφοίτω M. 646. leg. φρασίν.

οὔτ' ἐν γενείου ξυλλογῇ τριχώματος,
Δίκη προσεῖδε καὶ κατηξιώσατο·
οὐδ' ἐν πατρῴας μὴν χθονὸς κακουχίᾳ
οἶμαί νιν αὐτῷ νῦν παραστατεῖν πέλας,
ἢ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος
Δίκη, ξυνοῦσα φωτὶ παντόλμῳ φρένας.
τούτοις πεποιθὼς εἶμι καὶ ξυστήσομαι
αὐτός· τίς ἄλλος μᾶλλον ἐνδικώτερος;
ἄρχοντί τ' ἄρχων καὶ κασιγνήτῳ κάσις,
ἐχθρὸς σὺν ἐχθρῷ στήσομαι. φέρ' ὡς τάχος
κνημῖδας, αἰχμῆς καὶ πετρῶν προβλήματα.

(Dux chori)

ΧΟ. μή, φίλτατ' ἀνδρῶν, Οἰδίπου τέκος, γένῃ
ὀργὴν ὁμοῖος τῷ κάκιστ' αὐδωμένῳ·
ἀλλ' ἄνδρας Ἀργείοισι Καδμείους ἅλις
ἐς χεῖρας ἐλθεῖν· αἷμα γὰρ καθάρσιον.
ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος,
οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος.
ΕΤ. εἴπερ κακὸν φέροι τις αἰσχύνης ἄτερ,
ἔστω· μόνον γὰρ κέρδος ἐν τεθνηκόσιν·

649. οὐ γὰρ ἀθρόως φύεται, ἀλλὰ συλλέγεται κατ' ὀλίγον. 650. εἶδεν αὐτὸν καὶ ἐφίλησεν. ἀντὶ τοῦ, οὐδὲ ἐν μιᾷ ἡλικίᾳ ἔπραξέ τι δίκαιον. 651. καὶ μὲν δὴ οὐδὲ ἐπὶ κακώσει τῆς πατρῴας χώρας ἐγγὺς αὐτοῦ ἔσται ἡ Δίκη. 661. τὸν τρόπον. τῷ ἀδελφῷ σου βλασφημούμενος (-ῳ recc.). ὑπὸ σοῦ. 663. πολέμους ἀνελεῖν. καθαρὸν τὸ αἷμα τῶν ἀλληλοκτονούντων ξένων ἐν πολέμοις, τὸ δ' ἀδελφοκτονεῖν ἄντικρυς φονέων ἔργον. ὑπερβατὸν δέ ἐστιν, ἵν' ᾖ, αἷμα γὰρ τοῦτο κάθαρσιν οὐκ ἐπιδέχεται, ὅταν ἀδελφοὶ αὐτόκτονες (αὐτοκτόνοι Dind.) γένωνται, καὶ οὕτως αὐτῶν ὁ θάνατος γένηται. 665. διαπαντὸς αἰσθήσεται τὸ μίασμα τοῦτο. ἔλλειψις. 666. εἴπερ κακὸν φέροι: εἰ ὅλως τις ἀτυχεῖ, καλὸν τὸ δίχα αἰσχύνης. 667. μόνον γὰρ κέρδος: ἡ εὔκλεια· ἓν κέρδος τὸ αὑτὸν ἐκδικῆσαι ἀδικούμενον. ἐὰν δὲ ἀνεκδίκητος ἀποθάνῃ, ἕνεκά γε τῶν εἰς αὐτὸν γενομένων κακῶν καὶ αἰσχρῶν ἄδοξος.

---

649. ·σ· ξυλλογῇ M. 651. οὐδ' recc.: οὔτ' M. 653. ἦ M, ἢ ἦ m. 663. χεῖρας recc.: χέρασ M.

κακῶν δὲ κἀσχρῶν οἵτιν' εὐκλείαν ἐρεῖς.

(Chorus)

str. 4. *XO. τί μέμονας, τέκνον; μήτι σε θυμοπλη-*
θὴς δορίμαργος ἅτα φερέτω· κακοῦ δ' 670
ἔκβαλ' ἔρωτος ἀρχάν.

ET. ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεός,
ἴτω κατ' οὖρον κῦμα Κωκυτοῦ λαχὸν
Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος.

antistr. 4. *XO. ὠμοδακής σ' ἄγαν ἵμερος ἐξοτρύ-* 675
νει πικρόκαρπον ἀνδροκτασίαν τελεῖν
αἵματος οὐ θεμιστοῦ.

ET. φίλου γὰρ ἐχθρά μοι πατρὸς τελεῖ ἀρὰ
ξηροῖς ἀκλαύστοις ὄμμασιν προσιζάνει
λέγουσα κέρδος πρότερον ὑστέρου μόρου. 680

str. 5. *XO. ἀλλὰ σὺ μὴ 'ποτρύνου· κακὸς οὐ κεκλή-*
ση βίον εὖ κυρήσας· μελάναιγις οὐκ
εἶσι δόμων Ἐρινύς, ὅταν ἐκ χερῶν

668. *δειλῶν.* 673. *οἷον εὐστόχως χειμαζέσθω. ἴτω κατ' οὖρον: ἀπίτω κατ' εὐθεῖαν τοῦ Κωκυτοῦ κῦμα. ἐπειδὴ πᾶν τὸ γένος τὸ Λαΐου κεκλήρωται τούτῳ, ὑπὸ τοῦ Ἀπόλλωνος μισηθέν. Ἀπόλλωνος δὲ εἶπεν, ἐπειδὴ αὐτὸς μέν ἐστιν καθαρὸς καὶ ἀμίαντος καὶ μὴ κοινωνεῖν τῇ γυναικὶ παρήγγειλεν, οὗτοι δὲ παρήκουσαν καὶ ἐγένοντο ἀνόμως.* 675. *ὠμοδακής σ' ἄγαν: ἡ ἄλογος ἄγαν ἐπιθυμία παρορμᾷ ἡ πικρὸν καρπὸν καὶ κέρδος ἔχουσα εἰς ταυτὸν οὖν (εἰς τὸ ἀποκτείνειν?) τοὺς ἄνδρας ἀδίκου ἕνεκεν αἵματος, ἵν' ᾖ ὅτι μέλλουσιν οἱ ἀδελφοὶ ἀλλήλους ἀναιρεῖν.* 679. *ἀσυμπαθέσιν, ἀναλγήτοις.* 680. *κέρδος μοι ὑποτιθεμένη τὸ προτερῆσαι ἀποκτείναντα, ἢ ὑστερῆσαι.* 681. *ἀλλὰ σὺ μὴ 'ποτρύνου: καλῶς γὰρ πράξας οὐ νομισθήσῃ φαῦλος. οὐ γὰρ ἡ τὴν φοβερὰν ἔχουσα αἰγίδα Ἐρινὺς εἰς τὸν οἶκον ἐκείνου εἴσεισιν, οὗ οἱ θεοὶ θυσίας προσδέχονται.* 682. *εὐτυχήσας, εὖ πράξας.* 683. *κατὰ τῶν δόμων τοῦ ὁσίου ἀνδρός. ὁσίου ἀνδρός, οὗ οἱ θεοὶ τὰς θυσίας δέχονται.*

---

668. *κ' ἀισχρῶν* M. 669. *μήτι σε* recc.: *μήτισσε* M. 670. *ἀτᾶ* M. 671. *ἔκβαλλ'* (sec. Merkel.) vel *ἔκβαλ'* (alterum *λ* ut addiderit *m*) M. 676. *ἀνδροηλασίαν* (Merkel) vel *ἀνδροκλασίαν* M, *λ* litterae *τ* superimposito a manu recentiore. 678. *ἐχθρά* recc.: *αἰσχρὰ* M. *τάλαιν' ἀρά* Wordsworthius, *μέλαιν'* Weilius. 681. sola paragrapho notat M. 682. *μελαναιγίς* Arnaldus: *μελαναιγισδ'* M.

θεοὶ θυσίαν δέχωνται.

ΕΤ. θεοῖς μὲν ἤδη πως παρημελήμεθα, 685
χάρις δ' ἀφ' ἡμῶν ὀλομένων θαυμάζεται·
τί οὖν ἔτ' ἂν σαίνοιμεν ὀλέθριον μόρον;

antistr. 5. ΧΟ. νῦν ὅτε σοι παρέστακεν· ἐπεὶ δαίμων
λήματος ἀντροπαίᾳ χρονίᾳ μεταλ-
λακτὸς ἴσως ἂν ἔλθοι θαλερωτέρῳ 690
πνεύματι· νῦν δ' ἔτι ζεῖ.

ΕΤ. ἐξέζεσεν γὰρ Οἰδίπου κατεύγματα·
ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων
ὄψεις, πατρῴων χρημάτων δατήριοι.

(Dux chori)

ΧΟ. πιθοῦ γυναιξί, καίπερ οὐ στέργων ὅμως. 695
ΕΤ. λέγοιτ' ἂν ὧν ἄνη τις. οὐδὲ χρὴ μακράν.
ΧΟ. μὴ 'λθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις.
ΕΤ. τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ.
ΧΟ. νίκην γε μέντοι καὶ κακὴν τιμᾷ θεός.
ΕΤ. οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος. 700

686. χάρις δ' ἀφ' ἡμῶν: τὴν ἀπώλειαν ἡμῶν ἐν χάριτος μοίρᾳ λαμβάνουσιν· ἢ μετὰ θάνατον ἴσως εὐκλείας τευξόμεθα. ἄλλως. μετὰ θάνατον, φησίν, αἱ πράξεις τῶν ἀνθρώπων θαυμάζονται. τί οὖν οὐχὶ γενναῖόν τι δράσαντες ἀποθανούμεθα, τὸν Πολυνείκη ὡς ἀσεβῆ ἀνελόντες, ἀλλὰ κολακεύομεν τὸν θάνατον, καὶ οὐχὶ χωροῦμεν πρὸς αὐτόν; 692. αἱ ἀραί. 693. ὡς τοῦτο ἐν τοῖς ὕπνοις φαντασθείς, ὅτι δι' αἵματος αὐτῷ ἔσται ἡ τῶν χρημάτων διανομή. 694. μερισταί. 696. ὧν ἄνη τις: ἀνύσιμα καὶ τελεσθῆναι δυνάμενα. 697. ἔνθα ὁ Πολυνείκης. 699. τιμωρεῖται· ἢ ἐν ἐρωτήσει ὁ λόγος. 700. οὐκ ἄνδρ' ὁπλίτην: ἐμὲ ὁπλίτην ὄντα οὐ χρὴ στέργειν τὸ ὑμέτερον ἔπος. οὐ χρὴ γὰρ ζητεῖν περὶ ἀγαθῆς ἢ κακῆς νίκης.

---

685. paragraphum praefigit M. 688. personae nota nulla in M. 689. *ἀντροπαῖα χρονία*, corr. in *ἀντροπαία χρόνια* a manu rec., M. 690. *θα..λωτέρωι* M. sec. Merkel.; 'litterae *λερ* a manu antiqua in litura. *θαλρωτέρωι* pr. ut videtur' Dind. '*θα*λωτέρωι* pr. — *θα*λωτέρῳ* rec.' Ritschl. 692. *ἐξέζεσαν* (Merkel) vel *ἐξέζεσνν* M, *ἐξέζεσεν m*. 694. *δατήριοι*, *οι* ex *α* vel *αι* facto, M. 695. *πιθοῦ* Blomfieldus: *πείθου* M. 696—99, item 702. 703 solis paragraphis notat M.

XO. ἀλλ' αὐτάδελφον αἷμα δρέψασθαι θέλεις;
ET. θεῶν διδόντων οὐκ ἂν ἐκφύγοις κακά.

str. 1. *XO.* πέφρικα τὰν ὠλεσίοικον
θεόν, οὐ θεοῖς ὁμοίαν,
παναληθῆ, κακόμαντιν,
πατρὸς εὐκταίαν Ἐρινὺν
τελέσαι τὰς περιθύμους
κατάρας Οἰδιπόδα βλαψίφρονος·
παιδολέτωρ δ' ἔρις ἅδ' ὀτρύνει.
antistr. 1. ξένος δὲ κλήρους ἐπινωμᾷ
Χάλυβος Σκυθῶν ἄποικος,
κτεάνων χρηματοδαίτας

703. πέφρικα τὰν ὠλεσίοικον: δέδοικα τὴν τοὺς οἴκους ἀφανίζουσαν θεὸν Ἐρινύν, οὐδὲν ἔχουσαν θεοῖς ὅμοιον. πᾶς γὰρ θεὸς ἀγαθοποιός. 704. θεοὶ γὰρ δοτῆρες ἐάων. 705. παναληθῆ, κακόμαντιν: τὴν ἐπὶ κακοῖς ἀληθεύουσαν. ἃ γὰρ νύκτωρ παρεκελεύσατο καὶ γέγονε. 707. ἦν ἐπηύξατο Οἰδίπους τελέσαι τὰς ἀράς. 709. παιδολέτωρ δ' ἔρις: ταῦτα παρορμᾷ. δῆλον δὲ ὅτι ἐν ταῖς αἰχμαλωσίαις τὰ παιδία ἀναιρεῖται. ὑποκοριστικῶς δὲ τὴν Ἐρινὺν Ἔριν εἶπεν. 710. ξένος δὲ κλήρους ἐπινωμᾷ: ποιητικῶς πάνυ ταῦτα ὁ Αἰσχύλος. τὸν γὰρ Χαλυβαϊκὸν (Χαλυβδικὸν Dind.) καὶ Σκυθικὸν σίδηρον φησὶ ταῦτα πράττειν. σεσωματοποίηκε γὰρ τὸν σίδηρον, ὃν φησιν οὕτως ταῦτα κινεῖν κατὰ τῶν παίδων τῶν τὰ χρήματα δάσασθαι βουλομένων καὶ διὰ ταῦτα πολεμούντων. οὗτος οὖν, φησί, μερίζει τοῖς παισὶ τούτοις καὶ ὥσπερ ἀποκληροῖ οὐχὶ πεδία μεγάλα, ἀλλὰ παντελῶς μικρά, δυνάμενα μόνα αὐτῶν τὰ σώματα χωρῆσαι πεπτωκότα. ὅταν μέντοι αὐτοὺς κτάνωσι καὶ ἡ πατρῴα αὐτῶν κόνις πίῃ τὸ αἷμα, τίς ἂν τὸ μύσος αὐτῶν ἀποκαθάρῃ: ἤ, ὅταν ὁ ἕτερος ἀποκτείνας αὐτὸς ζήσει, τίς αὐτὸν καθάρῃ τοῦ μύσους; ἐάν, φησίν, ἡ πατρὶς γῆ πίῃ τὸ αὐτῶν αἷμα. ἔνθεν καὶ αὐτόχθονας φαμέν.

---

702. ἐκφύγοις M, ἐκφύγοισ m vel alia man. antiqua. 708. Οἰδιπόδα βλαψίφρονος Triclinius et Blomfieldus: βλαψίφρονοσ οἰδιπόδα M.

709. ἔρισδ' M, ἔραδ' man. recentior. 710. κλήροι.σ M sec. Merkel., κλήρουσ pr., in κλήροισ mutatum ab alia m.' Dind.; 'κλήροι*σ ant., fort. corr. e κλήρουσ' Ritschl. ἐπινωμᾶ vel ἐπινωμᾶν M, ἐπινωμᾶι m. 712. κτεάνω* M, κτεάνων m. rec.

πικρός, ὠμόφρων σίδαρος,
χθόνα ναίειν διαπήλας,
ὁπόσαν καὶ φθιμένοισιν κατέχειν,
τῶν μεγάλων πεδίων ἀμοίρους.
str. 2. ἐπειδὰν αὐτοκτόνως
αὐτοδάικτοι θάνωσι,
καὶ χθονία κόνις πίῃ
μελαμπαγὲς αἷμα φοίνιον,
τίς ἂν καθαρμοὺς πόροι,
τίς ἄν σφε λούσειεν; ὦ
πόνοι δόμων νέοι παλαι-
οῖσι συμμιγεῖς κακοῖς.
antistr. 2. παλαιγενῆ γὰρ λέγω
παρβασίαν ὠκύποινον·
αἰῶνα δ' ἐς τρίτον μένει·
Ἀπόλλωνος εὖτε Λάιος
βίᾳ, τρὶς εἰπόντος ἐν
μεσομφάλοις Πυθικοῖς

715. τάφου μοῖραν ἀπομερίσας αὐτοῖς. 718. αὐτοὶ ἑαυτοὺς φονεύσαντες. τῷ ἑαυτῶν σιδήρῳ ἑαυτοὺς τρώσαντες. 721. τίς ἂν εὑρεθείη; τίς αὐτοὺς ἐκλύσει τοῦ τοιούτου μιάσματος; 725. τὴν παλαιὰν παράβασιν. παρέβη γὰρ τὸν χρησμὸν τοῦ Ἀπόλλωνος. 727. Λαΐου, Οἰδίποδος, Ἐτεοκλέους. 728. Ἀπόλλωνος εὖτε Λάϊος: τὸ φιλάνθρωπον τοῦ θεοῦ ἐμφαίνεται διὰ τούτου. ὅταν, φησίν, ὁ Ἀπόλλων τρὶς εἶπῃ τῷ Λαΐῳ μὴ σπεῖρε τέκνων ἄλοκα, ἐπεὶ κτενεῖ σε ὁ φύς (Eurip. Phoen. 18. 19). αὐτὸς δὲ παρωσάμενος τὰς τοῦ θεοῦ ἐντολάς, ὑπὸ τῶν ἡδονῶν αὐτοῦ κατακρατηθεὶς συνῆλθεν τῇ Ἰοκάστῃ. τὸ δὲ ἑξῆς, εὖτε Λάϊος κρατηθεὶς ὑπὸ τῶν αὐτῷ φίλων ἡδονῶν· ἢ ἀντὶ τοῦ τῆς γυναικός. κρεῖσσον (κρείσσω recc.) γὰρ τὰ πάθη τῶν λογισμῶν. 729. τὸ φιλάνθρωπον τοῦ θεοῦ διὰ τοῦ τρὶς ἐμφαίνει.

---

717. αὐτοκτόνως Triclinius: αὐτοκτόνωσιν, corr. in αὐτοὶ κτάνωσιν a m. rec., M. 719. καὶ γαῖα κόνις Hermannus. 721. καθαρμούς recc.: καθαρ.... M, καθαρμα m, κάθαρμα m. rec. 723. 24. παλαιοῖσι recc.: παλαιοῖσ συμμιγεῖσ M. 726. παρβασίαν Porsonus: παραβασίαν M. ὠκύπονον M, ὠκύποινον m.

χρηστηρίοις θνᾴσκοντα γέν-
νας ἄτερ σῴζειν πόλιν,
str. 3. κρατηθεὶς ἐκ φίλων ἀβουλιᾶν
ἐγείνατο μὲν μόρον αὐτῷ,
πατροκτόνον Οἰδιπόδαν,
ὅστε ματρὸς ἁγνὰν
σπείρας ἄρουραν, ἵν' ἐτράφη,
ῥίζαν αἱματόεσσαν
ἔτλα· παράνοια συνᾶγε
νυμφίους φρενώλεις.
antistr. 3. κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει,
τὸ μὲν πίτνον, ἄλλο δ' ἀείρει
τρίχαλον, ὃ καὶ περὶ πρύ-
μναν πόλεως καχλάζει.
μεταξὺ δ' ἀλκὰ δι' ὀλίγου
τείνει πύργος ἐν εὔρει.
δέδοικα δὲ σὺν βασιλεῦσι
μὴ πόλις δαμασθῇ.

732. σωθήσεται γὰρ οὕτως ἡ πόλις. 733. οἷς ἐκοινώσατο τὸν χρησμόν. 737. ὑπερβατόν, σπείρας ῥίζαν αἱματόεσσαν. 739. ἔτλα, παράνοια: ἔτλη δὲ ἀγνοίᾳ συναγαγεῖν τοὺς γάμους ὁ τὰς φρένας βλαβείς. ἡ δὲ ἄγνοια, φησί, τὰς φρένας ἀπολλύουσα συνήγαγε. 740. γάμους. 741. κακῶν δ' ὥσπερ θάλασσα: τὰ κακὰ ὥσπερ θαλάσσῃ ἔοικεν, καὶ τὰ μὲν ἐπὶ Λαΐου γέγονε, τὰ δὲ ἐπὶ Οἰδίποδος, τὰ δὲ νῦν· ἄτινα βρέμει περὶ τὸ ἄκρον τῆς πόλεως. 742. πρὸ μέν τ' ἄλλα, αὐτὰρ ἔπ' ἄλλα (Hom. Il. *N.* 799). τὸ μὲν πίτνον: οὕτως λέγει, τὸ μὲν πίπτει, τὸ δὲ διεγείρεται, τὸ δὲ περὶ τὴν ναῦν προσρήγνυται. 745. μεταξὺ δ' ἀλκά: μεταξὺ δὲ ἡμῶν δι' ὀλίγου ἐστὶν ἡ τῶν πολεμίων δύναμις τῆς ἡμετέρας, καὶ τὸ διάστημα ὁ πύργος ὁ διείργων ἐστίν. 746. ἐν πλάτει, ἐν μεταιχμίῳ.

---

731. θνά...σκοντα M. 732. σώζειν M. 733. κρατηθεὶς Porsonus: κρατηθεὶσ δ' M. ἀβουλίαν M. 734. ἐγείνατο recc.: γείνατο M. 739. ἔτλη M. παρανοία M (Merkel.). 740. φρενώλησ M. 742. ἀείμει M sec. Merkelium. An ἀμείβει? 747. σϋμβαλεῦσι M, σὺνβαλεῦσι *m*.

str. 4. τέλειαι γὰρ παλαιφάτων ἀρᾶν
βαρεῖαι καταλλαγαί·
τὰ δ' ὁλοὰ πενομένους παρέρχεται,
πρόπρυμνα δ' ἐκβολὰν φέρει
ἀνδρῶν ἀλφηστᾶν
ὄλβος ἄγαν παχυνθείς.

antistr. 4. τίν' ἀνδρῶν γὰρ τοσόνδ' ἐθαύμασαν
θεοὶ καὶ ξυνέστιοι
πόλεος ὁ πολύβοτός τ' αἰὼν βροτῶν,
ὅσον τότ' Οἰδίπουν τίον,
τὰν ἁρπαξάνδραν
κῆρ' ἀφελόντα χώρας;

str. 5. ἐπεὶ δ' ἀρτίφρων

749. τέλεια γὰρ παλαιφάτων: τὸ τέλεια ἀντὶ τοῦ τέλειαι· ὑφῆκεν δὲ τὸ ι διὰ τὸ μέτρον. 750. βαρεῖαι καταλλαγαί: δυσχερὲς τὸ φιλιωθῆναι αὐτοὺς διὰ τὰς κατάρας. 751. τὰ δ' ὁλοά: τὰ δὲ δεινὰ τελούμενα οὐ παρέρχεται ἡμῶν. 752. πρόπρυμνα δ' ἐκβολάν: ὅταν δὲ παχυνθῶσιν οἱ ἄνδρες τῷ ὄλβῳ, τότε ὅλου τοῦ φόρτου ἐκβολὴν ποιοῦνται. τοῦτο δὲ πρὸς Ἐτεοκλέα. ἐκβολῶν δέ, τῶν ὑβριστῶν, οἷον δι' ἐκβολῆς ὑβριζόντων. 755. παρὰ τοῦτο οὖν (l. τοῦτο τὸ ἦν) Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνήρ. 757. πολύβοτός τ' αἰών: ὁ ὑπὸ πολλῶν ἐμβατευόμενος ἀνδρῶν. ἢ ὁ ἐπιπολὺ ἐκτεινόμενος. 758. ὅσον τότ' Οἰδίπουν τίον: ὅσον θαυμασθῆναι καὶ δοξασθῆναι ἐποίησαν. καὶ Εὐριπίδης (add. ἦν) Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ. ἁρπαξάνδραν δὲ τὴν ἁρπάξασαν πολλοὺς τῶν ἀνδρῶν. μεταπλασμὸς τοῦ ἁρπάξανδρος. 760. κακὴν μοῖραν. 761. ἐπεὶ δ' ἀρτίφρων: ἐπεὶ ἔμφρων ἐγένετο, ἐπεὶ συνῆκεν ὃ ἔπραξε κατὰ τῆς μητρός. εὐδαίμων γὰρ ἦν κατὰ πάντα πρὸ τοῦ μάθη (μαθεῖν recc.) τὸ μητρομίξιον. δίδυμα δὲ κακὰ ἔφη τὸ τῶν δύο ὀφθαλμῶν στερηθῆναι. ἓν γὰρ κακὸν τὸ ἑνὸς στερηθῆναι, δύο δὲ τὸ ἀμφοτέρων· ἢ τοὺς περὶ Ἐτεοκλέα καὶ Πολυνείκη γεννήσας, οἵ ἦσαν τῶν ὀφθαλμῶν κρείσ-

749. τέλειαι M sec. Merkel. 'τέλειαι pr. τέλεια, αι ab alia m. superscripto' Dind.; 'τέλεια* pr. τέλειαι* rec.' Ritschl. ἀρᾶν Engerus: ἀραι vel ἀραὶ M. 751. πενομένους παρέρχεται K: πελόμεν' (τελόμεν' rec.) οὐσπαρέρχεται M. 752. ἐκβολῶν, ῶ a rec. m. correcto in ὰ, M. 757. πόλεος ὁ Dindorfius: πόλεωσ M. 759. τὰν ἁρπαξάνδραν Hermannus: ἀναρπαξάνδραν M.

ἐγένετο μέλεος ἀθλίων
γάμων, ἐπ' ἄλγει δυσφορῶν
μαινομένᾳ κραδίᾳ
δίδυμα κάκ' ἐτέλεσεν·
πατροφόνῳ χερὶ τῶν
κρεισσοτέκνων ὀμμάτων ἐπλάγχθη·
antistr. 5. τέκνοισιν δ' ἀρὰς
ἐφῆκεν ἐπικότους τροφᾶς,
αἰαῖ, πικρογλώσσους ἀράς,
καί σφε σιδαρονόμῳ
διὰ χερὶ ποτὲ λαχεῖν
κτήματα· νῦν δὲ τρέω
μὴ τελέσῃ καμψίπους Ἐρινύς.

ΑΓ. θαρσεῖτε, παῖδες μητέρων τεθραμμέναι.
πόλις πέφευγεν ἥδε δούλιον ζυγόν·
πέπτωκεν ἀνδρῶν ὀβρίμων κομπάσματα,
πόλις δ' ἐν εὐδίᾳ τε καὶ κλυδωνίου
πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο.

σονες. ὀμμάτων δ' ἐπλάγχθη ἀντὶ τοῦ ἐστερήθη τῶν κρειττόνων ὀμμάτων. λέγει δὲ τῶν περὶ Ἐτεοκλέα καὶ Πολυνείκη. 766. τῇ τὸν πατέρα φονευσάσῃ χειρί. 767. ἐχωρίσθη. 769. ἐπικότους τροφάς: ἐπιβλαβεῖς δὲ ἐντολὰς περὶ τροφῶν ἐφῆκεν αὐτοῖς. 771. καί σφε σιδαρονόμῳ: καὶ τοῦτο ἐπηράσατο διὰ σιδήρου αὐτοὺς τὴν οὐσίαν κτήσασθαι. 774. ἡ κάμπτουσα τῶν κολαζομένων τοὺς πόδας. οἱονεὶ ἡ συμποδίζουσα καὶ μὴ ἐῶσα φυγεῖν. 775. θαρσεῖτε, παῖδες: ἄγγελος ὁ καὶ πρότερον ἀπαγγείλας περὶ τῆς τῶν Ἀργείων ἐφόδου, οὗτος καὶ νῦν ἀπαγγέλλει τὴν ἀδελφοκτονίαν. συγγενεῖς, ἢ δειλαί, ὑπὸ μητέρων ἁπλῶς (ἁπαλῶς Vict.) τεθραμμέναι. 777. τὰ παλαιὰ αὐτῶν κομπάσματα. 778. πόλις δ' ἐν εὐδίᾳ τε: ἀλληγορεῖ πάλιν, καὶ λέγει ὅτι πολλῶν προσβαλόντων τῇ πόλει οὐδεὶς εἰς αὐτὴν εἰσέπεσεν. 779. τοῦ κύματος τὸ ὕδωρ.

762. *ἐγεντο* Arnaldus. 764. *κραδίᾳ* Turnebus: *καρδίαι* M. 765. *ἐτέλεσαν* M sec. Merkel. 767. *κρείσσο* (vel *κρείσσω*) *τέκνων* M, *κρεισσοτέκνων m. ὀμμάτων* Blomfieldus: *δ' ἀπ' ὀμμάτων* M. 768. *τέκνοισιν δ' ἀράς* Hermannus: *τέκνοισ δ' ὁραίασ* M. 769. *τροφὰσ* an *τροφᾶσ* incertum M. 772. *διὰ χερί* Porsonus: *διαχειρίαι* M. 776. *δούλειον* M. 777. *πέπτωκεν* recc.: *πέπτωκεν δ'* M.

στέγει δὲ πύργος, καὶ πύλας φερεγγύοις
ἐφαρξάμεσθα μονομάχοισι προστάταις.
καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἕξ πυλώμασιν·
τὰς δ' ἑβδόμας ὁ σεμνὸς ἑβδομαγέτας
ἄναξ Ἀπόλλων εἵλετ', Οἰδίπου γένει
κραίνων παλαιὰς Λαΐου δυσβουλίας.
ΧΟ. τί δ' ἐστὶ πρᾶγμα νεόκοτον πόλει πλέον;
ΑΓ. ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων.
ΧΟ. τίνες; τί δ' εἶπας; παραφρονῶ φόβῳ λόγου.
ΑΓ. φρονοῦσα νῦν ἄκουσον, Οἰδίπου γένος.
ΧΟ. οἲ 'γὼ τάλαινα, μάντις εἰμὶ τῶν κακῶν.
ΑΓ. οὐδ' ἀμφιλέκτως μὴν κατεσποδημένοι.
ΧΟ. ἐκεῖθι κῆλθον; βαρέα δ' οὖν ὅμως φράσον.
ΑΓ. οὕτως ἀδελφαῖς χερσὶν ἠναίροντ' ἄγαν.
ΧΟ. οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα.
ΑΓ. αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος.
τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα·
πόλιν μὲν εὖ πράσσουσαν, οἱ δ' ἐπιστάται,
δισσῶ στρατηγώ, διέλαχον σφυρηλάτῳ

783. τὰς δ' ἑβδόμας: ἀξιοπίστως καὶ τὸν ἀριθμὸν τῶν πυλῶν εἴρηκεν. ἡ γὰρ ἑβδόμη, φησί, πύλη, ἵνα τὰ μαντεύματα τοῦ Ἀπόλλωνος τὰ Λαΐῳ δοθέντα τέλος λάβῃ. ἑβδόμῃ γὰρ ἐγεννήθη Ἀπόλλων. πέπονθεν οὖν οὐχὶ αὐτὴ ἡ πύλη ἡ ἑβδόμη, ἀλλὰ ὁ φυλάττων αὐτὴν Ἐτεοκλῆς. ἐν ἑβδόμῃ γεννηθείς. 784. ἔσωσεν. 786. νεωστὶ κατεσκευασμένον. 790. προεῖπεν γὰρ αὐτά. 791. ἀμφιβόλως. 792. ἐκεῖθι κῆλθον: εἰς τοσοῦτον ἦλθον ὥστε καὶ φονευθῆναι τὸν βασιλέα; 795. αὐτὸς δ' ἀναλοῖ: ὁ Ἀπόλλων ἀναλίσκει τὸ τοῦ Οἰδίποδος γένος.

---

781. ἐφραξάμεσθα recc.: ἐφραξάμεθα M. 786. πόλει παρόν recc. post 786 hunc addit M: — πόλισ σέσωσται βασιλέωσ (εῖσ superscr. m. rec.) δ' ὁμόσποροι, quem utpote e 802 male huc retractum delevit Porsonus. 787. ἄνδρεσ M. χερῶν recc.: χειρῶν M. αὐτομάτων (κτόνων incertum utrum pr. an m) M. 788—794. paragraphis notantur in M, 795 nihil praefixum. 789. τόκοσ (γένοσ incertum utrum pr. an m) M. 790. ὀῖ ἐγὼ M. 792. κεῖσθον (ηλ incertum utrum pr. an m) M. 795. γ' δ' (γ' a m. rec.) M.

Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν.
ἔξουσι δ' ἣν λάβωσιν ἐν ταφῇ χθόνα
πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι.
πόλις σέσωσται· βασιλέοιν δ' ὁμοσπόροιν
πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ.

(Dux chori)

XO. *ὦ μεγάλε Ζεῦ καὶ πολιοῦχοι*
δαίμονες, οἳ δὴ Κάδμου πύργους
τούσδε ῥύεσθε,
πότερον χαίρω κἀπολολύξω
πόλεως ἀσινεῖ σωτῆρι,
ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας
ἀτέκνους κλαύσω πολεμάρχους;
οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν
καὶ πολυνεικεῖς
ὤλοντ' ἀσεβεῖ διανοίᾳ.

(Chorus)

str. 1. *ὦ μέλαινα καὶ τελεία*
γένεος Οἰδίπου τ' ἀρά,
κακόν με καρδίαν τι περιπίτνει κρύος.
ἔτευξα τύμβῳ μέλος

800. ὅσον ἐνταφῆναι. 804. ὁ τρόπος ἔξοχή. *Ζεῦ ἄλλοι τε θεοί* (Hom. Il. *Z.* 476). 807. πότερον χαίρω: φρονίμως ὁ ποιητὴς μέσην ὁδὸν ἔδραμεν, καὶ σωθείσης τῆς πόλεως ἄτοπον (ἡγεῖται add. Robort.) τὸ θρηνεῖν. καὶ *οὐχ ὁσίη κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι* (Hom. Od. *χ.* 412). 810. ἐπὶ κακῷ τεχθέντας. 811. οἳ δῆτ' ὀρθῶς: ὀρθῶς οὖν καὶ ἐπωνύμως Ἐτεοκλῆς καὶ Πολυνείκης ἐκλήθησαν. 814. καὶ τελεία γένεος: καὶ τελουμένη ἐπὶ τῷ γένει τοῦ Οἰδίποδος ἀρά. 816. περιπίπτει φόβος κακοῦ. 817. ἔτευξα τύμβῳ μέλος: τὸ ἑξῆς, κλύουσα αὐτοὺς δυσμόρως θανόντας ὑπὸ δορὸς ἀλλήλων ἐπιτυμβίδιον θρῆνον ἔτευξα, ὡς Θυιάς.

800. *χθόνα* Brunckius: *χθονὸσ* M, qui paullo ante *ἐνταφῆ*. 801. fort. *φθατούμενοι*. 802. *σέσωσται* M. *βασιλέοιν* recc.: *βασιλείοιν* M. 803. *γὰρ* mutatum in *γᾶν* M, *γαῖ* m. rec. 804. personae nota nulla in M. *πολιοῦχοι* Burtonus: *πολισσοῦχοι* M. 806. *ῥύεσθαι* vel *ῥύεσθει* M, *ῥύεσθε m.* 816. *καρδίαν* recc.: *καρδίαι* M. *τ*.. (*ι* in rasura *m*) M.

Θυιάς, αἱματοσταγεῖς
νεκροὺς κλύουσα δυσφόρως
θανόντας· ἦ δύσορνις ἅ-
δε ξυναυλία δορός.
antistr. 1. ἐξέπραξεν, οὐδ' ἀπεῖπεν
πατρόθεν εὐκταία φάτις·
βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν.
μέριμνα δ' ἀμφὶ πτόλιν·
θέσφατ' οὐκ ἀμβλύνεται.
ἰὼ πολύστονοι, τόδ' εἰρ-
γάσασθ' ἄπιστον· ἦλθε δ' αἰ-
ακτὰ πήματ' οὐ λόγῳ.
str. 2. τάδ' αὐτόδηλα, προὔπτος ἀγγέλου λόγος·
διπλαῖ μέριμναι, διδυμανορέα κάκ'
αὐτοφόνα, δίμοιρα τέλεια τὰ πάθη. τί φῶ;
τί δ' ἄλλο γ' ἢ πόνοι πόνων δόμων ἐφέστιοι;
ἀλλὰ γόων, ὦ φίλαι, κατ' οὖρον
antistr. 2. ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν
πίτυλον, ὃς αἰὲν δι' Ἀχέροντ' ἀμείβεται
τὰν ἄστονον μελάγκροκον ναύστολον θεωρίδα,

820. ἦ δύσορνις ἅδε: δυσοιώνιστος γέγονεν αὐτοῖς ἡ συμφορὰ τῆς μάχης. ἐπὶ κακῷ συνῆλθον εἰς μάχην. 822. οὐδ' ἀπεῖπεν: οὐκ ἀπηγόρευσε τὸ ποιῆσαι τὰ δεινὰ παρὰ (l. ἢ ἀρὰ) Οἰδίποδος. 824. ἐπεὶ οὐκ ἐπείσθη Ἀπόλλωνι. 825. μέριμνα δ' ἀμφὶ πτόλιν: ἡ δὲ φροντίς, ἣν ἔσχεν ὁ Λάιος περὶ τὴν μίξιν, καὶ τὰ θεσπίσματα παρὰ τοῦ θεοῦ καὶ .... τῆς πόλεως οὐχ ἡσύχασεν, οὐκ ἀμβλύνεται, ἀλλ' ἐκ τοῦ ἐναντίου ὀξέως τελεῖται. 829. αἰακτά: θρηνητικά. ἀλλ' ἔργῳ. 830. τὰ δ' αὐτόδηλα: αὐτὰ δὲ ταῦτα φανερά. ὁρᾷ ὁ χορὸς τὰ σώματα βασταζόμενα. ὁμολογούμενος. 831. κάκ' αὐτοφόνα: ἀλληλοκτόνοι γὰρ ἐγένοντο. 833. ἢ τὰ κακὰ ἀπὸ τῶν κακῶν οἰκεῖ ἐν τῇδε τῇ ἑστίᾳ καὶ τοῖς οἰκοις τούτοις. 837. τὴν διάγουσαν τοὺς νεκρούς. τὰν ναύστολον θεωρίδα: οὐ (l. νῦν) τὴν τοῦ Χάρωνος ναῦν θεωρίδα εἶπεν. κυρίως δὲ τοῦ Ἀπόλλωνος ἡ εἰς Δῆλον ἀπερχομένη. λέγει δὲ ὅτι ταύτην ὁδὸν θεωρητικὴν

818. θ....ὰσ M θυϊὰσ m. rec. in rasura. 819. δυσμόρως recc. 828. ἄπιστον recc.: ἄσπιστον M. 830. πρ....τοσ M προὔπτοσ m. rec. in rasura. 831. δίδυμ' ἀνορέα M. 834. γόων recc.: γόον M.

τὰν ἀστιβῆ Ἀπόλλωνι, τὰν ἀνάλιον,
πάνδοκον εἰς ἀφανῆ τε χέρσον.

(Dux chori)

ἀλλὰ γὰρ ἥκουσ' αἵδ' ἐπὶ πρᾶγος
πικρὸν Ἀντιγόνη τ' ἠδ' Ἰσμήνη,
θρῆνον ἀδελφοῖν· οὐκ ἀμφιβόλως
οἶμαί σφ' ἐρατῶν ἐκ βαθυκόλπων
στηθέων ἧσειν ἄλγος ἐπάξιον.
ἡμᾶς δὲ δίκη πρότερον φήμης
τὸν δυσκέλαδόν θ' ὕμνον Ἐρινύος
ἰαχεῖν Ἄιδα τ'
ἐχθρὸν παιᾶν' ἐπιμέλπειν.
ἰώ,
δυσαδελφότεραι πασῶν ὁπόσαι
στρόφον ἐσθῆσιν περιβάλλονται,
κλάω, στένομαι, καὶ δόλος οὐδεὶς
μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν.

(Antigone et Ismene. Dux chori)

str. AN. ἰὼ ἰὼ δύσφρονες,
φίλων ἄπιστοι καὶ κακῶν ἀτρύμονες,

ὥσπερ οἶδεν ὁ στόνος τὴν ἐπὶ τὸν Ἀχέροντα, τὴν ἀνήλιον, ἣν μηδὲ ἥλιος ὁρᾷ, ἢ τὴν ἀναπνοήν. ἀγνὴ γὰρ ἐκείνη ἡ εἰς Ἅιδην ἀπιοῦσα. πάνδοκον δέ, ἐπεὶ πάντας δέχεται τοὺς ἀποθνήσκοντας. 840. ἐπὶ τὸ πρᾶγμα, τοῦτ' ἔστιν ἐπὶ τὴν συμφορὰν αἱ ἀδελφαὶ τῶν βασιλέων. 845. ἡμᾶς δὲ δίκη πρότερον: δίκαιον ἡμᾶς προκατάρχεσθαι ὡς προακουσάσας, ὑπακούειν δὲ ἐκείνας. 848. ἔστι γὰρ καὶ παιὰν ἐπ' ἀγαθοῖς. 849. ἰὼ δυσαδελφότεραι: ἃ δυσαδελφότεραι πασῶν παρθένων αἱ μίτρας κατὰ τὴν φθορὰν λύονται. ἀντὶ δὲ τῆς μίτρας καὶ ζώνης νῦν στρόφον εἶπεν. 851. στένομαι: ἀντὶ τοῦ στένω Ἀττικῶς. καὶ γὰρ ἰατρεύομαι καὶ ἀλεύομαι φασίν. 852. ὅτι οὐκ ἐκ ψυχῆς θρηνῶ. 854. ἐν κακοῖς ἀκμῆτες.

---

848. ἐχθρόν recc.: ἐχθρῶν M. ι (s corr. m) πιμέλπειν M. 849. τὸ ἕτερον μέρος τοῦ χοροῦ praescriptum in M. 851. κλαίω M. 853—933. sic notantur in M, ut 853. 857. 859. 871. 872 (ante πεπλαγμένους). 873. 876. 892. 903 singulae paragraphi praefixae sint, 893. 917 $\overset{o}{\chi}$ vel $\overset{o}{\chi}$—, 899. $\overset{o}{\eta\mu\iota\chi}$, 910. 926. $\overset{\eta}{\iota\sigma\mu}$—, 922 denique $\overset{\tau}{\alpha\nu}$— (sec. Merkelium).

πατρῴους δόμους ἑλόντες μέλεοι σὺν αἰχμᾷ. 855

ΧΟ. μέλεοι δῆθ' οἳ μελέους θανάτους ηὕροντο δόμων ἐπὶ λύμῃ.

antistr. ΙΣ. ἰὼ ἰὼ δωμάτων ἐρειψίτοιχοι καὶ πικρὰς μοναρχίας 860 ἰδόντες, ἤδη διήλλαχθε σὺν σιδάρῳ.

ΧΟ. κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδα πότνι' Ἐρινὺς ἐπέκρανεν.

(Antigone et Ismene. Chorus)

str. 1. ΑΝ. δι' εὐωνύμων τετυμμένοι, 865 τετυμμένοι δῆθ', ὁμοσπλάγχνων τε πλευρωμάτων

.....

αἰαῖ δαιμόνιοι, αἰαῖ δ' ἀντιφόνων θανάτων ἀραί. 870

855. *πατρῴους δόμους ἑλόντες: αἴτιοι τῆς ἁλώσεως γενόμενοι, πορθήσαντες, ἐρήμους ποιήσαντες τῷ ξίφει.* 861. *τὴν ἴσην μοῖραν λαχόντες. ἤδη διήλλαχθε: ἡ διαλλαγὴ ὑμῶν οὐκ ἐπὶ φιλίᾳ γέγονεν, ἀλλ' ἐπὶ ἀναιρέσει τῇ σιδήρου.* 863. *κάρτα δ' ἀληθῆ: τῷ ὄντι ἡ τοῦ Οἰδίποδος Ἐρινὺς ἐτελείωσε τὰς ἐκείνου ἀρὰς κατὰ τῶν παίδων.* 865. *δι' εὐωνύμων τετυμμένοι: τὸ ἑξῆς, διήλλαχθε δι' εὐωνύμων. τοῦτο δὲ συμβαίνει ἐν τοῖς κατὰ τὸ ἐναντίον ἱσταμένοις.* 867. *ὁμοσπλάγχνων τε πλευρωμάτων: διαμπὰξ ἀλλήλων τὰς πλευρὰς τρώσαντες. ἑκάτερος γὰρ τῶν μονομαχούντων τὸ ἀριστερὸν πλευρὸν τοῦ ἀντιπάλου τιτρώσκειν βούλεται. οἷον διὰ τῶν πλευρῶν αὐτῶν καθήκασιν οἱ ὁμόσπλαγχνοι.*

---

856. *ἀλκᾶι* M, *γρ. αἰχμᾶι m.* 858. *εὕροντο* M. 860. *ἐρειψίτοιχοι* recc.: *ἐρριψιτ..χοι* M, *ἐρριψίτοχοι* m. rec. post 862 in M interpretamentum sequitur uno versu perscriptum *οὐκ ἔτ' ἐπὶ φιλίᾳ, ἀλλ' ἐπὶ φόνῳ διεκρίθητε*, quod delendum esse vidit Triclinius. 866. *δῆτα* M.

str. 1. *XO.* διανταίαν λέγεις δόμοισι καὶ
σώμασιν πεπλαγμένους ἐννέπω
ἀναυδάτῳ μένει
ἀραίῳ τ' ἐκ πατρὸς
διχόφρονι πότμῳ.

antistr. 1. *ΙΣ.* διήκει δὲ καὶ πόλιν στόνος,
στένουσι πύργοι, στένει
πέδον φίλανδρον· μενεῖ
κτεάνά τ' ἐπιγόνοις,
δι' ὧν αἰνομόροις,
δι' ὧν νεῖκος ἔβα,
καὶ θανάτου τέλος.

antistr. 1. *XO.* ἐμοιράσαντο δ' ὀξυκάρδιοι
κτήμαθ', ὥστ' ἴσον λαχεῖν.
διαλλακτῆρι δ' οὐκ
ἀμεμφεία φίλοις,
οὐδ' ἐπίχαρις Ἄρης.

str. 2. *AN.* σιδηρόπληκτοι μὲν ὦδ' ἔχουσιν,
σιδαρόπληκτοι δὲ τοὺς μένουσι,

871. *διανταίαν λέγεις πλαγάν*: *πληγὴν λέγεις διαμπὰξ γενομένην, καὶ ἐπὶ τῶν σωμάτων καὶ ἐπὶ τῶν οἴκων. ἄμφω γὰρ ἔχει κακῶς.* 873. *ἀναυδάτῳ μένει: ἀνήρηνται ὑπ' ἀλλήλων ἰσχύϊ μεγάλῃ καὶ ἀλαλήτῳ. ἀκαθέκτῳ ὀργῇ.* 875. *οὐχ ὁμονοοῦντες.* 876. *ὁ τούτων στεναγμὸς ἤψατο καὶ τῆς πόλεως.* 879. *μενεῖ κτεάνά τ' ἐπιγόνοις: ἄλλοις ἔσται τὰ χρήματα δι' ἃ ἀπώλοντο. ἢ οὕτως, τὰ κτέανα ταῦτα, οἷον τὰ ὀνείδη, διήξει μέχρι τῶν ἐπιγόνων. κτέανα δὲ εἶπεν ὡς ἐπὶ οὐσίας, οἷον κληρονομήσουσι τῶν παθῶν οἱ παῖδες.* 883. *ὀξυκάρδιοι: ὀξύθυμοι ὄντες ἐμοιρήσαντο καὶ διενείμαντο τὰ κτήματα ὥστε ἴσον λαχεῖν. φησὶ δὲ τὰς ταφάς.* 885. *διαλλακτῆρι δ' οὐκ ἀμεμφία: μέμφονται δὲ οἱ φίλοι αὐτῶν τὸν διαλλακτῆρα σίδηρον ὡς μηδετέρῳ χαρισάμενον.*

---

871. *λέγεις* Elmsleius: *λέγεισπλαγὰν* M. 872. *ἐννέπω* M, quod et ipsum delebat Elmsleius. 874. *ἀραίῳ* recc.: *ἀραίαι* M. 884. *ὥσθ'* M, *ὥσθ'* *m* vel m. rec. 886. *ἀμεμφεία* Hermannus: *ἀμεμφία* M. post 889 *τετυμμένοι δῆθ' ὁμοῦ* addit M e 866 repetita.

τάχ᾽ ἄν τις εἴποι, τίνες; 890
τάφων πατρῴων λαχαί.

str. 2. ΧΟ. δόμων μάλ᾽ ἀχάεσσα τοὺς
προπέμπει δαϊκτὴρ γόος αὐ-
τόστονος, αὐτοπήμων,
δαϊόφρων, οὐ φιλογα- 895
θής, ἐτύμως δακρυχέων
ἐκ φρενός, ἃ κλαομένας μου μινύθει
τοῖνδε δυοῖν ἀνάκτοιν.

antistr. 2. ΙΣ. πάρεστι δ᾽ εἰπεῖν ἐπ᾽ ἀθλίοισιν
ὡς ἐρξάτην πολλὰ μὲν πολίτας, 900
ξένων δὲ πάντων στίχας
πολυφθόρους ἐν δαΐ.

antistr. 2. ΧΟ. δυσδαίμων σφιν ἡ τεκοῦσα
πρὸ πασᾶν γυναικῶν ὁπόσαι
τεκνογόνοι κέκληνται. 905
παῖδα τὸν αὐτᾶς πόσιν αὖ-
τᾷ θεμένα τούσδ᾽ ἔτεχ᾽, οἳ δ᾽
ὧδ᾽ ἐτελεύτασαν ὑπ᾽ ἀλλαλοφόνοις

890. τάχ᾽ ἄν τις εἴποι: ὡς ἀνοήτως αὐτὸ εἰπούσης ἐρωτᾷ τίνες αὐτοὺς μένουσι. 891. αἱ σκαφαί· (ὡς add. Vict.) τὸ φυτὸν ἀμφελάχαινεν (Hom. Od. ω. 241). 892. λείπει τὸ προπομπά (vel — ώ). 894. αὐτίστονος: ἐν ἑαυτῷ τὸν στόνον ἔχων. ὁ δὲ γόος, φησίν, αὐτοπήμων ἐστίν, ἀφ᾽ ἑαυτοῦ τὰ κακὰ ἔχων καὶ τὰ πολέμια. δαΐφρων δέ, οὐκ ἐπὶ τοῖς καλοῖς χαίρων. 895. δαΐζων τὰς φρένας. 897. ἐκ βάθους θρηνῶν. 898. κλαιούσης τοὺς δύο βασιλεῖς. 899. πάρεστιν εἰπεῖν: πάρεστιν ἐπ᾽ ἀμφοτέρων τοῦτο εἰπεῖν, ὁ μὲν βασιλικῶς ἐκβαλὼν τὸν ἀδελφόν, ὁ δὲ βασιλικῶς ἐπιστρατεύσας. 900. ἀντίοι γενόμενοι εἷς τε Θηβαίους καὶ Ἀργείους. 902. μετὰ φθορᾶς ἐλθούσας. 903. δυσδαίμων: ὅτι δι᾽ ἔτεκεν ἄνδρα ἔσχεν.

---

895. δαϊόφρων Blomfieldus: δαΐφρων M. οὐ Ald.: δ᾽ οὐ M. 897. ἐκ Ald.: δ᾽ ἐκ M. κλαιομένας M. 898. δυοῖν recc.: δοιοῖν M. 900. πολίτας recc.: πολίταισ M.

χερσὶν ὁμοσπόροισιν.

str. 3. ΑΝ. ὁμόσποροι δῆτα καὶ πανώλεθροι, 910
διατομαῖς οὐ φίλαις,
ἔριδι μαινομένᾳ,
νείκεος ἐν τελευτᾷ.

str. 3. ΧΟ. πέπαυται δ' ἔχθος, ἐν δὲ γαίᾳ
ζόα φονορύτῳ 915
μέμεικται· κάρτα δ' εἴσ' ὅμαιμοι.
πικρὸς λυτὴρ νεικέων
ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθεὶς
θηκτὸς σίδαρος· πικρὸς δὲ χρημάτων
κακὸς δατητὰς Ἄρης, 920
ἀρὰν πατρῴαν τιθεὶς ἀλαθῆ.

antistr. 3. ΙΣ. ἔχουσι μοῖραν λαχόντες, [ὦ] μέλεοι,
διοσδότων ἀχέων·
ὑπὸ δὲ σώματι γᾶς
πλοῦτος ἄβυσσος ἔσται. 925

910. ὁμόσποροι δῆτα καὶ πανώλεθροι: ἀδελφοὶ καὶ πανώλεθροι γεγόνασιν, ἀλλήλους διατεμόντες ἐν μαινομένῃ ἔριδι πρὸς τῷ τέλει τῆς φιλονεικίας. ἀποθανόντων γὰρ πέπαυται τὸ ἔχθος. 914. ἐν δὲ γαίᾳ ζοά: ἡ ζωὴ αὐτῶν κέχυται ἐν τῇ φονορρύτῳ γῇ. 916. τῇ συμφορᾷ. κάρτα δ' εἴσ' ὅμαιμοι: ὄντως ἀδελφοί εἰσι ταῖς προαιρέσεσι τοιοῦτοι ὄντες. 917. πικρὸς λυτὴρ νεικέων: πόντιος, ὅτι οἱ Χάλυβες παράλιοί εἰσιν· ἔθνος γὰρ ἐν τῷ Πόντῳ οἱ Χάλυβες, ὅθεν ὁ σίδηρος. (add. ἐκ) πυρὸς δὲ συθείς, ὅτι διὰ πυρὸς ἡ κατασκευή. 920. κακὸς δατητάς: πικρὸς μεριστὴς ὁ σίδηρος τῶν χρημάτων. ἐπειδὴ ἐπηράσατο διὰ ξιφῶν αὐτοὺς τὴν οὐσίαν νείμασθαι. 925. γᾶς πλοῦτος ἄβυσσος ἔσται: πολλὴ τῆς γῆς ἀφθονία ὑποκείσεται αὐτοῖς. ἢ οὕτως, ὑπὸ γῆς δὲ ὁ πολὺς πλοῦτος αὐτοῖς κέκρυπται, ἀντὶ τοῦ ἐν ἀφανείᾳ.

---

913. νείκ.οσ M. 915. φονορύτῳ Blomfieldus: φονορρύτω M. 916. μέμικται M. 921. ἀρᾶν M sec. Merkel.; 'ἀρᾶ pr., ἀρὰν m' Dind.; 'ἀρᾶι pr. ἀρὰν sec.' Ritschl. πατρῴαν Bothius: πατρὸσ M. ἀλ$^{\cdot\alpha\cdot}$ηθῆ M. 922. ὦ μέλεοι recc: μέλεοι M.

antistr. 3. *XO.* ἰὼ πολλοῖς ἐνανθίσαντες
πόνοισι γενεάν·
τελευταῖαι δ' ἐπηλάλαξαν
ἀραὶ τὸν ὀξὺν νόμον,
τετραμμένου παντρόπῳ φυγᾷ γένους.
ἔστακε δ' Ἄτας τροπαῖον ἐν πύλαις,
ἐν αἷς ἐθείνοντο, καὶ
δυοῖν κρατήσας ἔληξε δαίμων.

(Antigone et Ismene)

prood. *AN.* παισθεὶς ἔπαισας.
IΣ. σὺ δ' ἔθανες κατακτανών.
AN. δορὶ δ' ἔκανες.
IΣ. δορὶ δ' ἔθανες.
AN. μελεόπονος.
IΣ. μελεοπαθής.
AN. ἴτω γόος.
IΣ. ἴτω δάκρυ.
AN. IΣ. πρόκεισαι κατακτάς.

928. τελευτᾷ δ' αἴδ' ἐπηλάλαξαν: ἐπὶ δὲ τῇ τελευτῇ αὐτῶν αἱ ἀραὶ τοῦ Οἰδίποδος ἐπηλάλαξαν. 930. παντρόπῳ φυγᾷ γένους: οἷον οὐκ ἔτι φέρει τὰς συμφορὰς τὸ γένος, ἀλλὰ δέδωκεν νῶτα τοῖς κακοῖς, τῆς δὲ ἄτης τρόπαιον ἕστηκεν. 934. παταχθεὶς ἐπάταξας. 935. ἀνηρέθησαν οὕτως· ὁ πλήξας ἐπλήγη, ὁ δὲ κατακτανών, ἀνελὼν τὸν ἕτερον, ἀπέθανεν. 940. 941. ἴτω γόος, ἴτω δάκρυα: ποτὲ πρὸς τοῦτον, ποτὲ πρὸς ἕτερον. ἴτω, κοιμάσθω καὶ ὁ ἀνελὼν τὸν ἕτερον, καὶ αὐτὸς προκείσεται, τοῦτ' ἔστι τέθνηκεν. 942. δηλονότι νεκρός.

---

926. ἐπανθίσαντες Bothius: ἐπανθήσαντεσ M. post 927. πόνοισί γε δόμουσ addit M, quae deleverunt Hermannus et Dindorfius. 928. τελευταῖαι δ' Hermannus: τελευτᾶι δ' ἄιδ' M. 931. ἔστακεν M, δ' a quanam manu additum sit, ambigunt auctores. 934—988. sic notantur in M, ut paragraphi praefixae sint 935. 936. 937. 938. 939. 940. 941. 947. 948. 949. 950. 951. 952. 953. 954. 955. 958. 962. 963. 964. 965. 966. 967. 968. 969. 970. 973. 974. 975. 977. 978. 979. 980. 981 (ante καὶ χθονί). 983. 984. 985. 986. 987. 988, ἰσμ$^{\eta}$ praescriptum sit 934. 946. 936. ἔκανες Hermannus: ἔκτανεσ M. 941. δάκρυ Lachmannus: δάκρυα M. 942. πρόκεισαι Hermannus: προσκείσεται, priore σ eraso, M.

str. *AN.* ἠέ.
IΣ. ἠέ.
AN. μαίνεται γόοισι φρήν.
IΣ. ἐντὸς δὲ καρδία στένει.
AN. ἰὼ ἰώ, πανδάκρυτε σύ.
IΣ. σὺ δ' αὖτε καὶ πανάθλιε.
AN. πρὸς φίλου ἔφθισο.
IΣ. καὶ φίλον ἔκτανες.
AN. διπλᾶ λέγειν.
IΣ. διπλᾶ δ' ὁρᾶν.
AN. ἀχέων τοίων τάδ' ἐγγύθεν.
IΣ. πέλας δ' αἵδ' ἀδελφαὶ ἀδελφεῶν.
AN. *IΣ.* ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά,
μέλαιν' Ἐρινύς, ἦ μεγασθενής τις εἶ.
antistr. *AN.* ἠέ.
IΣ. ἠέ
AN. δυσθέατα πήματα
IΣ. ἐδείξατ' ἐκ φυγᾶς ἐμοί.
AN. οὐδ' ἵκεθ' ὡς κατέκτανεν.
IΣ. σωθεὶς δὲ πνεῦμ' ἀπώλεσεν.
AN. ὤλεσε δῆτα.
IΣ. καὶ τόνδ' ἐνόσφισεν.

953. ἀχέων τοίων: τοῖς πάθεσιν ἀγχιστεύουσαι (ἀγχιστεύοντα recc.). ἀντὶ τοῦ οὐκ ἀλλότρια. ἀχέω ἤγουν θρῆναι (ἀχέων: ἤγουν θρήνων Dind.) 954. πέλας δ' αἵδ' ἀδελφαί: ἐγγὺς δὲ τῶν κακῶν καὶ ἡμεῖς αἱ ἀδελφαὶ ἐσμὲν ὧν καὶ οἱ ἀδελφοί. 955. ἐφύμνιον. 956. Οἰδίπου σκιά: ὁ ἀσθενὴς Οἰδίπους· ὅτι δοκεῖ νῦν οὐδὲν ὑπάρχειν. 958—60. ἠὲ ἠὲ δυσθέατα: τοῦτο ὡς πρὸς Πολυνείκη· ἐκ τῆς φυγῆς ἐπανήκοντες ἐμοὶ τῇ ἐνταῦθα μεινάσῃ ἐδείξατε ὀδύνας. 962. οὐδ' ἵκεθ' ὡς κατέκτανε: ὁ Ἐτεοκλῆς. πρῶτος γὰρ κατέκτανε τὸν Πολυνείκην. 963. σωθεὶς δὲ πνεῦμ' ἀπώλεσεν: σωθεὶς ἀπὸ τῆς φυγῆς ἀπώλεσε τοῦ Ἐτεοκλέους τὸ πνεῦμα· ἢ τὸ αὐτοῦ· ὃ καὶ μᾶλλον.

949. *φίλου* Blomfieldus: *φίλου γ'* M. 953. *ἀ...χέων* M. 957. *μέλαιν'* Porsonus: *μέλαινά τ'* M. 964. *ὤλεσε* Wellauerus: *ἀπώλεσεν* M. *ὤλεσε δῆτα, ναί. τόνδε δ' ἐνόσφισεν* Hermannus.

ΑΝ. τάλαν γένος.
ΙΣ. τάλαν πάθος.
ΑΝ. δύστονα κήδε' ὁμώνυμα.
ΙΣ. δίγυρα τριπάλτων πημάτων.
ΑΝ. ΙΣ. [ἰὼ] Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά,
μέλαιν' Ἐρινύς, ἦ μεγασθενής τις εἶ.
epod. ΑΝ. σὺ τοίνυν οἶσθα διαπερῶν.
ΙΣ. σὺ δ' οὐδὲν ὕστερος μαθών.
ΑΝ. ἐπεὶ κατῆλθες ἐς πόλιν.
ΙΣ. δορός γε τῷδ' ἀντηρέτας.
ΑΝ. ὀλοὰ λέγειν.
ΙΣ. ὀλοὰ δ' ὁρᾶν.
ΑΝ. ἰὼ πόνος.
ΙΣ. ἰὼ κακά.
ΑΝ. δώμασι καὶ χθονί.
ΙΣ. καὶ τὸ πρόσω γ' ἐμοί.
ΑΝ. ἰὼ ἰὼ δυστάνων κακῶν ἄναξ.
ΙΣ. ἰὼ πάντων πολυπονώτατοι.

967. τλητικὰ πεπονθός. 969. δίγυρα: ζῶντα πήματα χεόμενα καὶ πολλά. τριπάλτων δὲ πημάτων, σφοδρῶς πηδησάντων. 970. τὸ ἐφύμνιον. ταῦτα δὲ λέγει ὡς βαρέως φέρων. 973. σὺ τοίνυν οἶσθα: σὺ οἶδας, ὦ Ἐτεόκλεις, τὴν Μοῖραν ὅσον δύναται διαβὰς αὐτήν. 974. σὺ δ' οὐδὲν ὕστερος: σὺ δὲ οὐ μετ' οὐ πολὺ οὐδὲ ὕστερον ἔμαθες ἄντικρυς τὸν ἀδελφόν σου πολεμήσας. 976. ἀντηρέτης (immo — ας): ὀρθή ἐστιν. ἀντιστάτης τῷ Ἐτεοκλεῖ. 977. ὀλοὰ λέγειν: οὐ μόνον ταῦτα λέγειν ὀλοά, ἀλλὰ καὶ ὁρᾶσθαι. κεῖται γὰρ τὰ σώματα. 979. ὃ ἐφ' ἡμῖν ἐξημμένος. 980. ἃ δι' ὑμᾶς ἔχομεν. 984. ἐπιπονώτατοι. λείπει τὸ ἀδελφοί. πολλοὺς πόνους πονήσαντες.

---

967. *τάλαν πάθος* Schuetzius: *τάλανα καὶ παθόν* M. post 969 addit M: — *ὀλοὰ λέγειν.* — *ὀλοὰ δ' ὁρᾶν* e 977. 978. repetita. delevit Triclinius. 970. *ἰὼ* omissum in M. 972. *μέλαιν'* Porsonus: *μέλαινά τ'* M. 976. *ἀντηρέτας* M 980. *ἰὼ* recc.: *ἰὼ ἰὼ* M. 981. post *χθονί* ex interpretamento *πρὸ πάντων δ' ἐμοί* addit M, quae delevit Hartungus. 983. super *κακῶν* signum *Ϛ* posuit *m*, idemque in margine adscripsit *Ϛ ἐτεόκλεισ ἀρχηγέτα.* 984. *πολυστονώτατοι* Robortellus, *πολυστονώτατε* Weilius.

ΑΝ. *ΙΣ.* *ἰὼ δαιμονῶντες ἐν ἄτᾳ.*
ΑΝ. *ἰὼ ἰὼ ποῦ σφε θήσομεν χθονός;*
ΙΣ. *ἰὼ ὅπου τιμιώτατον.*
ΑΝ. *ΙΣ.* *ἰὼ ἰὼ πῆμα πατρὶ πάρευνον.*

κῆρυξ. *δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ*
δήμου προβούλοις τῆσδε Καδμείας πόλεως.
Ἐτεοκλέα μὲν τόνδ' ἐπ' εὐνοίᾳ χθονὸς
θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς·
στυγῶν γὰρ ἐχθροὺς θάνατον εἵλετ' ἐν πόλει,
ἱερῶν πατρῴων δ' ὅσιος ὢν μομφῆς ἄτερ
τέθνηκεν οὕπερ τοῖς νέοις θνήσκειν καλόν.
οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν·
τούτου δ' ἀδελφὸν τόνδε Πολυνείκους νεκρὸν
ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσίν,
ὡς ὄντ' ἀναστατῆρα Καδμείων χθονός,
εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ
τῷ τοῦδ'. ἄγος δὲ καὶ θανὼν κεκτήσεται
θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε
στράτευμ' ἐπακτὸν ἐμβαλὼν ἥρει πόλιν.
οὕτω πετηνῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ

985. *λυσσήσαντες.* 986. *εἰς ποῖον τῆς γῆς τόπον.* 987. *ὅπου τιμιώτατον μέρος.* 988. *παρὰ τὴν εὐνὴν τοῦ πατρός.* 989. *τὰ δόξαντα τοῖς προβούλοις ἀπαγγεῖλαί με χρή.* (988) *εὐφήμως τὸν τάφον εὐνὴν εἶπεν.* 989. *ἔδοξεν οὖν τοῖς προβούλοις τῶν Θηβαίων τὸν Ἐτεοκλέα ἐν τῷ τόπῳ τοῦ τάφου καταθάπτεσθαι. διὰ μέντοι τοῦ θάπτειν Ἐτεοκλέα ἀπαγορεύει καὶ μὴ θάπτεσθαι Πολυνείκην. γῆς δὲ κατασκαφὰς εἶπεν οἷον τὰς κάτω σκαφάς. ὑπὲρ ἱερῶν πατρῴων ὁσίως μαχόμενος ἀπέθανεν ἀμέμπτως. σκάπτοντας καὶ τάφον ποιοῦντας αὐτῷ φιλίους.* 993. *εἴργων δηλονότι.* 994. *λείπει ἡ ὑπέρ· ὑπὲρ ἱερῶν.* 995. *παρὰ τὸ εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι* (Hom. Il. *M.* 243). 1001. *ὄνειδος τῷ Πολυνείκει ὥστε μὴ ἐλεῖν αὐτὸν τὴν πόλιν.*

---

986. *ἰὼ ποῦ* M. 991. *εὐναίαι* M sec. Merkelium, *ευνοία* pr., *εὐναίαι m* sec. Dindorfii et Ritschelii auctores. 993. *στέγων* Wakefieldus. 994. *δ'* in M postea addidit sive pr. sive *m*. 995. *θνήσκειν* M.

ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν,
καὶ μήθ' ὁμαρτεῖν τυμβοχόα χειρώματα
μήτ' ὀξυμόλποις προσσέβειν οἰμώγμασιν,
ἄτιμον εἶναι δ' ἐκφορᾶς φίλων ὕπο.
τοιαῦτ' ἔδοξε τῷδε Καδμείων τέλει.

AN. ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω·
ἢν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,
ἐγώ σφε θάψω κἀνὰ κίνδυνον βαλῶ
θάψασ' ἀδελφὸν τὸν ἐμόν, οὐδ' αἰσχύνομαι
ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει·
δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν,
μητρὸς ταλαίνης κἀπὸ δυστήνου πατρός.
τοιγὰρ θέλουσ' ἄκοντι κοινώνει κακῶν,
ψυχή, θανόντι ζῶσα συγγόνῳ φρενί.
τούτῳ δὲ σάρκας οὐδὲ κοιλογάστορες
λύκοι πάσονται· μὴ δοκησάτω τινί.
τάφον γὰρ αὐτὴ καὶ κατασκαφὰς ἐγώ,
γυνή περ οὖσα, τῷδε μηχανήσομαι
κόλπῳ φέρουσα βυσσίνου πεπλώματος,
καὐτὴ καλύψω. μηδέ τῳ δόξῃ πάλιν·
θάρσει παρέσται μηχανὴ δραστήριος.

KH. αὐδῶ πόλιν σε μὴ βιάζεσθαι τάδε.

AN. αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί.

KH. τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακά.

AN. τράχυν', ἄθαπτος δ' οὗτος οὐ γενήσεται.

1007. μήτε μὴν ὀξυτάτοις θρήνοις τιμᾶν αὐτόν. 1009. τῷ τάγματι. πλήθει. 1017. ἀδελφῷ δι' ἀνάγκην γεγονότι κακῷ. 1019. μεγαλογάστορες. 1020. γεύσονται. μὴ τοῦτο ἀρεσάτω. 1023. τῷ τοῦ βυσσίνου πέπλου κόλπῳ τὴν γῆν παρακομίζουσα, ὡς ἐπιβάλλειν μέλλουσα χῶμα, διὰ τὸ ὀρύττειν μὴ δύνασθαι. 1025. παρέσται μηχανὴ δι' ἧς αὐτὸν θάψω. 1028. τραχὺς ἔσται ὁ δῆμος ἐν ἐλευθερίᾳ τοῦ πολέμου γενόμενος. 1029. λέγε πολλάκις, τραχὺς ἔσται ὁ δῆμος, ἀλλ' ὅμως οὐκ ἀναστείλῃς με θάψαι.

1009. τέ....΄.λει M. 1011. θέλῃ recc.: θέλοι M. 1017. κακῶν recc.: κακὰν M, κακῶι m. 1019. τούτω M. τούτου recc. 1020. .πάσονται M e σπάσονται, ut videtur, factum. 1021. αὐτή Piersonus: αὐτῷ M. 1026—1037. singulae paragraphi praefixae in M. 1029. γενήσεται M.

ΚΗ. ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ;
ΑΝ. ἤδη τὰ τοῦδ' οὐ διατετίμηται θεοῖς.
ΚΗ. οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.
ΑΝ. παθὼν κακῶς κακοῖσιν ἀντημείβετο.
ΚΗ. ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν.
ΑΝ. ἔρις περαίνει μῦθον ὑστάτη θεῶν.
ἐγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει.
ΚΗ. ἀλλ' αὐτόβουλος ἴσθ', ἀπεννέπω δ' ἐγώ.

(Dux chori)

ΧΟ. φεῦ φεῦ.
ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς
Κῆρες Ἐρινύες, αἵτ' Οἰδιπόδα
γένος ὠλέσατε πρυμνόθεν οὕτως,
τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι;
πῶς τολμήσω μήτε σὲ κλάειν
μήτε προπέμπειν ἐπὶ τύμβον;
ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι
δεῖμα πολιτῶν.
σύ γε μὴν πολλῶν πενθητήρων
τεύξῃ· κεῖνος δ' ὁ τάλας ἄγοος
μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς
εἶσιν. τίς ἂν οὖν τὰ πίθοιτο;

1031. τὰ περὶ τῆς τιμῆς τούτου ὑπὸ θεῶν κέκριται. 1034. ὑπὸ μόνου τοῦ Ἐτεοκλέους ἀδικηθεὶς πάντας ἐπολέμησε τοὺς Θηβαίους. 1037. σῇ γνώμῃ ὃ βούλει πρᾶττε. 1039. αἱ ἐπὶ τὸ (τῷ Dind.) φθείρειν γεγονῦαι. (1038) φεῦ φεῦ: διαιρεῖται ὁ χορός, τῶν μὲν ὑπὲρ Πολυνείκους, τῶν δὲ ὑπὲρ Ἐτεοκλέους οὐσῶν. ὥσπερ δὲ μεμέρισται ὁ χορός, οὕτως καὶ αἱ ἀδελφαί· καὶ ἡ μὲν Ἰσμήνη τῷ Ἐτεοκλεῖ ἀκολουθεῖ καὶ τῇ πόλει, ἡ δὲ Ἀντιγόνη τῷ Πολυνείκει. 1050. τίς ἡμῶν ἐστι ταύτης τῆς γνώμης;

1035. seclusit Blomfieldus. 1038—1057 sic notantur in M, ut 1042. 1047. 1051 praefixas habeant paragraphos, 1038 et 1057 hemichorii nota adpicta sit. 1041. *πρέμνοθεν* Is. Vossius. 1042. *δὲ δρῶ* recc.: *δ' ἐρῶ* M. 1043. *κλαίειν* M. 1044. *τύμβον* recc.: *τύμβωι* M. 1049. *θρῆνον* recc.: *θρῆνος* M. 1050. *πίθοιτο* recc.: *πείθοιτο* M.

(Dux hemichorii 1)

δράτω [τι] πόλις καὶ μὴ δράτω
τοὺς κλάοντας Πολυνείκη·
ἡμεῖς γὰρ ἴμεν καὶ συνθάψομεν
αἵδε προπομποί. καὶ γὰρ γενεᾷ
κοινὸν τόδ' ἄχος, καὶ πόλις ἄλλως
ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.

(Dux hemichorii 2)

ἡμεῖς δ' ἅμα τῷδ', ὥσπερ τε πόλις
καὶ τὸ δίκαιον ξυνεπαινεῖ.
μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν
ὅδε Καδμείων ἤρυξε πόλιν
μὴ ἀνατραπῆναι
μηδ' ἀλλοδαπῷ κύματι φωτῶν
κατακλυσθῆναι τὰ μάλιστα.

1051. δράτω πόλις: ὃ βούλεται ποιείτω εἰς τοὺς κλαίοντας Πολυνείκη. 1056. οὐ διόλου τὰ αὐτὰ δοκεῖ τῷ δήμῳ. 1057. ἡμεῖς δ' ἅμα: ἅμα τῷ Ἐτεοκλεῖ ἐκκομιζομένῳ ἑπόμεθα. 1059. μετὰ γὰρ μάκαρας: μετὰ γὰρ τοὺς θεοὺς καὶ τὴν ἑαυτοῦ παρέθηκεν ἰσχὺν ὑπὲρ τῆς πόλεως· καὶ γὰρ ἐνίκησαν οἱ ἡμέτεροι πολῖται καὶ οὐκ εἴασε τὴν πόλιν ἡμῶν οὕτως ὑπὸ χειμερινοῦ κύματος κατακλυσθῆναι πρὸς τῶν Ἀργείων. ἀκολούθως μέντοι τῷ κύματι καὶ τὸ κατακλυσθῆναι ἐπήνεγκεν.

1051. τι addidit Elmsleius. 1052. κλαίοντασ M. 1062. ἀλλοδαπῶν recc. subscriptum in fine: Αἰσχύλου Ζ̄ ἐπὶ Θήβας. τέλος.

ΑΙΣΧΥΛΟΥ ΑΓΑΜΕΜΝΩΝ.

Ὑπόθεσις Ἀγαμέμνονος.

Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν τῇ Κλυταιμνήστρᾳ, εἰ πορθήσει τὸ Ἴλιον, (ὑπέσχετο add. recc.*) τῆς αὐτῆς ἡμέρας σημαίνειν διὰ τοῦ πυρσοῦ. ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα, ἵνα τηροίη τὸν πυρσόν. καὶ ὁ μὲν ἰδὼν ἀπήγγειλεν, αὐτὴ δὲ τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται, περὶ τοῦ πυρσοῦ ἐροῦσα· ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι. μετ᾽ οὐ πολὺ δὲ καὶ Ταλθύβιος παραγίνεται καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δ᾽ ἐπὶ ἁπήνης ἔρχεται· εἵπετο δ᾽ αὐτῷ ἑτέρα ἁπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασάνδρα. αὐτὸς μὲν οὖν προεισέρχεται εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ, Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμέμνονος θάνατον καὶ τὴν ἐξ Ὀρέστου μητροκτονίαν, καὶ εἰσπηδᾷ ὡς θανουμένη, ῥήψασα τὰ στέμματα. τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται ὡς ἔκπληξιν ἔχον καὶ οἶκτον ἱκανόν. ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ, τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον νεκρὰν αὐτὴν ὑπέδειξεν, πεποίηκέ τε Αἴγισθον καὶ Κλυταιμνήστραν ἑκάτερον διισχυριζόμενον περὶ τῆς ἀναιρέσεως ἑνὶ κεφαλαίῳ, τὴν μὲν τῇ ἀναιρέσει Ἰφιγενείας, τὸν δὲ ταῖς τοῦ πατρὸς Ὀρέστου (Θυέστου* Vict.*) ἐξ Ἀτρέως συμφοραῖς.*

ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι — *κη* (ὀγδοηκοστῇ* Meursius*) ἔτει β̄* (458 a. Chr.). *πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.*

τὰ τοῦ δράματος πρόσωπα·

φύλαξ
χορός
ἄγγελος
Κλυταιμνήστρα
Ταλθύβιος κῆρυξ
Ἀγαμέμνων
Κασάνδρα
Αἴγισθος

θεράπων Ἀγαμέμνονος ὁ προλογιζόμενος, οὐχὶ ὁ ὑπὸ Αἰγίσθου ταχθείς.

φύλαξ. Θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων
φρουρᾶς ἐτείας μῆκος, ἣν κοιμώμενος
στέγαις Ἀτρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι
ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν.
καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν
ἁλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖ
γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ.
εὖτ' ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω
εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην
ἐμήν· φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ
τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ.
ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος,
κλάω τότ' οἶκου τοῦδε συμφορὰν στένων,

2. τῶν κατὰ τὸ μῆκος τῆς ἐτείας φρουρᾶς. ἣν ἐπὶ μῆκος κοιμώμενος. 3. πρὸς τὸ φυλακτικὸν καὶ φιλοδέσποτον. τὸ δὲ ἄγκαθεν κατὰ συγκοπὴν ἀντὶ τοῦ ἀνέκαθεν, τουτέστιν ἄνωθεν ἐξ ἀρχῆς. 6. τοὺς δυναμένους παρὰ τὰ ἄλλα σημαίνειν τοὺς καιρούς. 11. τὸ μεῖζονα ἢ κατὰ γυναῖκα βουλευόμενον, γενναῖον· ἢ κατὰ ἀνδρὸς βουλευομένης. 14. ἢ περισσὸς ὁ γάρ, ἢ λείπει τὸ ἀλύων. 18. οἴκου διαπονουμένου οὐκ ἄριστα ὡς τὸ πρόσθεν.

---

2. ἣν recc.: δ' ἣν M. 3. στέγης Schneidewinus. 7. damnabat Valckenaerius. 11. ἐλπίζων M. 18. κλαίω M.

οὐχ ὡς τὰ πρόσθ' ἄριστα διαπονουμένου.
νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων
εὐαγγέλου φανέντος ὀρφναίου πυρός.
ὦ χαῖρε λαμπτήρ, νυκτὸς ἡμερήσιον
φάος πιφαύσκων καὶ χορῶν κατάστασιν
πολλῶν ἐν Ἄργει, τῆσδε συμφορᾶς χάριν.
ἰοῦ ἰοῦ.
Ἀγαμέμνονος γυναικὶ σημανῶ τορῶς,
εὐνῆς ἐπαντείλασαν ὡς τάχος δόμοις
ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι
ἐπορθιάζειν, εἴπερ Ἰλίου πόλις
ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει·
αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι.
τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι
τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας.
γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα
ἄνακτος οἴκων τῇδε βαστάσαι χερί.
τὰ δ' ἄλλα σιγῶ, βοῦς ἐπὶ γλώσσῃ μέγας
βέβηκεν· οἶκος δ' αὐτός, εἰ φθογγὴν λάβοι,
σαφέστατ' ἂν λέξειεν· ὡς ἑκὼν ἐγὼ
μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι.

(Dux chori)

χορὸς πρεσβυτῶν. δέκατον μὲν ἔτος τόδ' ἐπεὶ Πριάμου
μέγας ἀντίδικος,
Μενέλαος ἄναξ ἠδ' Ἀγαμέμνων,
διθρόνου Διόθεν καὶ δισκήπτρου

22. δεῖ διαστήματος ὀλίγου ἐνταῦθα, εἶτα ἀνακραγεῖν, ὡς θεασάμενον τὸν πυρσόν. ἐκ νυκτὸς ἡμέραν ἡμῖν δοῦσιν (διδούς Vict.). 26. τορῶς: μεγαλοφώνως. 27. ὡς ἐπὶ ἄστρου ἢ σελήνης. 30. πρέπει: διαπρεπῶς σημαίνει. 31. φροίμιον: πρὸ τῆς Κλυταιμνήστρας. 32. θήσομαι: οἰκειώσομαι. 33. καὶ παροιμία ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι. 36. ἢ βάρος ἐπίκειται· ἢ φοβοῦμαι ζημίαν ἐπικεισομένην μοι.

26. σημανῶ recc.: σημαίνω M. 29. ἐπορθιάζειν recc.: ἐπορθριάζειν M. 30. ἀγγέλλων recc.: ἀγγέλων M. 39. κοὐ factum e καὶ οὐ M. 40. Πριάμου recc.: πριάμω M.

τιμῆς ὀχυρὸν ζεῦγος Ἀτρειδᾶν,
στόλον Ἀργείων χιλιοναύτην
τῆσδ' ἀπὸ χώρας
ἦραν, στρατιῶτιν ἀρωγήν,
μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη,
τρόπον αἰγυπιῶν, οἵτ' ἐκπατίοις
ἄλγεσι παίδων ὕπατοι λεχέων
στροφοδινοῦνται,
πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι,
δεμνιοτήρη
πόνον ὀρταλίχων ὀλέσαντες·
ὕπατος δ' ἀίων ἤ τις Ἀπόλλων
ἢ Πὰν ἢ Ζεὺς οἰωνόθροον
γόον ὀξυβόαν
τῶνδε μετοίκων ὑστερόποινον
πέμπει παραβᾶσιν Ἐρινύν.
οὕτω δ' Ἀτρέως παῖδας ὁ κρείσσων
ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος
Ζεύς, πολυάνορος ἀμφὶ γυναικὸς
πολλὰ παλαίσματα καὶ γυιοβαρῆ
γόνατος κονίαισιν ἐρειδομένου
διακναιομένης τ' ἐν προτελείοις
κάμακος θήσων Δαναοῖσιν
Τρωσί θ' ὁμοίως. ἔστι δ' ὅπῃ νῦν

48. οὐ γὰρ γλώσσῃ, ἀλλ' ἔργῳ θυμούμενοι. 49. τοῖς ἔξω τῆς ὁδοῦ. οἵτινες ὕπατοι ὄντες, ὀλέσαντες δὲ τὸν πόνον τῶν ὀρταλίχων, τὸν ἐν τοῖς δεμνίοις τηρούμενον, ἐπὶ τῶν λεχέων στροφοδινοῦνται. 54. τῶν μηδέπω πετομένων νεοττῶν. 58. ὑπὲρ τῶν μετοικισθέντων νεοσσῶν. 59. τοῖς παραβήσασι καὶ μετοικήσασιν (μετοικίσασιν Vict.) αὐτούς. 62. πολλοὺς μνηστῆρας ἰσχηκυίας. 63. βαρέα καὶ μὴ ἐῶντα ἀνανεῦσαι τοὺς πίπτοντας. 65. διακναιούσης. κυρίως ταῖς πρὸ γάμου θυσίαις, νῦν δὲ ταῖς πρὸ τῆς ἁλώσεως μάχαις. 67. καὶ τὸ μὲν ὥς κε πέλει, τὼς ἔσται.

---

44. Ἀτρείδαιν Dindorfius. 45. χιλιοναύταν (adscripto in margine γρ. ἴλιον αὐτάν) M. 47. ἀρωγὰ·ν M. 64. ἐριδομένου M.

ἔστι· τελεῖται δ' ἐς τὸ πεπρωμένον·
οὔθ' ὑποκλαίων οὔθ' ὑπολείβων
οὔτε δακρύων ἀπύρων ἱερῶν
ὀργὰς ἀτενεῖς παραθέλξει.
ἡμεῖς δ' ἀτίται σαρκὶ παλαιᾷ
τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες
μίμνομεν ἰσχὺν
ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις.
ὅ τε γὰρ νεαρὸς μυελὸς στέρνων
ἐντὸς ἀνάσσων
ἰσόπρεσβυς, Ἄρης δ' οὐκ ἐνὶ χώρᾳ,
τί θ' ὑπέργηρως φυλλάδος ἤδη
κατακαρφομένης τρίποδας μὲν ὁδοὺς
στείχει, παιδὸς δ' οὐδὲν ἀρείων
ὄναρ ἡμερόφαντον ἀλαίνει.
σὺ δέ, Τυνδάρεω
θύγατερ, βασίλεια Κλυταιμνήστρα,
τί χρέος; τί νέον; τί δ' ἐπαισθομένη,
τίνος ἀγγελίας
πειθοῖ περίπεμπτα θυοσκινεῖς;
πάντων δὲ θεῶν τῶν ἀστυνόμων,
ὑπάτων, χθονίων,
τῶν τ' οὐρανίων τῶν τ' ἀγοραίων,
βωμοὶ δώροισι φλέγονται·
ἄλλη δ' ἄλλοθεν οὐρανομήκης
λαμπὰς ἀνίσχει,

69. λείπει τὸ τίς. 70. τῶν θυσιῶν τῶν Μοιρῶν καὶ τῶν Ἐρινύων, ἃ καὶ νηφάλια καλεῖται. 78. τῷ τόπῳ ἐκείνῳ. 82. ἀλᾶται. 85. διὰ τί.

69. ὑποκαίων Casaubonus. 70. οὔτε δακρύων delebat Paleius. 77. ἀνάσσων M. 79. τίθιπεργήρωσ M. τό θ' ὑπεργήρων Triclinius. 82. ἡμερόφαντον Triclinius: ἡμερόφατον M. 83. τυνδάρεω 'littera ω levi calami ductu ex αο facto et accentu, qui est super ε, lineola transfixo' M sec. Dindorfium, τυνδάρεω sec. Merkelium. 87. θυοσκινεῖσ, priore ι e correctura addito, M. θυοσκεῖς Turnebus. 90. τῶν τ' ἀγρονόμων τῶν τ' ἀγοραίων Weilius. 91. δώροισι Triclinius: δάροισ M.

φαρμασσομένη χρίματος ἄγνοῦ
μαλακαῖς ἀδόλοισι παρηγορίαις,
πελάνῳ μυχόθεν βασιλείῳ.
τούτων λέξασ' ὅ τι καὶ δυνατὸν
καὶ θέμις αἰνεῖν,
παιών τε γενοῦ τῆσδε μερίμνης,
ἢ νῦν τοτὲ μὲν κακόφρων τελέθει,
τοτὲ δ' ἐκ θυσιῶν ἀγανὰ φαίνεις
ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον
τὴν θυμοφθόρον λύπης φρένα.

(Chorus)

str. κύριός εἰμι θροεῖν ὄδιον κράτος αἴσιον ἀνδρῶν
ἐκτελέων· ἔτι γὰρ θεόθεν καταπνέει
πειθὼ μολπᾶν
ἀλκὰν σύμφυτος αἰών·
ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἵβας
ξύμφρονα τὰν γᾶν,
πέμπει σὺν δορὶ καὶ χερὶ πράκτορι
θούριος ὄρνις Τευκρίδ' ἐπ' αἶαν,

94. τοῦ ἐλαίου. 96. λείπει κομιζομένων (κομιζομένῳ Stanl.). 100. ἔσθ' ὅτε μέν. 103. ἥτις ἐστὶ θυμοβόρος λύπη τῆς φρενός. 104. δυνατός εἰμι εἰπεῖν τὸ συμβὰν αὐτοῖς σημεῖον ἐξιοῦσιν. τὸ ἐν τῇ ὁδῷ ὀφθέν. 105. πείθει γάρ με ἡ παρὰ θεῶν πίστις μέλπειν καὶ λέγειν ὅτι εὖ πράξουσιν οἱ Ἀτρεῖδαι ὅσον ἀπὸ τοῦ σημείου. 107. ὁ γὰρ σύμφυτός μοι αἰών, ὅ ἐστι τὸ γῆρας, διὰ τὴν εἰς θεοὺς πειθὼ μολπήν μοι καὶ ἀλκὴν καταπνεῖ, ὅ ἐστιν, εἰ καὶ γέρων εἰμί, ὅμως μέλψω τὰ γεγονότα· πέποιθα γὰρ ὅτι εἰς πέρας αὐτὰ ἄξουσιν οἱ θεοί. 108. τοὺς κρατοῦντας τὴν Ἑλληνικὴν ἥβην καὶ τὴν ὁμόφρονα περὶ τὰ τακτικά. λέγει δὲ τοὺς Ἀτρείδας. 110. πράκτορι: τῷ δίκην εἰσπραξομένῳ.

---

97. λέξαις Hartungus. 101. ἆς ἀναφαίνεις Ahrens. 102. ἄπλη-στον recc.: ἄπλειστον M. 105. καταπνέ. ει M. καταπνείει Ald. 106. μολπᾶν, corr. in μολπὰν, M. 107. ἀλκᾷ Bothius. 108. ἥβας Aristoph. Rann. 1285: ἥβαν M. 109—111. in spatio a primo scriba vacuo relicto postea addidit alia manus (m). 109. ξύμφρονε ταγώ Dindorfius. 110. καὶ χερὶ πράκτορι Aristoph. Rann. 1288: δίκασ πράκτορι m.

οἰωνῶν βασιλεὺς βασιλεῦσι νεῶν, ὁ κελαινὸς ὅ τ᾽
ἐξόπιν ἀργᾶς,
φανέντες ἴκταρ μελάθρων χερὸς ἐκ δοριπάλτου
παμπρέπτοις ἐν ἕδραισιν,
βοσκόμενοι λαγίναν ἐρικύματα φέρματι γένναν,
βλαβέντα λοισθίων δρόμων.
αἴλινον αἴλινον εἰπέ, τὸ δ᾽ εὖ νικάτω.
antistr. κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασι δισσοὺς
Ἀτρεΐδας μαχίμους ἐδάη λαγοδαίτας
πομπούς τ᾽ ἀρχάς·
οὕτω δ᾽ εἶπε τερᾴζων·
χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος,
πάντα δὲ πύργων
κτήνη πρόσθε τὰ δημιοπλῆθῆ
μοῖρα λαπάξει πρὸς τὸ βίαιον·
οἷον μή τις ἄτα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας
στρατῳθέν. οἴκῳ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνὰ
πτανοῖσιν κυσὶ πατρὸς
αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισιν·
στυγεῖ δὲ δεῖπνον αἰετῶν.

112. ὁ ἐξοπίσω λευκός, ὅ ἐστιν ὁ πύγαργος. 113. ἐκ δεξιᾶς, ὅ ἐστιν εὐσυμβόλως. 114. τοῖς βασιλείοις. 115. λαγίναν γέννην τὸν λαγών. πολυκύμονα. 116. πρὸς τὸ σημαινόμενον τὸ βλαβέντα. 117. ἐπειδὴ ὁ αἴλινος καὶ ἐπὶ θρήνου λέγεται, φησὶν ὅτι ἐν τάξει ὕμνου αὐτὸν λέγει. 121. τερᾴζων: τὰ τέρατα διηγούμενος. 124. κτήνη: κτήματα. 126. μόνον μὴ προτυπὲν ὑπὸ θεῶν τὸ στρατωθὲν τῆς Τροίας στόμιον, ὅ ἐστι τὸ ἐπὶ βλάβῃ Τροίας στρατευθέν, ἄτῃ σκοτίσῃ. 127. τῷ γὰρ οἴκῳ τῶν κυνῶν Διός, ὅ ἐστι τῶν ἀετῶν, ὀργίζεται Ἄρτεμις δὲ (διὰ Stanl.) τὸ κύοντα τὸν λαγὼν ἀποκτεῖναι. λοχεία (λοχία Dind.) γάρ ἐστιν ἡ θεός. 129. σὺν αὐτῷ τῷ τόκῳ. τὸν λαγών.

---

112. ὅ δ᾽ Hartungus. ἀργᾶς Blomfieldus: ἀργίασ M. 113. δοριπάλτου Turnebus: δορυπάλτου M. 114. παμπρέπτοις rec.: παμπρέποισ M. 115. ἐρικύμονα recc. 119. λαγοδαίτας recc.: λογοδαίτασ M. 120. πομπᾶς ἀρχούς Karstenus. 125. μοῖρα λαπάξει Triclinius: μοῖρ᾽ ἀλαπάξει M. 126. ἄγα Hermannus.

αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.
epod. τόσσων περ εὔφρων καλὰ
δρόσοισιν ἀέλπτοις μαλερῶν λεόντων,
πάντων τ' ἀγρονόμων φιλομάστοις
θηρῶν ὀβρικάλοισι, τερπνὰ
τούτων αἰτεῖ ξύμβολα κρᾶναι,
δεξιὰ μέν, κατάμομφα δὲ φάσματα στρουθῶν.
ἰήιον δὲ καλέω Παιᾶνα,
μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενῆδας
ἁπλοίας τεύξῃ,
σπευδομένα θυσίαν ἑτέραν ἄνομόν τιν', ἄδαιτον,
νεικέων τέκτονα σύμφυτον,
οὐ δεισήνορα. μίμνει γὰρ φοβερὰ παλίνορτος
οἰκονόμος δολία, μνάμων μῆνις τεκνόποινος.
τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξεν
μόρσιμ' ἀπ' ὀρνίθων ὀδίων οἴκοις βασιλείοις·
τοῖς δ' ὁμόφωνον
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.

str. 1. Ζεὺς ὅστις ποτ' ἐστίν, εἰ τόδ' αὐ-
τῷ φίλον κεκλημένῳ,
τοῦτό νιν προσεννέπω.
οὐκ ἔχω προσεικάσαι
πάντ' ἐπισταθμώμενος

133. τοῖς νεογνοῖς. χωρὶς δ' αὖτ' ἔρσαι (Hom. Od. ι. 222). ἀέλπτοις (ἀέπτοις Dind.) δὲ τοῖς ἔπεσθαι τοῖς γονεῦσι μὴ δυναμένοις. 136. τὰ σύβολα αἰτεῖ με φάναι δεξιὰ διὰ τὴν νίκην, ἐπίμομφα διὰ τὸν χόλον Ἀρτέμιδος. 137. τῶν ἀετῶν. 138. ὡς μάντις. 140. ὦ Ἄρτεμι. 141. ἄδαιτον: ἣν οὐδεὶς ἔδαισεν. 142. σύμφυτον: συγγενικήν. 143. οὐ φοβουμένην τὸν ἄνδρα, ἢ τὴν οὐ δήσασαν (δείσασαν Robort.) τὸν ἄνδρα. ἢ ἐξ ὑστέρου ὁρμωμένη. 145. διὰ τὴν νίκην. 147. ὁμοφώνως. 149. διάφορος γάρ ἐστιν ἡ περὶ τοῦ θείου δόξα.

---

133. ἀέπτοις recc. Etym. m. p. 377. Αἰσχύλος ἐν Ἀγαμέμνονι τοὺς σκύμνους τῶν λεόντων δρόσους κέκληκε: ὄντων M. 145. ἀπέκλαγξεν recc.: ἀπέκλαιξεν M.

πλὴν Διός, εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος
χρὴ βαλεῖν ἐτητύμως.
antistr. 1. οὐδ' ὅστις πάροιθεν ἦν μέγας,
παμμάχῳ θράσει βρύων,
οὐδὲν λέξαι πρὶν ὤν,
ὃς δ' ἔπειτ' ἔφυ, τρια-
κτῆρος οἴχεται τυχών.
Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων
τεύξεται φρενῶν τὸ πᾶν·
str. 2. τὸν φρονεῖν βροτοὺς ὁδώ-
σαντα, τὸν πάθει μάθος
θέντα κυρίως ἔχειν.
στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας
μνησιπήμων πόνος· καὶ παρ' ἄ-
κοντας ἦλθε σωφρονεῖν.
δαιμόνων δέ που χάρις
βιαίως σέλμα σεμνὸν ἡμένων.
antistr. 2. καὶ τόθ' ἡγεμὼν ὁ πρέ-
σβυς νεῶν Ἀχαιικῶν,
μάντιν οὔτινα ψέγων,
ἐμπαίοις τύχαισι συμπνέων,
εὖτ' ἀπλοίᾳ κεναγγεῖ βαρύ-
νοντ' Ἀχαικὸς λεώς,
Χαλκίδος πέραν ἔχων
παλιρρόχθοις ἐν Αὐλίδος τόποις·

154. εἰ τὸ τῆς ματαιότητος ὀφείλει τις ἀποσείσασθαι τῆς γνώμης, Διὰ νομιζέτω. 156. διὰ τοὺς Τιτᾶνας. 157. ὁ Τυφώς. 159. ἐπὶ ἐλπίδι νίκης. 162. ὁλοσχερῶς φρόνιμος ἔσται. 164. παθὼν δέ τε νήπιος ἔγνω (Hom. Il. P. 32). τῷ παθόντι. 166. τῷ ἁμαρτάνοντι τοῦτο συμβαίνει. 170. τὸν ζυγόν. ὑψίζυγος γὰρ ὁ Ζεύς. 171. μείζων γὰρ Μενελάου. 173. περισσεύει τὸ πνεῦμα. 174. ἐμπεσάσαις (ἐμπαισάσαις Dind.). ὁμοφωνῶν. 175. νηῶν ἐξέφθιτο ἠΐα πάντα (Hom. Od. μ. 329). 177. ἀντὶ τοῦ ἐχόμενος.

154. τό Pauwius: τόδε M. 158. οὐδὲ λέξεται Ahrens, οὐ λελέξεται Franzius. 164. τόν Schuetzius: τῷ M. 166. ἀνθ' ὕπνου Emperius. 178. παλιρρόχθοις Ahrens: παλιρρόθοισ M.

str. 3. πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι
κακόσχολοι, νήστιδες, δύσορμοι,
βροτῶν ἄλαι, νεῶν [τε] καὶ
πεισμάτων ἀφειδεῖς,
παλιμμήκη χρόνον τιθεῖσαι
τρίβῳ κατέξαινον ἄνθος Ἀργείων.
ἐπεὶ δὲ καὶ πικροῦ
χείματος ἄλλο μῆχαρ
βριθύτερον πρόμοισιν
μάντις ἔκλαγξεν προφέρων
Ἄρτεμιν, ὥστε χθόνα βάκ-
τροις ἐπικρούσαντας Ἀτρεί-
δας δάκρυ μὴ κατασχεῖν·
antistr. 3. ἄναξ δ' ὁ πρέσβυς τόδ' εἶπε φωνῶν·
βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι,
βαρεῖα δ', εἰ τέκνον δαΐ-
ξω, δόμων ἄγαλμα,
μιαίνων παρθενοσφάγοισιν
ῥείθροις πατρῴους χέρας βωμοῦ πέλας.
τί τῶνδ' ἄνευ κακῶν;
πῶς λιπόναυς γένωμαι
ξυμμαχίας ἁμαρτών;
παυσανέμου γὰρ θυσίας
παρθενίου θ' αἵματος ὀρ-
γᾷ περιόργως ἐπιθυ-

180. ἐπὶ κακῷ ποιοῦσαι σχολάζειν. 181. καὶ δὴ ἄγρην ἐφέπεσκον ἁλητεύοντες (Hom. Od. μ. 330). καὶ δὴ δοῦρα σέσηπε νεῶν (Hom. Il. *B.* 135). 184. τρίβῳ: διατριβῇ. 187. ἐπαχθέστερον. 192. ἄναξ δ' ὁ πρέσβυς: τὸ ἑξῆς, ἐπεὶ δὲ πικροῦ, ἄναξ ὁ πρέσβυς τόδ' εἶπεν. 193. τιμωρία. 194. πλεῖον (πλείων Robort.) οἶκτος διὰ τὸ τέκνον. 202. ὀργᾷ: τῷ τρόπῳ γὰρ (γρ. Hermannus) αὐδᾷ ὁ μάντις δῆλον ὅτι. 203. περιόργως: ἐπιθυμητικῶς.

181. νεῶν τε καὶ Porsonus: ναῶν καὶ M. 184. κατέξενον M. 192. τότ' Stanleius. 193. πιθέσθαι Turnebus: πειθέσθαι M. 197. ῥείθροις Triclinius: ῥεέθροισ M. 199. πῶς λιπόναυς Triclinius: τί πῶσ λιπόναυστε M.

μεῖν Θέμις. εὖ γὰρ εἴη.
str. 4. ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον
φρενὸς πνέων δυσσεβῆ τροπαίαν
ἄναγνον, ἀνίερον, τόθεν
τὸ παντότολμον φρονεῖν μετέγνω.
βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις
τάλαινα παρακοπὰ πρωτοπήμων.
ἔτλα δ' οὖν θυτὴρ γενέ-
σθαι θυγατρός, γυναικοποίν-
ων πολέμων ἀρωγὰν
καὶ προτέλεια ναῶν.
antistr. 4. λιτὰς δὲ καὶ κληδόνας πατρῴους
παρ' οὐδὲν αἰῶνα παρθένειον
ἔθεντο φιλόμαχοι βραβῆς,
φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν
δίκαν χιμαίρας ὕπερθε βωμοῦ
πέπλοισι περιπετῆ παντὶ θυμῷ
προνωπῆ λαβεῖν ἀέρ-
δην, στόματός τε καλλιπρῴ-
ρου φυλακὰν κατασχεῖν
φθόγγον ἀραῖον οἴκοις
str. 5. βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει.
κρόκου βαφὰς δ' ἐς πέδον χέουσα
ἔβαλλ' ἕκαστον θυτήρων
ἀπ' ὄμματος βέλει φιλοίκτῳ,

204. εὖ γὰρ εἴη: καλῶς ἀποβαίη. 205. ἀντὶ τοῦ ἠναγκάσθη τὸ ποιεῖν. 206. μεταβολήν. 208. ὅθεν ἔγνω πάντα τοὺς ἀνθρώπους τολμᾶν, ἀπὸ τῆς ἀνάγκης δῆλον ὅτι. 209. αἰσχρὰ ποιεῖν ἀναγκάζουσα. 210. τοῦ νοῦ παρακοπή. πρωτοπήμων δὲ ἡ μείζων τῶν ἄλλων πημάτων. 215. κἂν διὰ τὰς λιτὰς δι' (del. Vict.) ἃς ἐποιεῖτο πρὸς τὸν πατέρα παρ' οὐδὲν ἡγήσαντο τὴν ζωὴν αὐτῆς. 220. περιεσκεπασμένην. 221. προνενευκυῖαν. ἀέρδην: βαστακτικῶς. 222. εὐμόρφου. 225. τῇ βίᾳ καὶ τῷ ἀναύδῳ μένει τῶν χαλινῶν τῶν μὴ ἐώντων αὐτὴν λαλεῖν.

209. βροτούς Schuetzius: βροτοῖσ M. 216. παρθένειον recc.: παρθένιον M.

πρέπουσά θ' ὡς ἐν γραφαῖς, προσεννέπειν
θέλουσ', ἐπεὶ πολλάκις
πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους
ἔμελψεν. ἁγνὰ δ' ἀταύρωτος αὐδᾷ πατρὸς
φίλου τριτόσπονδον εὔποτμον
αἰῶνα φίλως ἐτίμα.

antistr. 5. τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω·
τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
Δίκα δὲ τοῖς μὲν παθοῦσι
μαθεῖν ἐπιρρέπει· τὸ μέλλον
ἐπεὶ γένοιτ' ἂν κλύοις· προχαιρέτω·
ἴσον δὲ τῷ προστένειν.
τορὸν γὰρ ἥξει σύνορθρον αὐγαῖς.
πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὔπραξις, ὡς
θέλει τόδ' ἄγχιστον Ἀπίας
γαίας μονόφρουρον ἔρκος.

(Dux chori)

ἥκω σεβίζων σόν, Κλυταιμνήστρα, κράτος·
δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
γυναῖκ' ἐρημωθέντος ἄρσενος θρόνου.
σὺ δ' εἴ τι κεδνὸν εἴτε μὴ πεπυσμένη
εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,

229. διὰ τὸ κάλλος, ἢ διὰ τὸ ἀφωνητεῖν. 232. ἄζευκτος, παρθενική. 233. ζηλωτὸν ἐποίει δι' ἑαυτὴν τὸν πατέρα. 235. διὰ τὸ ἀπάνθρωπον εἶναι τὴν σφαγήν. 237. τοῖς μὲν πεπονθόσιν ἡ δίκη δίδωσι τὸ μαθεῖν. δίκην γὰρ δόντες μανθάνουσι τὸ μέλλον 241. φανερόν. τὸ πεπρωμένον φανερὸν ἥξει. 242. εὐπραξία. 243. τὸ συγγενικόν. 244. ἐπειδὴ μόνοι γέροντες ἐφύλασσον τὴν Ἑλλάδα. 247. παρόντος μέντοι οὐ δεῖ συντυγχάνειν αὐτῇ.

---

232. ἔμελθεν M sec. Merkel. αὐδᾷ recc.: αὐδὰ M. 238. post μέλλον in fine versus post breve intervallum colore viridiore et, ut quibusdam visum, ab alia manu adscriptum est in M ex interpretamento τὸ δὲ προκλύειν. 239. ἐπεὶ γένοιτ' recc.: ἐπιγένοιτ' M. 241. σύνορθρον Wellauerus: συνορθὸν M. αὐγαῖς Hermannus: αὐταῖσ M. 245. ἄγγελ^{o} — praescriptum in M. 248. εἴτε, mutatum in εἴτε, priore loco M. 249. ἐλπίσιν recc.: ἐλπίσειν M.

κλύοιμ' ἂν εὔφρων· οὐδὲ σιγώσῃ φθόνος.
Κλυταιμ- εὐάγγελος μέν, ὥσπερ ἡ παροιμία,
νήστρα. ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα.
πεύσῃ δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν·
Πριάμου γὰρ ᾑρήκασιν Ἀργεῖοι πόλιν.
ΧΟ. πῶς φής; πέφευγε τοὔπος ἐξ ἀπιστίας.
ΚΛ. Τροίαν Ἀχαιῶν οὖσαν· ἦ τορῶς λέγω;
ΧΟ. χαρά μ' ὑφέρπει δάκρυον ἐκκαλουμένη.
ΚΛ. εὖ γὰρ φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ.
ΧΟ. τί γάρ; τὸ πιστὸν ἐστι τῶνδέ σοι τέκμαρ;
ΚΛ. ἔστιν, τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ.
ΧΟ. πότερα δ' ὀνείρων φάσματ' εὐπιθῆ σέβεις;
ΚΛ. οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενός.
ΧΟ. ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις;
ΚΛ. παιδὸς νέας ὡς κάρτ' ἐμωμήσω φρένας.
ΧΟ. ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;
ΚΛ. τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης λέγω.
ΧΟ. καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;
ΚΛ. Ἥφαιστος, Ἴδης λαμπρὸν ἐκπέμπων σέλας.
φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς
ἔπεμπεν. Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον
Ἄθῳον αἶπος Ζηνὸς ἐξεδέξατο,
ὑπερτελής τε, πόντον ὥστε νωτίσαι
ἰχθῦς πορευτοῦ λαμπάδος πρὸς ἡδονήν,
πεύκη τὸ χρυσοφεγγές, ὡς τις ἥλιος,

250. εἰ μὴ θέλεις εἰπεῖν, οὐ μεμψαίμην ἄν. 251. ὁ παλαιὸς λόγος. 252. γένοιτο καλὴ ἡμέρα, ὥσπερ ἡ νύξ. 260. εἰ μήπω θεός με ἀπατᾷ. 263. ἰσόπτερος, κούφη. 270. ὄρος Λήμνου. 271. φανόν: τὴν λαμπάδα. 273. ὑπερβῆναι. 274. μεγίστη πεύκη ἰσχὺς πυρός.

253. 255—267. paragraphos adscriptas habent, 268. κλυταί ἔγγ — praefixum in M. 259. ἦ γάρ τι Karstenus. 261. εὐπιθῆ Blomfieldus: εὐπειθῆ M. 269. Etymol. m. p. 7. Αἰσχύλος γοῦν ἐν Ἀγαμέμνονι τὸν ἐκ διαδοχῆς πυρσὸν ἀπ' ἀγγάρου πυρὸς ἔφη: ἀπ' ἀγγέλου M. 271. Athenaeus 15. p. 700. πρότερος δὲ τούτων Αἰσχύλος ἐν Ἀγαμέμνονι μέμνηται τοῦ πανοῦ: φανὸν M. 274. ἰχθῦς Ahrens: ἰσχὺς M.

σέλας παραγγείλασα Μακίστου σκοπάς·
ὃ δ' οὔτι μέλλων οὐδ' ἀφρασμόνως ὕπνῳ
νικώμενος παρῆκεν ἀγγέλου μέρος·
ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς
Μεσσαπίου φύλαξι σημαίνει μολόν.
οἳ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω
γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.
σθένουσα λαμπὰς δ' οὐδέπω μαυρουμένη,
ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην
φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας
ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
φρουρά, πλέον κάουσα τῶν εἰρημένων·
λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος,
ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον
ὤτρυνε θεσμὸν μὴ χαρίζεσθαι πυρός.
πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει
φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
πορθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλειν πρόσω
φλέγουσαν· εἶτ' ἔσκηψεν, εἶτ' ἀφίκετο
Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
κἄπειτ' Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος
φάος τόδ' οὐκ ἄπαπτον Ἰδαίου πυρός.
τοιοίδε τοί μοι λαμπαδηφόρων νόμοι,
ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι·
νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
τέκμαρ τοιοῦτον σύμβολόν τε σοὶ λέγω

276. *Μάκιστον ὄρος Εὐβοίας.* 277. *ὁ τόπος.* 278. *κοινὸν τὸ ἔπεμπεν* (276?). 280. *Μεσσάπιον ὄρος μεταξὺ Εὐβοίας καὶ Βοιωτίας.* 282. *θωμόν.* σωρόν. 288. *ἡ τοῦ Κιθαιρῶνος.* 290. *ὄρος Μεγαρίδος.* 293. *κόλπος περὶ Τροιζῆνα.* 294. *τὸ κατόψιον.* 296. *ὄρος Ἄργους.* 298. *οὐ ξένον, ἀλλὰ συγγενές.*

276. *παρηγγάρευσε* Bambergerus. *σκοπᾷ* Hermannus. 284. *πεδίον Ἀσωποῦ* recc.: *παιδίον ὠποῦ* M. 288. *καίουσα* M. 294. *κάτοπτον* Canterus: *κάτοπτρον* M. 297. *τόδε* recc.: *τόγε* M. 299. *τοιοίδε τοί μοι* Schuetzius: *τοιοίδ' ἕτοιμοι* (*ἕτυμοι a*) libri. 302. *τοιοῦτοι* a.

ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.
ΧΟ. θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι.
λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι
διηνεκῶς θέλοιμ' ἄν, οὓς λέγεις, πάλιν.
ΚΛ. Τροίαν Ἀχαιοὶ τῇδ' ἔχουσ' ἐν ἡμέρᾳ.
οἶμαι βοὴν ἄμεικτον ἐν πόλει πρέπειν.
ὄξος τ' ἄλειφά τ' ἐγχέας ταὐτῷ κύτει
διχοστατοῦντ' ἄν, οὐ φίλω, προσεννέποις.
καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
φθογγὰς ἀκούειν ἔστι συμφορᾶς διπλῆς·
οἳ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων
παῖδες γερόντων οὐκέτ' ἐξ ἐλευθέρου
δέρης ἀποιμώζουσι φιλτάτων μόρον,
τοὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
νήστισι πρὸς ἀρίστοισιν ὧν ἔχει πόλις
τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον·
ἀλλ' ὡς ἕκαστος ἔσπασεν τύχης πάλον,
ἐν αἰχμαλώτοις Τρωικοῖς οἰκήμασι
ναίουσιν ἤδη, τῶν ὑπαιθρίων πάγων
δρόσων τ' ἀπαλλαγέντες, ὡς δυσδαίμονες
ἀφύλακτον εὐδήσουσι πᾶσαν εὐφρόνην.
εἰ δ' εὐσεβοῦσι τοὺς πολισσούχους θεοὺς
τοὺς τῆς ἁλούσης γῆς θεῶν θ' ἱδρύματα,
οὔ τἂν ἑλόντες αὖθις ἀνθαλοῖεν ἄν.
ἔρως δὲ μή τις πρότερον ἐμπίπτοι στρατῷ

314. οὐ (del. Lobeck) κατὰ τὸν φυτάλμιον Δία ἐνταῦθα ἡ ἐτυμολογία, ἐκ τῆς φύτλης δὲ γίνεται φυτάλιμος, ἤγουν φυτοσπόρος, καὶ μεταθέσει διὰ καλλιφωνίαν φυτάλμιος.

---

304. personae nota nulla in libris. 306. οὓς Bothius: ὡς libri. λέγεισ a λέγοις ac. 307. personae notam nullam, 308. Clytaemnestrae praefixam habent in libris. 309. ἄμικτον libri. 309. ἐγχέας Canterus: ἐκχέας libri. 310. φίλω Stanleius: φίλως libri. 318. νήστισι a νῆστις a νήστεις Triclinius. 323. ὡς δ' εὐδαίμονες Stanleius. 327. οὔ τἂν ἑλόντες Hermannus: οὐκ ἀνελόντες a οὐκ ἄν γ' ἑλόντες ac. ἀνθαλοῖεν Auratus: ἂν θάνοιεν a αὖ θάνοιεν ac. 328. ἐμπίπτει a ἐμπίπτῃ a ἐμπίπτοι c.

πορθεῖν ἃ μὴ χρὴ κέρδεσιν νικωμένους·
δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας,
κάμψαι διαύλου θάτερον κῶλον πάλιν.
θεοῖς δ' ἀναμπλάκητος εἰ μόλοι στρατός,
ἐγρήγορον τὸ πῆμα τῶν ὀλωλότων
γένοιτ' ἄν, εἰ πρόσπαια μὴ τύχοι κακά.
τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύεις.
τὸ δ' εὖ κρατοίη, μὴ διχορρόπως ἰδεῖν·
πολλῶν γὰρ ἐσθλῶν τήνδ' ὄνησιν εἱλόμην.

XO. γύναι, κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις.
ἐγὼ δ' ἀκούσας πιστά σου τεκμήρια
θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι·
χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.

ὦ Ζεῦ βασιλεῦ καὶ νὺξ φιλία,
μεγάλων κόσμων κτεάτειρα,
ἥτ' ἐπὶ Τροίας πύργοις ἔβαλες
στεγανὸν δίκτυον, ὡς μήτε μέγαν
μήτ' οὖν νεαρῶν τιν' ὑπερτελέσαι
μέγα δουλείας
γάγγαμον, ἄτης παναλώτου.
Δία τοι ξένιον μέγαν αἰδοῦμαι
τὸν τάδε πράξαντ' ἐπ' Ἀλεξάνδρῳ
τεί νοντα πάλαι τόξον, ὅπως ἂν
μήτε πρὸ καιροῦ μήθ' ὑπὲρ ἄστρων
βέλος ἠλίθιον σκήψειεν.

(Chorus)

str. 1. Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν,

331. ἐπειδὴ ὁ δίαυλος δύο ἔχει σταδίους, ὧν τὸν ἕτερον διῆλθον ἤδη εἰς Τροίαν ἀνελθόντες, δεῖ λοιπὸν καὶ τὸν ἄλλον διελθεῖν καὶ ὑπονοστῆσαι πρὸς τὸν οἶκον. 334. πρόσφατα, νῦν προσπαίσαντα καὶ προσκρούσαντα αὐτοῖς. 341. τιμώμενοι γὰρ οἱ θεοὶ ἠμείψαντο ἡμᾶς. 348. δίκτυον. 351. ἤγουν τὴν τιμωρίαν, μεταφορικῶς.

335. κλύεις a κλύοις ac. 337. τήνδ' Hermannus: τήν libri. 338. nuntii notam praefigit a, chori 342. 340. αὖ Paleius. 354. ἔχουσιν Stanleius: ἔχουσαν a.

πάρεστι τοῦτό [γ'] ἐξιχνεῦσαι.
ἔπραξαν ὡς ἔκρανεν. οὐκ ἔφα τις
θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν
ὅσοις ἀθίκτων χάρις
πατοῖθ'· ὃ δ' οὐκ εὐσεβής.
πέφανται δ' ἐγγόνους
ἀτολμήτων Ἄρη
πνεόντων μεῖζον ἢ δικαίως,
φλεόντων δωμάτων ὑπέρφευ
ὑπὲρ τὸ βέλτιστον. ἔστω δ' ἀπή-
μαντον, ὥστ' ἀπαρκεῖν
εὖ πραπίδων λαχόντα.
οὐ γάρ ἐστιν ἔπαλξις
πλούτου πρὸς κόρον ἀνδρὶ
λακτίσαντι μέγαν Δίκας
βωμὸν εἰς ἀφάνειαν.
antistr. 1. βιᾶται δ' ἃ τάλαινα πειθώ,
προβουλόπαις ἄφερτος ἄτας.
ἄκος δὲ παμμάταιον. οὐκ ἐκρύφθη,
πρέπει δέ, φῶς αἰνολαμπές, σίνος·
κακοῦ δὲ χαλκοῦ τρόπον
τρίβῳ [τε] καὶ προσβολαῖς
μελαμπαγὴς πέλει
δικαιωθείς, ἐπεὶ
διώκει παῖς ποτανὸν ὄρνιν,

358. τῶν ἱερῶν. 360. οἱ θεοί, φησί, πέφανται καὶ φανεροὺς ποιοῦσι τοὺς ἐκγόνους τῶν ἀσεβῶν τῶν πνεόντων Ἄρη μεῖζω ἢ δικαίως κατὰ τῶν δωμάτων τῶν ἀτολμήτων. ἤγουν, ὑπὲρ τὸ δίκαιον μαχομένων τοῖς ἱεροῖς οἴκοις τῶν θεῶν. 371. τῆς δ' ἄτης πειθὼ ἄφερτος καὶ ἀφόρητος καὶ βαρεῖά ἐστιν, ἥτις βιάζει αὐτούς, πρόνοιαν δῆθεν τοῦ πλουτίσαι τοὺς παῖδας ποιουμένη. 374. τουτέστι σέλας.

---

355. τοῦτό γ' Triclinius: τοῦτ' *a*. 356. ἔπραξαν Hermannus et Franzius: ὡς ἔπραξεν libri. 360. ἐγγόνους *a* ἐγγόνους *c*. 365. ὥστε κἀπαρκεῖν Triclinius. 369. μέγαν Canterus: μεγάλα libri. 376. τε addidit Triclinius. προσβολαῖς Porsonus: προβολαῖς libri. 379. ποτανόν Schuetzius: πτανέν libri.

πόλει πρόστριμμ' ἄφερτον [ἐν]θείς.
λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν·
τὸν δ' ἐπίστροφον τῶνδε
φῶτ' ἄδικον καθαιρεῖ.
οἷος καὶ Πάρις ἐλθὼν
ἐς δόμον τὸν Ἀτρειδᾶν
ἤσχυνε ξενίαν τράπε-
ζαν κλοπαῖσι γυναικός.
str. 2. λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας
κλόνους λογχίμους τε καὶ ναυβάτας ὁπλισμούς,
ἄγουσά τ' ἀντίφερνον Ἰλίῳ φθορὰν
βέβακεν ῥίμφα διὰ πυλᾶν,
ἄτλητα τλᾶσα· πολλὰ δ' ἔστενον
τόδ' ἐννέποντες δόμων προφῆται·
ἰὼ [ἰὼ] δῶμα [δῶμα] καὶ πρόμοι,
ἰὼ λέχος καὶ στίβοι φιλάνορες.
πάρεστι σιγᾶς ἄτιμος ἀλοίδορος
ἄδιστος ἀφεμένων ἰδεῖν.
πόθῳ δ' ὑπερποντίας
φάσμα δόξει δόμων ἀνάσσειν.
εὐμόρφων δὲ κολοσσῶν
ἔχθεται χάρις ἀνδρί,
ὀμμάτων δ' ἐν ἀχηνίαις
ἔρρει πᾶσ' Ἀφροδίτα.
antistr. 2. ὀνειρόφαντοι δὲ πενθήμονες

390. ἤγουν ἀντὶ προικὸς φθορὰν καὶ ἀπώλειαν κομίσασαν. 397. ἀφεμένων ἡμῶν τῆς σιγῆς· ὅ ἐστι καὶ ἀφισταμένων τοῦ σιγᾶν, τουτέστι καὶ παρρησιαζομένων καὶ φθεγγομένων τι, διὰ τὸ μὴ παρεῖναι τὴν δέσποιναν, ὅμως τῇ παλαιᾷ αἰδοῖ σώζομεν αὐτῆς τὴν παρουσίαν, καὶ πάρεστιν ἡμῖν ἰδεῖν ἡδίστη καὶ πολύτιμος καὶ ἀλοίδορος. ἤγουν νομίζομεν ἔτι συνεῖναι ἡμῖν αὐτὴν καὶ τῆς παρ' ἡμῶν τιμῆς ἀπολαύειν.

---

380. *ἐνθείς* Triclinius: *θείς a.* 385. *τόν* Triclinius: *τῶν a.* 387. *κλοπαῖσι* Triclinius: *κλοπαῖς a.* 389. *κλόνους τε καὶ λογχίμους ναυβάτας θ' ὁπλισμούς* Ahrens. 392. *πολλὰ δ' ἔστενον* Triclinius: *πολὺ δ' ἀνέστενον a.* 393. *τάδ'* Butlerus. 394. verba iterata, omissa in *a*, addit *c*, nimirum de Triclinii coniectura.

πάρεισι δόξαι φέρουσαι χάριν ματαίαν.
μάταν γὰρ εὖτ' ἂν ἐσθλά τις δοκῶν ὁρᾷ,
παραλλάξασα διὰ χερῶν
βέβακεν ὄψις οὐ μεθύστερον
πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις.
τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη
τάδ' ἐστὶ καὶ τῶνδ' ὑπερβατώτερα.
τὸ πᾶν δ' ἀφ' Ἑλλάδος αἴας συνορμένοις
πένθεια τλησικάρδιος
δόμων ἑκάστου πρέπει.
πολλὰ γοῦν θιγγάνει πρὸς ἦπαρ·
οὓς μὲν γάρ [τις] ἔπεμψεν
οἶδεν, ἀντὶ δὲ φωτῶν
τεύχη καὶ σποδὸς εἰς ἑκά-
στου δόμους ἀφικνεῖται.
str. 3. ὁ χρυσαμοιβὸς δ' Ἄρης σωμάτων
καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς
πυρωθὲν ἐξ Ἰλίου
φίλοισι πέμπει βαρὺ
ψῆγμα δυσδάκρυτον ἀν-
τήνορος σποδοῦ γεμί-
ζων λέβητας εὐθέτους.
στένουσι δ' εὖ λέγοντες ἄνδρα τὸν μὲν ὡς
μάχης ἴδρις, τὸν δ' ἐν φοναῖς καλῶς πεσόντ'
ἀλλοτρίας διαὶ γυναι-
κός. τάδε σῖγά τις βαΰ-
ζει, φθονερὸν δ' ὑπ' ἄλγος ἕρ-

412. τῶν συνηγμένων ἀπὸ τῆς Ἑλλάδος ἁπάντων ἑκάστου τοῖς οἴκοις ὀδυνηρὰ πένθησις διαπρέπει. 429. ὅτι δι' ἀλλοτρίαν ἀπώλλυτο γυναῖκα, σιωπηλῶς βοᾷ μετὰ ὀργῆς, δίκην κυνός.

406. ὁρᾷ Scholefieldus: ὁρᾶν libri. 407. χερῶν Triclinius: χειρῶν *a*. 409. ὀπαδοῖσ' Dobraeus. 410. ἐφεστίους Stanleius. 413. τηξικάρδιος Auratus. 416. τις addidit Porsonus. 419. εἰσαφικνεῖται Triclinius (*c*), ἀφικνεῖται Porsonus, ut est in *a*, si fides Franzio. 423. βραχύ Schuetzius. 426. εὐθέτους Auratus: εὐθέτου libri. 429. διαὶ grammat. Crameri an. Ox. 1, 119: διά *a* γε διά Triclinius.

πει προδίκοις Ἀτρείδαις.
οἳ δ' αὐτοῦ περὶ τεῖχος
θήκας Ἰλιάδος γᾶς
εὔμορφοι κατέχουσιν· ἐχ-
θρὰ δ' ἔχοντας ἔκρυψεν.
antistr. 3. βαρεῖα δ' ἀστῶν φάτις σὺν κότῳ·
δημοκράτου δ' ἀρᾶς τίνει χρέος.
μένει δ' ἀκοῦσαί τί μου
μέριμνα νυκτηρεφές.
τῶν πολυκτόνων γὰρ οὐκ
ἄσκοποι θεοί. κελαι-
ναὶ δ' Ἐρινύες χρόνῳ
τυχηρὸν ὄντ' ἄνευ δίκας παλιντυχεῖ
τριβᾷ βίου τιθεῖσ' ἀμαυρόν, ἐν δ' ἀί-
στοις τελέθοντος οὔτις ἀλ-
κά· τὸ δ' ὑπερκότως κλύειν
εὖ βαρύ· βάλλεται γὰρ ὅσ-
σοις Διόθεν κεραυνός.
κρίνω δ' ἄφθονον ὄλβον.
μήτ' εἴην πτολιπόρθης
μήτ' οὖν αὐτὸς ἁλοὺς ὑπ' ἄλ-
λων βίον κατίδοιμι.
epod. πυρὸς δ' ὑπ' εὐαγγέλου
πόλιν διήκει θοὰ
βάξις· εἰ δ' ἐτήτυμος,
τίς οἶδεν, ἢ τοι θεῖόν ἐστι μὴ ψύθος.
τίς ὧδε παιδνὸς ἢ φρενῶν κεκομμένος,

433. ὃ ἐποίησαν ἐν τῇ Τροίᾳ. βέλτιον δὲ αὐτῆς τῆς Τροίας τὸ τεῖχος εἰπεῖν. τὸ δ' εὔμορφοι πρὸς πλείονα οἶκτον προσέθηκεν. 457. τὸ ψύθος σύστοιχον τῷ ψεύδει ὡς καὶ τὸ ψυδρόν. ὅτι δὲ συγγενῆ τὸ δ καὶ τὸ θ δῆλον. προϋπόκειται δὲ τὸ ψεῦδος.

---

432. *προδίκοις* Triclinius: *προδίκοισιν a.* 442. *ἄσκοποι* Triclinius: *ἀπόσκοποι a.* 444. *παλιντυχεῖ* Scaliger: *παλιντυχῆ* libri. 452. *μήτ'* Triclinius: *μηδ' a.* 456. *ἐτήτυμος* Auratus: *ἐτητύμως* libri. 457. *ἤ, τοι a ἤτοι c.*

φλογὸς παραγγέλμασι
νέοις πυρωθέντα καρδίαν ἔπειτ'
ἀλλαγᾷ λόγου καμεῖν;
γυναικὸς αἰχμᾷ πρέπει
πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι.
πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται
ταχύπορος· ἀλλὰ ταχύμορον
γυναικογήρυτον ὄλλυται κλέος.

(Dux chori)

τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγάς,
εἴτ' οὖν ἀληθεῖς εἴτ' ὀνειράτων δίκην
τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσε φρένας·
κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον
κλάδοις ἐλάας· μαρτυρεῖ δέ μοι κάσις
πηλοῦ ξύνουρος διψία κόνις τάδε,
ὡς οὔτ' ἄναυδος οὔτε σοι δαίων φλόγα
ὕλης ὀρείας σημανεῖ καπνῷ πυρός,
ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων·
τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον·
εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι.
ὅστις τάδ' ἄλλως τῇδ' ἐπεύχεται πόλει,
αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.

κῆρυξ. ἰὼ πατρῷον οὖδας Ἀργείας χθονός,
δεκάτου σε φέγγει τῷδ' ἀφικόμην ἔτους,
πολλῶν ῥαγεισῶν ἐλπίδων μιᾶς τυχών·

464. ἤγουν περιφραστικῶς ἡ γυνή· ὡς ταυτὸν ὂν γυναῖκα εἰπεῖν καὶ ὅρον αὐτῆς ἐκθεῖναι. 466. τὸ φημιζόμενον ἀγαθὸν ὑπὸ τῶν γυναικῶν ἀνύπαρκτόν ἐστι καὶ ταχέως φθειρόμενον καὶ οὐκ ἐπὶ πολὺ διαμένον. 482. τινὲς μέμφονται τῷ ποιητῇ ὅτι αὐθημερὸν ποιεῖ τοὺς Ἕλληνας ἥκοντας. 483. ἡ λέξις ἐκ μεταφορᾶς τῶν ἀγκυρῶν, ὧν πολλῶν ῥαγεισῶν εἰς τὸ ὕδωρ μία τις περισώζει τὴν ναῦν.

460. ἔπειτ' Triclinius: ἔπει | ἔπειτ' *a*. 461. λόγον vel λόγους *a* λόγου *c*. 462. γυναικὸς Porsonus: ἐν γυναικὰς libri. 467. Clytaemnestrae, 479. chori nota praefixa in libris. 467. εἰσόμεθα *a*. 472. ἐλαίας libri. 474. leg. μοι. 479. leg. τὰ δ'. 482. δεκάτου Wunderus: δεκάτῳ libri.

οὐ γάρ ποτ' ἦ̓χουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ
θανὼν μεθέξειν φιλτάτου τάφου μέρος.
νῦν χαῖρε μὲν χθών, χαῖρε δ' ἡλίου φάος,
ὕπατός τε χώρας Ζεὺς ὁ Πύθιός τ' ἄναξ,
τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη·
ἅλις παρὰ Σκάμανδρον ἦ̓σθ' ἀνάρσιος·
νῦν δ' αὖτε σωτὴρ ἴσθι καὶ παιώνιος,
ἄναξ Ἄπολλον. τούς τ' ἀγωνίους θεοὺς
πάντας προσαυδῶ, τόν τ' ἐμὸν τιμάορον
Ἑρμῆν, φίλον κήρυκα, κηρύκων σέβας,
ἥρως τε τοὺς πέμψαντας, εὐμενεῖς πάλιν
στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι,
σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀντήλιοι,
εἴ που πάλαι, φαιδροῖσι τοισίδ' ὄμμασι
δέξασθε κόσμῳ βασιλέα πολλῷ χρόνῳ.
ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνῃ φέρων
καὶ τοῖσδ' ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ.
ἀλλ' εὖ νιν ἀσπάσασθε, καὶ γὰρ οὖν πρέπει,
Τροίαν κατασκάψαντα τοῦ δικηφόρου
Διὸς μακέλλῃ, τῇ κατείργασται πέδον,
βωμοὶ δ' ἄιστοι καὶ θεῶν ἱδρύματα
καὶ σπέρμα πάσης ἐξαπόλλυται χθονός.
τοιόνδε Τροίᾳ περιβαλὼν ζευκτήριον
ἄναξ Ἀτρείδης πρέσβυς εὐδαίμων ἀνὴρ
ἥκει, τίεσθαι δ' ἀξιώτατος βροτῶν
τῶν νῦν· Πάρις γὰρ οὔτε συντελὴς πόλις
ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον.
ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην

490. ἀπόμαχος. 492. βοηθόν. 497. οἱ εἰς ἀνατολὴν ὁρῶντες. 504. σπάθῃ. 510. ἀπὸ κοινοῦ τὸ οὔτε λεπτέον καὶ εἰς τὸ Πάρις· συνυπακούεται γὰρ ἐκ τοῦ ἐπαγομένου. 511. τοῦτο δηλοῖ ὡς οὐ πλέον δέδρακεν ἢ πέπονθεν.

489. ἦ̓σθ' marg. Askew.: ἦλθ' *a* ἦλθες *c*. 490. καὶ παιώνιος Dobraeus: καὶ παγώνιος *a* κἀπαγώνιος Triclinius. 498. εἴ που Stanleius: ἤ που libri. 499. δέξαισθε *c*. 500. ὑμῖν Triclinius: ἡμῖν *a*. 505. delebat Salzmannus utpote e Pers. 802 illatum. 512. ὄφλων libri.

τοῦ ῥυσίου θ' ἥμαρτε καὶ πανώλεθρον
αὐτόχθονον πατρῷον ἔθρισεν δόμον.
διπλᾶ δ' ἔτεισαν Πριαμίδαι θἁμάρτια.
ΧΟ. κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ.
ΚΗ. χαίρω· τεθνᾶναι δ' οὐκ ἀντερῶ θεοῖς.
ΧΟ. ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν.
ΚΗ. ὥστ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο.
ΧΟ. τερπνῆς ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου.
ΚΗ. πῶς δή; διδαχθεὶς τοῦδε δεσπόσω λόγου.
ΧΟ. τῶν ἀντερώντων ἱμέρῳ πεπληγμένοι.
ΚΗ. ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις.
ΧΟ. ὡς πόλλ' ἀμαυρᾶς ἐκ φρενός [μ'] ἀναστένειν.
ΚΗ. πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στύγος στρατῷ;
ΧΟ. πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω.
ΚΗ. καὶ πῶς; ἀπόντων κοιράνων ἔτρεις τινάς;
ΧΟ. ὡς νῦν τὸ σὸν δὴ καὶ θανεῖν πολλὴ χάρις.
ΚΗ. εὖ γὰρ πέπρακται. ταῦτα δ' ἐν πολλῷ χρόνῳ
τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν,
τὰ δ' αὖτε κἀπίμομφα. τίς δὲ πλὴν θεῶν
ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον;
μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας,
σπαρνὰς παρήξεις καὶ κακοστρώτους τί δ' οὐ
στένοντες οὐ λαχόντες ἥματος μέρος.

513. τοῦ ῥύσασθαι τοὺς Τρῶας. 514. ἐθέρισεν, ἔκειρε. κοινῶς δε ἔθριξεν, ἀφεῖλεν· ἀφ' οὗ καὶ ἡ θρίξ· καὶ Εὐριπίδης (Orest. 128) ἴδετε παρ' ἄκρας ὡς ἀπέθριξε τρίχας. 515. τὸν μισθὸν τῆς ἁμαρτίας. 528. ὧν ἐστι τὸ εἰρημένον ὑπὸ σοῦ, τὸ τεθνᾶναι δ' οὐκέτ' ἀντερῶ θεοῖς. 534. ἀντὶ τοῦ σπανίως. καὶ τούτου γὰρ οὐ συνεχῶς ἀπηλαύομεν. τὸ δὲ παρήξεις ἀντὶ τοῦ παραδρομὰς ἐπὶ τοῦ καταστρώματος τῶν νεῶν.

---

515. ἔτισαν libri. 516—528. verba, quae sunt chori ducis, Clytaemnestrae tribuuntur in libris. 517. οὐκ ἔτ' Triclinius. 520. ἦτε Triclinius: ἴστε vel ἔστε a. 522. πεπληγμένοι Tyrwhittus: πεπληγμένος libri. 524. μ' addidit Scaliger. 527. κοιράνων Triclinius: τυράννων a. 528. ὡς Scaliger: ὧν libri. 530. ἄν Auratus: εὖ libri. 534. κακοτρώτους a κακοστρώτους c. 538. δέ Pearsonus: γάρ libri.

τὰ δ᾽ αὖτε χέρσῳ καὶ προσῆν πλέον στύγος·
εὐναὶ γὰρ ἦσαν θηίων πρὸς τείχεσιν·
ἐξ οὐρανοῦ δὲ κἀπὸ γῆς λειμώνιαι
δρόσοι κατεψέκαζον, ἔμπεδον σίνος
ἐσθημάτων, τιθέντες ἔνθηρον τρίχα.
χειμῶνα δ᾽ εἰ λέγοι τις οἰωνοκτόνον,
οἷον παρεῖχ᾽ ἄφερτον Ἰδαία χιών,
ἢ θάλπος, εὖτε πόντος ἐν μεσημβριναῖς
κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσών·
τί ταῦτα πενθεῖν δεῖ; παροίχεται πόνος·
παροίχεται δὲ τοῖσι μὲν τεθνηκόσιν
τὸ μήποτ᾽ αὖθις μηδ᾽ ἀναστῆναι μέλειν.
τί τοὺς ἁναλωθέντας ἐν ψήφῳ λέγειν,
τὸν ζῶντα δ᾽ ἀλγεῖν χρὴ τύχης παλιγκότου;
καὶ πολλὰ χαίρειν συμφοραῖς καταξιῶ.
ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείων στρατοῦ
νικᾷ τὸ κέρδος, πῆμα δ᾽ οὐκ ἀντιρρέπει.
ὡς κομπάσαι τῷδ᾽ εἰκὸς ἡλίου φάει,
ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτωμένοις·
Τροίαν ἑλόντες δήποτ᾽ Ἀργείων στόλος
θεοῖς λάφυρα ταῦτα τοῖς καθ᾽ Ἑλλάδα
δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος.
τοιαῦτα χρὴ κλύοντας εὐλογεῖν πόλιν
καὶ τοὺς στρατηγούς· καὶ χάρις τιμήσεται
Διὸς τόδ᾽ ἐκπράξασα. πάντ᾽ ἔχεις λόγον.
XO. νικώμενος λόγοισιν οὐκ ἀναίνομαι.
ἀεὶ γὰρ ἡβᾷ τοῖς γέρουσιν εὖ μαθεῖν.
δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν

539. τὸ ἑδραῖον, ἤγουν τὸ περιβεβλημένον ἡμῖν κάλλος. 548. χρὴ κατὰ συνεκδοχήν· ἤγουν τί δεῖ ψηφίζεσθαι περὶ τῶν ἀπολωλότων; 549. ἐπὶ τῇ ἀποβολῇ τῶν ἀπολλυμένων δεῖ τὸν ζῶντα ἀλγεῖν καὶ πάλιν ἐπὶ ταῖς εὐποτμίαις χαίρειν. 559. ἤγουν ὁμολογήσουσι καὶ τῷ Διὶ χάριν τῷ τάδε διαπραξαμένῳ. 561. χαίρω ἐν τῷ μὴ ἀντιλογεῖν. 562. τουτέστιν ἀκμάζει. ἐπιθυμοῦσι γὰρ μανθάνειν ὧν οὐκ εἰς πεῖραν ἦλθον.

551. 552. post 547 transponebat Elberlingius. 555. *τροίην a.*

εἰκὸς μάλιστα, σὺν δὲ πλουτίζειν ἐμέ.
ΚΛ. ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο,
ὅτ᾽ ἦλθ᾽ ὁ πρῶτος νύχιος ἄγγελος πυρός,
φράζων ἅλωσιν Ἰλίου τ᾽ ἀνάστασιν.
καί τίς μ᾽ ἐνίπτων εἶπε· φρυκτωρῶν δία
πεισθεῖσα Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς;
ἦ κάρτα πρὸς γυναικὸς αἰρεσθαι κέαρ.
λόγοις τοιούτοις πλαγκτὸς οὖσ᾽ ἐφαινόμην.
ὅμως δ᾽ ἔθυον· καὶ γυναικείῳ νόμῳ
ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν
ἔλασκον εὐφημοῦντες ἐν θεῶν ἕδραις
θυηφάγον κοιμῶντες εὐώδη φλόγα.
καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ᾽ ἐμοὶ λέγειν;
ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον.
ὅπως δ᾽ ἄριστα τὸν ἐμὸν αἰδοῖον πόσιν
σπεύσω πάλιν μολόντα δέξασθαι. τί γὰρ
γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν,
ἀπὸ στρατείας ἄνδρα σώσαντος θεοῦ
πύλας ἀνοῖξαι; ταῦτ᾽ ἀπάγγειλον πόσει·
ἥκειν ὅπως τάχιστ᾽ ἐράσμιον πόλει·
γυναῖκα πιστὴν δ᾽ ἐν δόμοις εὕροι μολὼν
οἵανπερ οὖν ἔλειπε, δωμάτων κύνα
ἐσθλὴν ἐκείνῳ, πολεμίαν τοῖς δύσφροσιν,
καὶ τἄλλ᾽ ὁμοίαν πάντα, σημαντήριον
οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου.
οὐδ᾽ οἶδα τέρψιν οὐδ᾽ ἐπίψογον φάτιν
ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφάς.
τοιόσδ᾽ ὁ κόμπος τῆς ἀληθείας γέμων,
οὐκ αἰσχρὸς ὡς γυναικὶ γενναίᾳ λακεῖν.

564. μεταδιδόναι μοι τῆς χαρᾶς. 570. ἤγουν γυναικός ἐστι μετεωρίζεσθαι καὶ μέγα φρονεῖν ἀκούσασάν τι. 576. τὰ μακρά. 585. ἤγουν φύλακα. 587. σφραγῖδα τῆς πρὸς τὸν ἄνδρα εὐνῆς. 590. ὥσπερ οὐκ οἶδα τὰς βαφὰς τοῦ σιδήρου, οὕτως οὐδὲ ἡδονὴν ἑτέρου ἀνδρός.

565. ἀνωλόλυξα μέν Stephanus: ἀνωλολύξαμεν libri. 568. ἐνίπτων a ἐνίπτων c. 591. 592. praeconi tribuunt libri.

ΧΟ. αὕτη μὲν οὕτως εἶπε μανθάνοντί σοι
τοροῖσιν ἑρμηνεῦσιν εὐπρεπῶς λόγον.
σὺ δ' εἰπέ, κῆρυξ, Μενέλεων δὲ πεύθομαι
εἰ νόστιμός τε καὶ σεσῳσμένος πάλιν
ἥξει σὺν ὑμῖν, τῆσδε γῆς φίλον κράτος.
ΚΗ. οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ
ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.
ΧΟ. πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχοις;
σχισθέντα δ' οὐκ εὔκρυπτα γίγνεται τάδε.
ΚΗ. ἀνὴρ ἄφαντος ἐξ Ἀχαικοῦ στρατοῦ,
αὐτός τε καὶ τὸ πλοῖον. οὐ ψευδῆ λέγω.
ΧΟ. πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ Ἰλίου,
ἢ χεῖμα, κοινὸν ἄχθος, ἥρπασε στρατοῦ;
ΚΗ. ἔκυρσας ὥστε τοξότης ἄκρος σποπῶ·
μακρὸν δὲ πῆμα συντόμως ἐφημίσω.
ΧΟ. πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος
φάτις πρὸς ἄλλων ναυτίλων ἐκλήζετο;
ΚΗ. οὐκ οἶδεν οὐδεὶς ὥστ' ἀπαγγεῖλαι τορῶς,
πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν.
ΧΟ. πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ
ἐλθεῖν τελευτῆσαί τε δαιμόνων κότῳ;
ΚΗ. εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ
γλώσσῃ μιαίνειν· χωρὶς ἡ τιμὴ θεῶν.
ὅταν δ' ἀπευκτὰ πήματ' ἄγγελος πόλει
στυγνῷ προσώπῳ πτωσίμου στρατοῦ φέρῃ,
πόλει μὲν ἕλκος ἓν τὸ δήμιον τυχεῖν,
πολλοὺς δὲ πολλῶν ἐξαγισθέντας δόμων
ἄνδρας διπλῇ μάστιγι, τὴν Ἄρης φιλεῖ,
δίλογχον ἄτην, φοινίαν ξυνωρίδα,

593. οὕτως εἶπεν ἀκριβέσι λόγοις καὶ ἐξηγητικοῖς, ὥστε σε μαθεῖν. 615. ἤχουν ταῦτα λέγοντες ἀτιμάζομεν τοὺς θεούς. 619. ἐξορισθέντας.

596. τε Hermannus: γε libri. σεσωσμένος libri. 597. ἥκει Karstenus. 600—612. chori ducis quae sunt, Clytaemnestrae dantur in libris. 600. τύχοις Porsonus: τύχῃς libri. 601. γίνεται libri. 602. ἀνήρ libri.

τοιῶνδε μέντοι πημάτων σεσαγμένον
πρέπει λέγειν παιᾶνα τόνδ' Ἐρινύων·
σωτηρίων δὲ πραγμάτων εὐάγγελον
ἥκοντα πρὸς χαίρουσαν εὐεστοῖ πόλιν,
πῶς κεδνὰ τοῖς κακοῖσι συμμείξω, λέγων
χειμῶν' Ἀχαιῶν οὐκ ἀμήνιτον θεοῖς;
ξυνώμοσαν γάρ, ὄντες ἔχθιστοι τὸ πρίν,
πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην
ῥθείροντε τὸν δύστηνον Ἀργείων στρατόν.
ἐν νυκτὶ δυσκύμαντα δ' ὠρώρει κακά.
ναῦς γὰρ πρὸς ἀλλήλῃσι Θρᾴκιαι πνοαὶ
ἤρεικον· αἳ δὲ κεροτυπούμεναι βίᾳ
χειμῶνι τυφῶ ξὺν ζάλῃ τ' ὀμβροκτύπῳ
ᾤχοντ' ἄφαντοι, ποιμένος κακοῦ στρόβῳ.
ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος,
ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς
ἀνδρῶν Ἀχαιῶν ναυτικοῖς τ' ἐρειπίοις.
ἡμᾶς γε μὲν δὴ ναῦν τ' ἀκήρατον σκάφος
ἤτοι τις ἐξέκλεψεν ἢ ξητήσατο
θεός τις, οὐκ ἄνθρωπος, οἴακος θιγών.
τύχη δὲ σωτὴρ ναῦν θέλουσ' ἐφέζετο,
ὡς μήτ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν
μήτ' ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα.
ἔπειτα δ' Ἅιδην πόντιον πεφευγότες,
λευκὸν κατ' ἦμαρ οὐ πεποιθότες τύχῃ,
ἐβουκολοῦμεν φροντίσιν νέον πάθος,

622. σεσωρευμένων. 625. εὐτυχεῖ. 628. ἐκφράζει τὴν τοῦ χειμῶνος χαλεπότητα. 633. ἤγουν τοῖς κέρασιν ἀλλήλων τυπτόμεναι. ἢ μεταφορὰ ἀπὸ τῶν ταύρων. 646. οὐ θαρροῦντες, ἀλλ' ἀμφίβολοι ὄντες εἰ ἔτι σωθείημεν. 647. ὥσπερ ἐθεραπεύομεν ἐν λογισμοῖς τισι τὴν νέαν συμφοράν.

---

622. *σεσαγμένον* Schuetzius: *σεσαγμένων* libri. 623. *ἐρινννών* libri. 626. *συμμίξω* libri. 632. *ἀλλήλῃσι a ἀλλήλαισι c. Θρῃκιαι* vel *Θρῄκιαι* libri. 633. *ἤρεικον a ἤρειπον c. κεροτυποίμεναι* Wassius: *κερωτυπούμεναι* libri. 638. *ναυτικοῖς τ' ἐρειπίοις* Auratus: *ναυτικῶν τ' ἐριπίων* libri. 642. *ναυστολοῦσ'* Casaubonus.

στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου.
καὶ νῦν ἐκείνων εἴ τις ἐστὶν ἐμπνέων,
λέγουσιν ἡμᾶς ὡς ὀλωλότας, τί μή;
ἡμεῖς τ' ἐκείνους ταὐτ' ἔχειν δοξάζομεν.
γένοιτο δ' ὡς ἄριστα. Μενέλεων γὰρ οὖν
πρῶτόν τε καὶ μάλιστα προσδόκα μολεῖν.
εἰ δ' οὖν τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ
καὶ ζῶντα καὶ βλέποντα, μηχαναῖς Διός,
οὔπω θέλοντος ἐξαναλῶσαι γένος,
ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν.
τοσαῦτ' ἀκούσας ἴσθι τἀληθῆ κλύων.

str. 1. ΧΟ. τίς ποτ' ὠνόμαζεν ὧδ'
ἐς τὸ πᾶν ἐτητύμως·
μή τις ὄντιν' οὐχ ὁρῶμεν προνοί-
αισι τοῦ πεπρωμένου
γλῶσσαν ἐν τύχᾳ νέμων;
τὰν δορίγαμβρον ἀμφινει-
κῆ θ' Ἑλέναν; ἐπεὶ πρεπόντως
ἑλέναυς, ἕλανδρος, ἑλέπτολις,
ἐκ τῶν ἀβροτίμων
προκαλυμμάτων ἔπλευσε
ζεφύρου γίγαντος αὔρᾳ,
πολύανδροί τε φεράσπιδες κυνα-
γοὶ κατ' ἴχνος πλατᾶν ἄφαντον
κελσάντων Σιμόεντος
ἀκτὰς ἐπ' ἀξιφύλλους

648. διασκεδασθέντος δίκην σποδοῦ. 666. ὁ ἑλὼν καὶ καθελὼν τὸν τῆς Ἑλένης ἄνδρα Ἀλέξανδρον καὶ τὴν πόλιν αὐτοῦ. 669. ἐξ ἑσπέρας γὰρ πνέων οὔριος τούτῳ γέγονε.

---

648. κατεσποδημένου Meinekius. 651. ταὔτ' libri. 655. χλωρόν τε καὶ βλέποντα Toupius ex Hesychii 4, 290. χλωρόν τε καὶ βλέποντα· ἀντὶ τοῦ ζῶντα. 658. κλύων a κλύειν c. 661. προνοίαισι Pauwius: προνοίαις libri. 666. ἑλέναυς Blomfieldus: ἑλέναε libri. 667. ἀβροπήνων Salmasius. 671. πλατᾶν Heathius: πλάταν libri. leg. ἄφαντοι. 672. leg. κελσασῶν. 673. εἰς ἀξιφύλλους Triclinius.

[illegible]

[illegible]

[illegible]

νων τε γαστρὸς ἀνάγκαις.
antistr. 2. χρονισθεὶς δ' ἀπέδειξεν
ἔθος τὸ πρὸς τοκήων.
χάριν τροφᾶς γὰρ ἀμείβων
μηλοφόνοισιν ἄταις
δαΐτ' ἀκέλευστος ἔτευξεν·
αἵματι δ' οἶκος ἐφύρθη,
ἄμαχον ἄλγος οἰκέταις,
μέγα σίνος πολυκτόνον·
ἐκ θεοῦ δ' ἱερεύς τις ἄ-
τας δόμοις προσεθρέφθη.
str. 3. πάραυτα δ' ἐλθεῖν ἐς Ἰλίου πόλιν
λέγοιμ' ἂν φρόνημα μὲν νηνέμου γαλάνας,
ἀκασκαῖον [τ'] ἄγαλμα πλούτου,
μαλθακὸν ὀμμάτων βέλος,
δηξίθυμον ἔρωτος ἄνθος.
παρακλίνασ' ἐπέκρανεν
δὲ γάμου πικρὰς τελευτάς,
δύσεδρος καὶ δυσόμιλος
συμένα Πριαμίδαισιν,
πομπᾷ Διὸς ξενίου,
νυμφόκλαυτος Ἐρινύς.
antistr. 3. παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος
τέτυκται, μέγαν τελεσθέντα φωτὸς ὄλβον
τεκνοῦσθαι μηδ' ἄπαιδα θνήσκειν,

σαίνοντος φασίν, ὡς τὸ παρ' Ὁμήρῳ (Il. *B.* 353) ἀστράπτων ἐπιδέξια. 703. ἤγουν ἀμοιβὰς διδοὺς τοῖς θρέψασιν αὐτόν. 713. λίαν κεκοσμημένον. διὰ τὸ κάλλος αὐτῆς. οὐ γὰρ ἦν δυσειδὴς ὥστε τὸν πλοῦτον αἰσχύνειν. 719. ἤγουν ὁρμηθεῖσα. 720. οὗτος γὰρ ἔπεμψε ταύτην αὐτοῖς τοῖς Τρωσὶ καὶ τὸν Τρωικὸν δι' αὐτὴν συνεστήσατο πόλεμον.

---

703. *τροφᾶς γάρ* Pearsonus: *γὰρ τροφᾶς a γὰρ τροφεῦσιν* Triclinius. 704. *ἄταισιν* Triclinius. 707. *ὄμαχον* Triclinius: *ἄμαχον δ' a.* 710. *προσεθρέφθη* Heathius: *προσετράφη* libri. 711. *παραυτά* Triclinius. 713. *τ'* addidit Hermannus. 716. *παρακλίνασ' a παρακλίνουσ' c.* 717. *πικρού a πικράς c.* 721. *ἐριννύς c.* 724. *θνήσκειν* libri.

ἐκ δ' ἀγαθᾶς τύχας γένει
βλαστάνειν ἀκόρεστον οἰζύν.
δίχα δ' ἄλλων μονόφρων εἰ-
μί. τὸ δυσσεβὲς γὰρ ἔργον
μετὰ μὲν πλείονα τίκτει,
σφετέρᾳ δ' εἰκότα γέννᾳ.
οἴκων γὰρ εὐθυδίκων
καλλίπαις πότμος αἰεί.

str. 4. φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεά-
ζουσαν ἐν κακοῖς βροτῶν ὕβριν
τότ' ἢ τότ', ὅταν τὸ κύριον μόλῃ
νεαρὰ φάους κότον, δαίμονά τε τὰν ἄμαχον,
ἀνίερον θράσος μελαί- [ἀπόλεμον,
νας μελάθροισιν ἄτας,
εἰδομέναν τοκεῦσιν.

antistr. 4. δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασιν,
τὸν δ' ἐναίσιμον τίει βίον.
τὰ χρυσόπαστα δ' ἐσθλὰ σὺν πίνῳ χερῶν
παλιντρόποις ὄμμασι λιποῦσ' ὅσια προσέβα τοῦ
δύναμιν οὐ σέβουσα πλού-
του παράσημον αἴνῳ·
πᾶν δ' ἐπὶ τέρμα νωμᾷ.

(Dux chori)

ἄγε δή, βασιλεῦ, Τροίας πτολίπορθ',
Ἀτρέως γένεθλον,
πῶς σε προσείπω; πῶς σε σεβίζω
μήθ' ὑπεράρας μήθ' ὑποκάμψας
καιρὸν χάριτος;
πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι
προτίουσι δίκην παραβάντες.

740. ἤγουν πενιχροῖς καὶ εὐτελέσι.

---

728. δυσσεβὲς γάρ Pauwius: γὰρ δυσσεβές libri. 731. δ' ὅρ' Auratus. 736. τάν Hermannus: τόν libri. 738. μελάθροισιν Triclinius: μελάθροισ a. 742. τὰ χρυσόπαστ' ἐσθλά Triclinius. 747. πτολίπορθ' Blomfieldus: πολίπορθ' libri. 749. σεβίζω vel σεβίξω a σεβίζω c.

τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν
πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης
οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται·
καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς
ἀγέλαστα πρόσωπα βιαζόμενοι.
ὅστις δ' ἀγαθὸς προβατογνώμων,
οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς
τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας
ὑδαρεῖ σαίνειν φιλότητι.
σὺ δέ μοι τότε μὲν στέλλων στρατιὰν
Ἑλένης ἕνεκ', οὐ γάρ [σ'] ἐπικεύσω,
κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος,
οὐδ' εὖ πραπίδων οἴακα νέμων
θράσος ἑκούσιον
ἀνδράσι θνήσκουσι κομίζων·
νῦν δ' οὐκ ἀπ' ἄκρας φρενὸς οὐδ' ἀφίλως
εὔφρων πόνος εὖ τελέσασι.
γνώσῃ δὲ χρόνῳ διαπευθόμενος
τόν τε δικαίως καὶ τὸν ἀκαίρως
πόλιν οἰκουροῦντα πολιτῶν.

Ἀγαμέμνων. πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους
δίκη προσειπεῖν, τοὺς ἐμοὶ μεταιτίους
νόστου δικαίων θ' ὧν ἐπραξάμην πόλιν
Πριάμου· δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ
κλύοντες ἀνδροθνῆτας Ἰλίου φθορὰς
ἐς αἱματηρὸν τεῦχος οὐ διχορρόπως
ψήφους ἔθεντο· τῷ δ' ἐναντίῳ κύτει
ἐλπὶς προσῄει χειρὸς οὐ πληρουμένῳ.
καπνῷ δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις.

759. ἤγουν ἁπλοῦς καὶ ἄκακος τὴν γνώμην. 762. μεμιγμένη καὶ οὐ καθαρᾷ καὶ ἀκράτῳ.

754. τ' Hermannus. 755. δῆγμα Stobaeus flor. 112, 12 et Triclinius: δεῖγμα a. 757. καὶ νυκτὶ δὲ χαίρουσι Stobaeus. 759. πρωβατογνώμων a. 762. σαίνει Casaubonus. 764. σ' addidit Musgravius. 765. 766. ἀπόμουσός τ' — οὔτ' Elmsleius. 767. θάρσος Triclinius. ἐκ θυσιῶν Ahrens. 768. θνήσκουσι libri. 769. οἶδα φίλ', ὡς Ahrens. 778. Ἰλιοφθόρους Karstenus. 781. χῆρος Pauwius.

ἄτης θύελλαι ζῶσι· συνθνήσκουσα δὲ
σποδὸς προπέμπει πίονας πλούτου πνοάς.
τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν
τίνειν, ἐπείπερ καὶ πάγας ὑπερκότους
ἐπραξάμεσθα καὶ γυναικὸς εἵνεκα
πόλιν διημάθυνεν Ἀργεῖον δάκος,
ἵππου νεοσσός, ἀσπιδηφόρος λεώς,
πήδημ' ὀρούσας ἀμφὶ Πλειάδων δύσιν·
ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων
ἄδην ἔλειξεν αἵματος τυραννικοῦ.
θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε·
τὰ δ' ἐς τὸ σὸν φρόνημα μέμνημαι κλύων
καὶ φημὶ ταὐτὰ καὶ συνήγορόν μ' ἕξεις.
παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν·
δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος
ἄχθος διπλοΐζει τῷ πεπαμένῳ νόσον,
τοῖς τ' αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται
καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει.
εἰδὼς λέγοιμ' ἄν, εὖ γὰρ ἐξεπίσταμαι
ὁμιλίας κάτοπτρον, εἴδωλον σκιᾶς
δοκοῦντας εἶναι κάρτα πρευμενεῖς ἐμοί.
μόνος δ' Ὀδυσσεύς, ὅσπερ οὐχ ἑκὼν ἔπλει,
ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος·

786. δίκτυα, παγίδας. καὶ τοῦτο δήπου τὸ Αἰσχύλου. τοῖς ἑαυτοῦ πτεροῖς περιπεσὼν καὶ ἐνσχεθεὶς ταῖς πάγαις, ἃς ἄλλοις ὑφῆκε, τὰ ἐκ τοῦ νόμου δικαίως ἔπαθε. 791. ἤγουν ὥσπερ λέων ὠμοφάγος. 802. ἤγουν καλῶς οἶδα διακρίνειν τὰς ὁμιλίας τῶν συνόντων μοι, ὡς τὰς ἐμφάσεις τῶν προσώπων τὸ κάτοπτρον. 805. ἤλεγξε γὰρ τὴν μανίαν αὐτοῦ Παλαμήδης. 806. ἤγουν δίκην ἵππου σὺν ἐμοὶ τὸ ἅρμα ἐλαύνων.

---

783. *συνθνήσκουσα* libri. 786. *χἀρπαγάς* Tyrwhittus. an *κἀπάτας*? *ὑπερκόπους* Heathius. 787. *οὕνεκα* libri. 789. *ἀσπιδηφόρος* Blomfieldus: *ἀσπιδηστρόφος a ἀσπιδοστρόφος c.* 795. *ταὐτί* Auratus: *ταῦτα* libri. 797. *φθόνων a φθόνου c ψόγου* Stobaeus flor. 38, 28. 798. *καρδίᾳ* Casaubonus. 799. *πεπαμένῳ* Porsonus: *πεπαμμένῳ* libri.

εἴτ' οὖν θανόντος εἴτε καὶ ζῶντος πέρι
λέγω. τὰ δ' ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς
κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει
βουλευσόμεσθα. καὶ τὸ μὲν καλῶς ἔχον
ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον·
ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
ἤτοι κέαντες ἢ τεμόντες εὐφρόνως
πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου.
νῦν δ' ἐς μέλαθρα καὶ δόμους ἐφεστίους
ἐλθὼν θεοῖσι πρῶτα δεξιώσομαι,
οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν.
νίκη δ' ἑπείπερ ἕσπετ', ἐμπέδως μένοι.

ΚΛ. ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
λέξαι πρὸς ὑμᾶς· ἐν χρόνῳ δ' ἀποφθίνει
τὸ τάρβος ἀνθρώποισιν. οὐκ ἄλλων πάρα
μαθοῦσ' ἐμαυτῆς δύσφορον λέξω βίον
τοσόνδ' ὅσονπερ οὗτος ἦν ὑπ' Ἰλίῳ.
τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
ησθαι δόμοις ἔρημον ἔκπαγλον κακόν,
πολλὰς κλύουσαν κληδόνας παλιγκότους·
καὶ τὸν μὲν ἥκειν, τὸν δ' ἐπεισφέρειν κακοῦ
κάκιον ἄλλο πῆμα λάσκοντας δόμοις.
καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν
ἀνὴρ ὅδ', ὡς πρὸς οἶκον ὠχετεύετο
φάτις, τέτρωται δικτύου πλέω λέγειν.
εἰ δ' ἦν τεθνηκώς, ὡς ἐπλήθυον λόγοι,
τρισώματός τἂν Γηρυὼν ὁ δεύτερος
πολλὴν ἄνωθεν, τὴν κάτω γὰρ οὐ λέγω,
χθονὸς τρίμοιρον χλαῖναν ἐξηύχει λαβών,
ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι.
τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων

814. πῆμ' ἀποστρέψαι νόσου Porsonus: πήματος τρέψαι νόσον libri. 827. κληδόνας Auratus: ἡδονάς libri. 831. ἀνήρ libri. 832. τέτρηται Ahrens. πλέον Dindorfius. 833. ἐπλήθυον Porsonus: ἐπλήθυνον libri. 835. delebat Weilius.

πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.
ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ,
ἐμῶν τε καὶ σῶν κύριος πιστωμάτων,
ὡς χρῆν, Ὀρέστης· μηδὲ θαυμάσῃς τόδε.
τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος
Στρόφιος ὁ Φωκεύς, ἀμφίλεκτα πήματα
ἐμοὶ προφωνῶν, τόν θ' ὑπ' Ἰλίῳ σέθεν
κίνδυνον, εἴ τε δημόθρους ἀναρχία
βουλὴν καταρρίψειεν, ὥστε σύγγονον
βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον.
τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει.
ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι
πηγαὶ κατεσβήκασιν, οὐδ' ἔνι σταγών.
ἐν ὀψικοίτοις δ' ὄμμασιν βλάβας ἔχω,
τὰς ἀμφί σοι κλάουσα λαμπτηρουχίας
ἀτημελήτους αἰέν. ἐν δ' ὀνείρασιν
λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
ῥιπαῖσι θωύσσοντος, ἀμφί σοι πάθη
ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου.
νῦν ταῦτα πάντα τλᾶσ' ἀπενθήτῳ φρενὶ
λέγοιμ' ἂν ἄνδρα τόνδε τῶν σταθμῶν κύνα,
σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης
στῦλον ποδήρη, μονογενὲς τέκνον πατρί,
καὶ γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος.
τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.
τοιοῖσδέ τοί νιν ἀξιῶ προσφθέγμασιν.
φθόνος δ' ἀπέστω· πολλὰ γὰρ τὰ πρὶν κακὰ

---

840. ἄδου Ahrens. λελιμμένης Blomfieldus. 842. πιστωμάτων Hermannus: πιστευμάτων libri. 848. καταρράψειεν Scaliger. 852. καθ τεσβήκασιν *a* κατεσβήκασιν *c*. 853. κλαβάς *a* βλάβας *c*. 854. κλαίουσα libri. 860. βουστάθμων Hermannus. 862. στίλον *a* στύλον *c*. 863. γαῖαν Blomfieldus. 866. spurius? 867. τοί νιν Schuetzius: τοίνυν libri.

ἠνειχόμεσθα· νῦν δέ μοι, φίλον κάρα,
ἔκβαιν' ἀπ' ἅρμης τῆσδε, μὴ χαμαὶ τιθεὶς
τὸν σὸν πόδ', ὦναξ, Ἰλίου πορθήτορα.
δμῳαί, τί μέλλεθ', αἷς ἐπέσταλται τέλος
πέδον κελεύθου στρωννύναι πετάσμασιν;
εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος,
ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη.
τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη
θήσει δικαίως σὺν θεοῖς εἱμαρμένα.

ΑΓ. Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,
ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ·
μακρὰν γὰρ ἐξέτεινας· ἀλλ' ἐναισίμως
αἰνεῖν, παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας.
καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ
ἄβρυνε, μηδὲ βαρβάρου φωτὸς δίκην
χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί,
μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον
τίθει· θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών,
ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου.
λέγω κατ' ἄνδρα, μὴ θεόν, σέβειν ἐμέ.
χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων
κληδὼν ἀυτεῖ· καὶ τὸ μὴ κακῶς φρονεῖν
θεοῦ μέγιστον δῶρον. ὀλβίσαι δὲ χρὴ

880. προθηκόντως. 881. ὅτι τὸ αἰνεῖσθαι δηλονότι μὴ παρὰ τῶν οἰκείων ἢ παρ' ἑαυτοῦ πρέπει ἔρχεσθαι. 883. καλλώπιζε. 884. μὴ ὡς βαρβάρῳ μοι κέλευε θρύπτεσθαι. οἱ βάρβαροι γὰρ γονυκλισίαις τοὺς βασιλεῖς εὐφημοῦσιν. 890. ἀπὸ μεταφορᾶς τῶν πέπλων, δι' ὧν τοὺς πόδας ἐκμάσσοντες λαμπροτέρους ποιοῦσιν οἱ τούτους ἐκπλύνοντες συνεχῶς. ποδόψηστρα γὰρ κυρίως ταῦτα λέγεται. νῦν δὲ τὰ ὑπὸ τοὺς πόδας ἁπλῶς πέπλα οὕτως εἴρηκε.

869. δέ μοι Scholefieldus: δ' ἐμοί libri. 871. ὦναξ Triclinius: ἄναξ a. 872. δμωαί libri. 873. στορνύναι Elmsleius. 877. θεοῖσιν ἅρμενα Meinekius. 883. βαρβάθου a βαρβάρου c. 884. βόαμα a βόημα c. 890. ποικιλμάτων Karstenus.

δι᾽ ἔριν αἱματόεσσαν.
antistr. 1. Ἰλίῳ δὲ κῆδος ὀρ-
θώνυμον τελεσσίφρων
μῆνις ἤλασεν, τραπέζας ἀτί-
μωσιν ὑστέρῳ χρόνῳ
καὶ ξυνεστίου Διὸς
πρασσομένα τὸ νυμφότι-
μον μέλος ἐκφάτως τίοντας,
ὑμέναιον, ὃς τότ᾽ ἐπέρρεπεν
γαμβροῖσιν ἀείδειν.
μεταμανθάνουσα δ᾽ ὕμνον
Πριάμου πόλις γεραιὰ
πολύθρηνον μέγα που στένει, κικλή-
σκουσα Πάριν τὸν αἰνόλεκτρον,
παμπρόσθη πολύθρηνον
αἰῶν᾽ ἀμφὶ πολιτᾶν
μέλεον αἷμ᾽ ἀνατλᾶσα.
str. 2. ἔθρεψεν δὲ λέοντα
σίνιν δόμοις ἀγάλακτον
οὕτως ἀνὴρ φιλόμαστον,
ἐν βιότου προτελείοις
ἄμερον, εὐφιλόπαιδα,
καὶ γεραροῖς ἐπίχαρτον.
πολέα δ᾽ ἔσχ᾽ ἐν ἀγκάλαις
νεοτρόφου τέκνου δίκαν
φαιδρωπὸς ποτὶ χεῖρα σαί-

675. ἐπειδὴ τὸ κῆδος σημαίνει καὶ τὴν ἐπιγαμβρίαν καὶ τὸ πένθος, ἐδήλωσε νῦν ὅτι τὸ πένθος λέγει· Ἰλιὰς γὰρ κακῶν ἡ παροιμία φησί. 686. αἰῶνα πολύθρηνον καὶ μέλεον αἷμα ἀνατλᾶσα. 691. ἤγουν ἀνέθρεψεν αὐτὸν τὸν Ἀλέξανδρόν τις ἐκτεθέντα. 699. τὸ σαίνων πρὸς τὸ φαιδρωπός καὶ πρὸς τὸ ἔσχε ἀποδώσεις, καὶ οὐχὶ ὥς τινες πρὸς τὸ τέκνου ἀποδιδόντες

676. τελεσσίφρων Triclinius: τελεσίφρων *a*. 677. ἔλασε vel ἤλασε *a* ἤλασε *c*. ἀτίμωσιν Canterus: ἀτίμως ἴν᾽ *a* ἀτίμως *c*. 682. ἐπέρρεπε *a* ἐπέπρεπεν Triclinius. 685. γεραιοῦ Auratus. 689. πολιτᾶν Auratus: πολίταν libri. 693. οὕτος *a* οὕτως *c*.

νων τε γαστρὸς ἀνάγκαις.
antistr. 2. χρονισθεὶς δ' ἀπέδειξεν
ἔθος τὸ πρὸς τοκήων.
χάριν τροφᾶς γὰρ ἀμείβων
μηλοφόνοισιν ἄταις
δαΐτ' ἀκέλευστος ἔτευξεν·
αἵματι δ' οἶκος ἐφύρθη,
ἄμαχον ἄλγος οἰκέταις,
μέγα σίνος πολυκτόνον·
ἐκ θεοῦ δ' ἱερεύς τις ἀ-
τας δόμοις προσεθρέφθη.
str. 3. πάραυτα δ' ἐλθεῖν ἐς Ἰλίου πόλιν
λέγοιμ' ἂν φρόνημα μὲν νηνέμου γαλάνας,
ἀκασκαῖον [τ'] ἄγαλμα πλούτου,
μαλθακὸν ὀμμάτων βέλος,
θηξίθυμον ἔρωτος ἄνθος.
παρακλίνασ' ἐπέκρανεν
δὲ γάμου πικρὰς τελευτάς,
δύσεδρος καὶ δυσόμιλος
συμένα Πριαμίδαισιν,
πομπᾷ Διὸς ξενίου,
νυμφόκλαυτος Ἐρινύς.
antistr. 3. παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος
τέτυκται, μέγαν τελεσθέντα φωτὸς ὄλβον
τεκνοῦσθαι μηδ' ἄπαιδα θνήσκειν,

σαίνοντος φασίν, ὡς τὸ παρ' Ὁμήρῳ (Il. *B.* 353) ἀστράπτων ἐπιδέξια. 708. ἤγουν ἀμοιβὰς διδοὺς τοῖς θρέψασιν αὐτόν. 713. λίαν κεκοσμημένον. διὰ τὸ κάλλος αὐτῆς. οὐ γὰρ ἦν δυσειδὴς ὥστε τὸν πλοῦτον αἰσχύνειν. 719. ἤγουν ὁρμηθεῖσα. 720. οὗτος γὰρ ἔπεμψε ταύτην αὐτοῖς τοῖς Τρωσὶ καὶ τὸν Τρωικὸν δι' αὐτὴν συνεστήσατο πόλεμον.

---

703. τροφᾶς γάρ Pearsonus: γὰρ τροφᾶς *a* γὰρ τροφεῦσιν Triclinius. 704. ἄταισιν Triclinius. 707. ὄμαχον Triclinius: ἄμαχον δ' *a*. 710. προσεθρέφθη Heathius: προσετράφη libri. 711. παραντά Triclinius. 713. τ' addidit Hermannus. 716. παρακλίνασ' *a* παρακλίνουσ' *c*. 717. πικρὸν *a* πικράς *c*. 721. ἐριννύς *c*. 724. θνήσκειν libri.

ἐκ δ' ἀγαθᾶς τύχας γένει
βλαστάνειν ἀκόρεστον οἰζύν.
δίχα δ' ἄλλων μονόφρων εἰ-
μί. τὸ δυσσεβὲς γὰρ ἔργον
μετὰ μὲν πλείονα τίκτει,
σφετέρᾳ δ' εἰκότα γέννᾳ.
οἴκων γὰρ εὐθυδίκων
καλλίπαις πότμος αἰεί.

str. 4. φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεά-
ζουσαν ἐν κακοῖς βροτῶν ὕβριν
τότ' ἢ τότ', ὅταν τὸ κύριον μόλῃ
νεαρὰ φάους κότον, δαίμονά τε τὰν ἄμαχον,
ἀνίερον θράσος μελαί- [ἀπόλεμον,
νας μελάθροισιν ἄτας,
εἰδομέναν τοκεῦσιν.

antistr. 4. δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασιν,
τὸν δ' ἐναίσιμον τίει βίον.
τὰ χρυσόπαστα δ' ἐσθλὰ σὺν πίνῳ χερῶν
παλιντρόποις ὄμμασι λιποῦσ' ὅσια προσέβα τοῦ
δύναμιν οὐ σέβουσα πλού-
του παράσημον αἴνῳ·
πᾶν δ' ἐπὶ τέρμα νωμᾷ.

(Dux chori)

ἄγε δή, βασιλεῦ, Τροίας πτολίπορθ',
Ἀτρέως γένεθλον,
πῶς σε προσείπω; πῶς σε σεβίζω
μήθ' ὑπεράρας μήθ' ὑποκάμψας
καιρὸν χάριτος;
πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι
προτίουσι δίκην παραβάντες.

740. ἤγουν πενιχροῖς καὶ εὐτελέσι.

---

728. *δυσσεβὲς γάρ* Pauwius: *γὰρ δυσσεβές* libri. 731. *δ' ἔρ'* Auratus. 736. *τάν* Hermannus: *τόν* libri. 738. *μελάθροισιν* Triclinius: *μελάθροισ a.* 742. *τὰ χρυσόπαστ' ἐσθλά* Triclinius. 747. *πτολίπορθ'* Blomfieldus: *πολίπορθ'* libri. 749. *σεβίζω* vel *σεβίξω a σεβίζω c.*

τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν
πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης
οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται·
καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς
ἀγέλαστα πρόσωπα βιαζόμενοι.
ὅστις δ' ἀγαθὸς προβατογνώμων,
οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς
τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας
ὑδαρεῖ σαίνειν φιλότητι.
σὺ δέ μοι τότε μὲν στέλλων στρατιὰν
Ἑλένης ἕνεκ', οὐ γάρ [σ'] ἐπικεύσω,
κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος,
οὐδ' εὖ πραπίδων οἴακα νέμων
θράσος ἑκούσιον
ἀνδράσι θνήσκουσι κομίζων·
νῦν δ' οὐκ ἀπ' ἄκρας φρενὸς οὐδ' ἀφίλως
εὔφρων πόνος εὖ τελέσασι.
γνώσῃ δὲ χρόνῳ διαπευθόμενος
τόν τε δικαίως καὶ τὸν ἀκαίρως
πόλιν οἰκουροῦντα πολιτῶν.

Ἀγαμέμνων. πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους
δίκῃ προσειπεῖν, τοὺς ἐμοὶ μεταιτίους
νόστου δικαίων θ' ὧν ἐπραξάμην πόλιν
Πριάμου· δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ
κλύοντες ἀνδροθνῆτας Ἰλίου φθορὰς
ἐς αἱματηρὸν τεῦχος οὐ διχορρόπως
ψήφους ἔθεντο· τῷ δ' ἐναντίῳ κύτει
ἐλπὶς προσῄει χειρὸς οὐ πληρουμένῳ.
καπνῷ δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις.

759. ἤγουν ἁπλοῦς καὶ ἄκακος τὴν γνώμην. 762. μεμιγμένῃ καὶ οὐ καθαρᾷ καὶ ἀκράτῳ.

754. τ' Hermannus. 755. δῆγμα Stobaeus flor. 112, 12 et Triclinius: δεῖγμα a. 757. καὶ νυκτὶ δὲ χαίρουσι Stobaeus. 759. πρωβατογνώμων a. 762. σαίνει Casaubonus. 764. σ' addidit Musgravius. 765. 766. ἀπόμουσός τ' — οὔτ' Elmsleius. 767. θάρσος Triclinius. ἐκ θυσιῶν Ahrens. 768. θνήσκουσι libri. 769. οἶδα φίλ', ὡς Ahrens. 778. Ἰλιοφθόρους Karstenus. 781. χῆρος Pauwius.

ἄτης θύελλαι ζῶσι· συνθνήσκουσα δὲ
σποδὸς προπέμπει πίονας πλούτου πνοάς.
τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν
τίνειν, ἐπείπερ καὶ πάγας ὑπερκότους
ἐπραξάμεσθα καὶ γυναικὸς εἵνεκα
πόλιν διημάθυνεν Ἀργεῖον δάκος,
ἵππου νεοσσός, ἀσπιδηφόρος λεώς,
πήδημ' ὀρούσας ἀμφὶ Πλειάδων δύσιν·
ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων
ἄδην ἔλειξεν αἵματος τυραννικοῦ.
θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε·
τὰ δ' ἐς τὸ σὸν φρόνημα μέμνημαι κλύων
καὶ φημὶ ταὐτὰ καὶ συνήγορόν μ' ἔχεις.
παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν·
δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος
ἄχθος διπλοίζει τῷ πεπαμένῳ νόσον,
τοῖς τ' αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται
καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει.
εἰδὼς λέγοιμ' ἄν, εὖ γὰρ ἐξεπίσταμαι
ὁμιλίας κάτοπτρον, εἴδωλον σκιᾶς
δοκοῦντας εἶναι κάρτα πρευμενεῖς ἐμοί.
μόνος δ' Ὀδυσσεύς, ὅσπερ οὐχ ἑκὼν ἔπλει,
ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος·

786. δίκτυα, παγίδας. καὶ τοῦτο δήπου τὸ Αἰσχύλου. τοῖς ἑαυτοῦ πτεροῖς περιπεσὼν καὶ ἐνσχεθεὶς ταῖς πάγαις, ἃς ἄλλοις ὑφῆκε, τὰ ἐκ τοῦ νόμου δικαίως ἔπαθε. 791. ἤγουν ὥσπερ λέων ὠμοφάγος. 802. ἤγουν καλῶς οἶδα διακρίνειν τὰς ὁμιλίας τῶν συνόντων μοι, ὡς τὰς ἐμφάσεις τῶν προσώπων τὸ κάτοπτρον. 805. ἤλεγξε γὰρ τὴν μανίαν αὐτοῦ Παλαμήδης. 806. ἤγουν δίκην ἵππου σὺν ἐμοὶ τὸ ἅρμα ἐλαύνων.

---

783. *συνθνήσκουσα* libri. 786. *χἀρπαγάς* Tyrwhittus. an *κἀπάτας*? *ὑπερκόπους* Heathius. 787. *οὕνεκα* libri. 789. *ἀσπιδηφόρος* Blomfieldus: *ἀσπιδηστρόφος a ἀσπιδοστρόφος c.* 795. *ταὐτί* Auratus: *ταῦτα* libri. 797. *φθόνων a φθόνου c ψόγου* Stobaeus flor. 38, 28. 798. *καρδίᾳ* Casaubonus. 799. *πεπαμένῳ* Porsonus: *πεπαμμένῳ* libri.

εἴτ᾽ οὖν θανόντος εἴτε καὶ ζῶντος πέρι
λέγω. τὰ δ᾽ ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς
κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει
βουλευσόμεσθα. καὶ τὸ μὲν καλῶς ἔχον
ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον·
ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
ἤτοι κέαντες ἢ τεμόντες εὐφρόνως
πειρασόμεσθα πῆμ᾽ ἀποστρέψαι νόσου.
νῦν δ᾽ ἐς μέλαθρα καὶ δόμους ἐφεστίους
ἐλθὼν θεοῖσι πρῶτα δεξιώσομαι,
οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν.
νίκη δ᾽ ἐπείπερ ἕσπετ᾽, ἐμπέδως μένοι.

ΚΛ. ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
λέξαι πρὸς ὑμᾶς· ἐν χρόνῳ δ᾽ ἀποφθίνει
τὸ τάρβος ἀνθρώποισιν. οὐκ ἄλλων πάρα
μαθοῦσ᾽ ἐμαυτῆς δύσφορον λέξω βίον
τοσόνδ᾽ ὅσονπερ οὗτος ἦν ὑπ᾽ Ἰλίῳ.
τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
ησθαι δόμοις ἔρημον ἔκπαγλον κακόν,
πολλὰς κλύουσαν κληδόνας παλιγκότους·
καὶ τὸν μὲν ἥκειν, τὸν δ᾽ ἐπεισφέρειν κακοῦ
κάκιον ἄλλο πῆμα λάσκοντας δόμοις.
καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν
ἀνὴρ ὅδ᾽, ὡς πρὸς οἶκον ὠχετεύετο
φάτις, τέτρωται δικτύου πλέω λέγειν.
εἰ δ᾽ ἦν τεθνηκώς, ὡς ἐπλήθυον λόγοι,
τρισώματός τἂν Γηρυὼν ὁ δεύτερος
πολλὴν ἄνωθεν, τὴν κάτω γὰρ οὐ λέγω,
χθονὸς τρίμοιρον χλαῖναν ἐξηύχει λαβών,
ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι.
τοιῶνδ᾽ ἕκατι κληδόνων παλιγκότων

---

814. πῆμ᾽ ἀποστρέψαι νόσου Porsonus: πήματος τρέψαι νόσον libri. 827. κληδόνας Auratus: ἡδονάς libri. 831. ἀνὴρ libri. 832. τέτρηται Ahrens. πλέον Dindorfius. 833. ἐπλήθυον Porsonus: ἐπλήθυνον libri. 835. delebat Weilius.

πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.
ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ,
ἐμῶν τε καὶ σῶν κύριος πιστωμάτων,
ὡς χρῆν, Ὀρέστης· μηδὲ θαυμάσῃς τόδε.
τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος
Στρόφιος ὁ Φωκεύς, ἀμφίλεκτα πήματα
ἐμοὶ προφωνῶν, τόν θ' ὑπ' Ἰλίῳ σέθεν
κίνδυνον, εἴ τε δημόθρους ἀναρχία
βουλὴν καταρρίψειεν, ὥστε σύγγονον
βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον.
τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει.
ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι
πηγαὶ κατεσβήκασιν, οὐδ' ἔνι σταγών.
ἐν ὀψικοίτοις δ' ὄμμασιν βλάβας ἔχω,
τὰς ἀμφί σοι κλάουσα λαμπτηρουχίας
ἀτημελήτους αἰέν. ἐν δ' ὀνείρασιν
λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
ῥιπαῖσι θωύσσοντος, ἀμφί σοι πάθη
ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου.
νῦν ταῦτα πάντα τλᾶσ' ἀπενθήτῳ φρενὶ
λέγοιμ' ἂν ἄνδρα τόνδε τῶν σταθμῶν κύνα,
σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης
στῦλον ποδήρη, μονογενὲς τέκνον πατρί,
καὶ γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος.
τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.
τοιοῖσδέ τοί νιν ἀξιῶ προσφθέγμασιν.
φθόνος δ' ἀπέστω· πολλὰ γὰρ τὰ πρὶν κακὰ

---

840. ἄδου Ahrens. λελιμμένης Blomfieldus. 842. πιστωμάτων Hermannus: πιστευμάτων libri. 848. καταρράψειεν Scaliger. 852. κατεσβήκασιν a κατεσβήκασιν c. 853. κλαβάς a βλάβας c. 854. κλαίουσα libri. 860. βουστάθμων Hermannus. 862. στίλον a στύλον c. 863. γαῖαν Blomfieldus. 866. spurius? 867. τοί νιν Schuetzius: τοίνυν libri.

ἠνειχόμεσθα· νῦν δέ μοι, φίλον κάρα,
ἔκβαιν' ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς
τὸν σὸν πόδ', ὦναξ, Ἰλίου πορθήτορα.
δμῳαί, τί μέλλετ', αἳς ἐπέσταλται τέλος
πέδον κελεύθου στρωννύναι πετάσμασιν;
εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος,
ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη.
τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη
θήσει δικαίως σὺν θεοῖς εἱμαρμένα.

ΑΓ. Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,
ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ·
μακρὰν γὰρ ἐξέτεινας· ἀλλ' ἐναισίμως
αἰνεῖν, παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας.
καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ
ἄβρυνε, μηδὲ βαρβάρου φωτὸς δίκην
χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί,
μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον
τίθει· θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών,
ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου.
λέγω κατ' ἄνδρα, μὴ θεόν, σέβειν ἐμέ.
χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων
κληδὼν ἀυτεῖ· καὶ τὸ μὴ κακῶς φρονεῖν
θεοῦ μέγιστον δῶρον. ὀλβίσαι δὲ χρὴ

880. *προσθηκόντως.* 881. *ὅτι τὸ αἰνεῖσθαι δηλονότι μὴ παρὰ τῶν οἰκείων ἢ παρ' ἑαυτοῦ πρέπει ἔρχεσθαι.* 883. *καλλωπίζε.* 884. *μὴ ὡς βαρβάρῳ μοι κέλευε θρύπτεσθαι. οἱ βάρβαροι γὰρ γονυκλισίαις τοὺς βασιλεῖς εὐφημοῦσιν.* 890. *ἀπὸ μεταφορᾶς τῶν πέπλων, δι' ὧν τοὺς πόδας ἐκμάσσοντες λαμπροτέρους ποιοῦσιν οἱ τούτους ἐκπλύνοντες συνεχῶς. ποδόψηστρα γὰρ κυρίως ταῦτα λέγεται. νῦν δὲ τὰ ὑπὸ τοὺς πόδας ἁπλῶς πέπλα οὕτως εἴρηκε.*

869. *δέ μοι* Scholefieldus: *δ' ἐμοί* libri. 871. *ὦναξ* Triclinius: *ἄναξ a.* 872. *δμωαί* libri. 873. *στορνύναι* Elmsleius. 877. *Θεοῖσιν ἄρμενα* Meinekius. 883. *βαρβάθου a βαρβάρου c.* 884. *βόαμα a βόημα c.* 890. *ποικιλμάτων* Karstenus.

βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ.
εἰ πάντα δ' ὧς πράσσοιμ' ἂν εὐθαρσὴς ἐγώ.
ΚΛ. καὶ μὴν τόδ' εἰπὲ μὴ παρὰ γνώμην ἐμοί.
ΑΓ. γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμέ.
ΚΛ. ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε.
ΑΓ. εἴπερ τις, εἰδὼς γ' εὖ τόδ' ἐξεῖπον τέλος.
ΚΛ. τί δ' ἂν δοκεῖ σοι Πρίαμος, εἰ τάδ' ἤνυσεν;
ΑΓ. ἐν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκεῖ.
ΚΛ. μή νυν τὸν ἀνθρώπειον αἰδεσθῇς ψόγον.
ΑΓ. φήμη γε μέντοι δημόθρους μέγα σθένει.
ΚΛ. ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.
ΑΓ. οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης.
ΚΛ. τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.
ΑΓ. ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;
ΚΛ. πιθοῦ· κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοί.
ΑΓ. ἀλλ' εἰ δοκεῖ σοι ταῦθ', ὑπαί τις ἀρβύλας
λύοι τάχος, πρόδουλον ἔμβασιν ποδός,
καὶ τοῖσδέ μ' ἐμβαίνονθ' ἁλουργέσιν θεῶν
μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος·
πολλὴ γὰρ αἰδὼς σωματοφθορεῖν ποσὶν
φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς.
τούτων μὲν οὕτω· τὴν ξένην δὲ πρευμενῶς
τήνδ' ἐσκόμιζε· τὸν κρατοῦντα μαλθακῶς
θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται.
ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ.
αὕτη δὲ πολλῶν χρημάτων ἐξαίρετον

901. καθ' ὁμαλισμὸν ἀναγνωστέον τὸ νυν καὶ ἄνευ τόνου, ἵνα ᾖ ἀντὶ τοῦ δή. 902. ὑπὸ τοῦ δήμου φημιζομένη, ὡς καὶ Ἡσίοδός φησι (Opp. 763) φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται ἥν τινα πολλοὶ λαοὶ φημίζουσι.

894. *πράσσοιμ' ἄνευ θάρσους ἐγώ* Triclinius, *πράσσοιμεν, εὐθαρσὴς ἐγώ* Dindorfius. 897. *εὔξω*, ut videtur, libri. 899. *δοκεῖ* Stanleius: *δοκῇ* libri. 900. *δοκῇ a δοκεῖ c.* 901. *αἰδεσθεὶς a αἰδεσθῇς c.* 906. leg. *τί δαὶ σύ.* 907. *κρατεῖς* et *παρεὶς γ'* Weilius. 910. *ἐμβαίνοντ'* libri. 912. *στρωματοφθορεῖν* Auratus. *ποσίν* Schuetzius: *πόσιν* libri. 913. *φθείροντα* Triclinius, *φθάροντα a* sec. Hermanni auctores. 914. *τούμὲν μέν* Emperius. 918. *αὕτη* Auratus: *αὐτή* libri.

ἄνθος, στρατοῦ δώρημ', ἐμοὶ ξυνέσπετο.
ἐπεὶ δ' ἀκούειν σοῦ κατέστραμμαι τάδε,
εἶμ' ἐς δόμων μέλαθρα πορφύρας πατῶν.
Κλ. ἔστιν θάλασσα, τίς δέ νιν κατασβέσει;
τρέφουσα πολλῆς πορφύρας ἰσάργυρον
κηκῖδα παγκαίνιστον, εἱμάτων βαφάς.
οἴκοις δ' ὑπάρχει τῶνδε σὺν θεοῖς, ἄναξ,
ἔχειν· πένεσθαι δ' οὐκ ἐπίσταται δόμος.
πολλῶν πατησμὸν δ' εἱμάτων ἂν ηὐξάμην,
δόμοισι προὐνεχθέντος ἐν χρηστηρίοις
ψυχῆς κόμιστρα τῆσδε μηχανωμένῃ.
ῥίζης γὰρ οὔσης φυλλὰς ἵκετ' ἐς δόμους,
σκιὰν ὑπερτείνασα σειρίου κυνός.
καὶ σοῦ μολόντος δωματῖτιν ἑστίαν,
θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολών·
ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ' ὄμφακος πικρᾶς
οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει
ἀνδρὸς τελείου δῶμ' ἐπιστρωφωμένου.
Ζεῦ Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει·
μέλοι δέ [τοι] σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν.

str. 1. *ΧΟ.* τίπτε μοι τόδ' ἐμπέδως
δεῖμα προστατήριον
καρδίας τερασκόπου ποτᾶται,
μαντιπολεῖ δ' ἀκέλευστος ἄμισθος ἀοιδά,
οὐδ' ἀποπτύσας δίκαν
δυσκρίτων ὀνειράτων

920. ἄλλως, καθέσταμαι, ἀντὶ τοῦ κατέστην.

---

920. *κατέσταμαι* c. 921. *δόμους* a *δόμων* c. 922. personae nota nulla in *a*. 923. *ἰσάργυρον* Salmasius: *εἰς ἄργυρον* libri. 925. *οἴκοις* Porsonus: *οἶκος* libri. 927. *δ' εἱμάτων* Canterus: *δειμάτων* libri. *εὐξάμην* libri. 929. *μηχανωμένῃ* Abreschius: *μηχανωμένης* libri. 931. *ὑπερτίνασα a*. 933. *μολόν* Vossius. 934. *ἀπ'* Auratus: *τἄπ' a τ' ἀπ' c*. 936. *ἐπιστρωφωμένου* Victorius: *ἐπιστρεφωμένου a ἐπιστροφωμένου c*. 938. *μέλοι δέ τοι σοι* Triclinius: *μέλῃ δέ σοι a*. 940. *δεῖμα* Scaliger: *δεῖγμα* libri. 943. *ἀποπτύσαι* Triclinius, *ἀποπτύσαν* Scaliger.

Θάρσος εὐπιθὲς ἴζει φρενὸς φίλον θρόνον;
χρόνος δ' ἐπεὶ πρυμνησίων ξυνεμβόλοι
ψαμμίας ἀκάτα παρήβησεν, εὖθ' ὑπ' Ἴλιον
ὥρτο ναυβάτας στρατός.
antistr. 1. πεύθομαι δ' ἀπ' ὀμμάτων
νόστον, αὐτόμαρτυς ὤν·
τὸν δ' ἄνευ λύρας ὅμως ὑμνῳδεῖ
θρῆνον Ἐρινύος αὐτοδίδακτος ἔσωθεν
θυμός, οὐ τὸ πᾶν ἔχων
ἐλπίδος φίλον θράσος.
σπλάγχνα δ' οὗτοι ματάζει πρὸς ἐνδίκοις φρεσὶν
τελεσφόροις δίναις κυκλούμενον κέαρ.
εὔχομαι δ' ἐξ ἐμᾶς ἐλπίδος ψύθη πεσεῖν
ἐς τὸ μὴ τελεσφόρον.
str. 2. μάλα γάρ τοι τᾶς πολλᾶς ὑγιείας
ἀκόρεστον τέρμα. νόσος γὰρ
γείτων ὁμότοιχος ἐρείδει,
καὶ πότμος εὐθυπορῶν
ἀνδρὸς ἔπαισεν ἄφαντον ἕρμα.
καὶ τὸ μὲν πρὸ χρημάτων
κτησίων ὄκνος βαλὼν
σφενδόνας ἀπ' εὐμέτρου,
οὐκ ἔδυ πρόπας δόμος
πημονᾶς γέμων ἄγαν,
οὐδ' ἐπόντισε σκάφος.
πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλαφής τε καὶ
ἐξ ἀλόκων ἐπετειᾶν
νῆστιν ὤλεσεν νόσον.
antistr. 2. τὸ δ' ἐπὶ γᾶν πεσὸν ἅπαξ θανάσιμον

972. ἦγουν λιμὸν διεσκέδασε.

---

945. εὐπειθές Westphalius. ἴζει Scaliger: ἵζει an ἴζει sit in libris incertum. 947. ἀκάτας *c*. 951. ὅμως Stanleius: ὅπως libri. 952. Ἐρινύος Porsonus: ἐριννύς libri. 955. ματάζει libri. 957. ψύθη Stephanus: ψύδη libri. 959. μάλα γέ τοι δὴ τᾶς Triclinius. 968. πημονᾶς Victorius: πημονὰς libri. 971. καὶ ἐξ Triclinius: κἀξ *a*. 973. ἅπαξ πεσόν Porsonus: πεσόνθ' ἅπαξ libri.

πρόπαρ ἀνδρὸς μέλαν αἷμα τίς ἂν
πάλιν ἀγκαλέσαιτ' ἐπαείδων;
οὐδὲ τὸν ὀρθοδαῆ
τῶν φθιμένων ἀνάγειν
Ζεὺς αὖτ' ἔπαυσ' ἐπ' εὐλαβείᾳ.
εἰ δὲ μὴ τεταγμένα
μοῖρα μοῖραν ἐκ θεῶν
εἶργε μὴ πλέον φέρειν,
προφθάσασα καρδία
γλῶσσαν ἂν τάδ' ἐξέχει.
νῦν δ' ὑπὸ σκότῳ βρέμει
θυμαλγής τε καὶ οὐδὲν ἐπελπομένα ποτὲ
καίριον ἐκτολυπεύσειν
ζωπυρουμένας φρενός.

ΚΛ. εἴσω κομίζου καὶ σύ, Κασσάνδραν λέγω,
ἐπεί σ' ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις
κοινωνὸν εἶναι χερνίβων, πολλῶν μετὰ
δούλων σταθεῖσαν κτησίου βωμοῦ πέλας.
ἔκβαιν' ἀπήνης τῆσδε, μηδ' ὑπερφρόνει.
καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ
πραθέντα τλῆναι δουλίας μάζης βία.
εἰ δ' οὖν ἀνάγκη τῆσδ' ἐπιρρέποι τύχης,
ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις·
οἳ δ' οὔποτ' ἐλπίσαντες ἥμησαν καλῶς,
ὠμοί τε δούλοις πάντα καὶ παρὰ στάθμην.
ἔχεις παρ' ἡμῶν οἷάπερ νομίζεται.

ΧΟ. σοί τοι λέγουσα παύεται σαφῆ λόγον.

978. τὸν Ἀσκληπιὸν γὰρ ἐκεραύνωσεν ἀναστήσαντα τὸν Ἱππόλυτον, ὥστε μὴ ἔτι βλαβῆναι. 997. ἦγουν ἐπλούτησαν καλῶς ὡς ἐκ θερισμοῦ. παρὰ στάθμην δὲ ἀντὶ τοῦ παρὰ τὸ πρέπον.

---

974. προπάροιθ' Triclinius. 978. ἐπ' ἀβλαβείᾳ γε Triclinius. 984. βλέπει a pr. m. a sec. Hermannum. 988. Κασάνδραν libri. 994. δουλείας μάζης βία (vel βίου) a καὶ ζυγῶν θίγειν βίᾳ Triclinius. βίον Blomfieldus. 998. παρὰ στάθμην Triclinius: παραστάθμων a. 999. ἔξεις Auratus.

ἐντὸς δ' ἂν οὖσα μορσίμων ἀγρευμάτων
πείθοι' ἄν, εἰ πείθοι'· ἀπειθοίης δ' ἴσως.
ΚΛ. ἀλλ' εἴπερ ἐστὶ μὴ χελιδόνος δίκην
ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη,
ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ.
ΧΟ. ἔπου· τὰ λῷστα τῶν παρεστώτων λέγει.
πιθοῦ λιποῦσα τόνδ' ἁμαξήρη θρόνον.
ΚΛ. οὗτοι θυραίαν τήνδ' ἐμοὶ σχολὴ πάρα
τρίβειν· τὰ μὲν γὰρ ἑστίας μεσομφάλου
ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρός,
ὡς οὔποτ' ἐλπίσασι τήνδ' ἔξειν χάριν.
σὺ δ' εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει·
εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχῃ λόγον,
σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί.
ΧΟ. ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ
δεῖσθαι· τρόπος δὲ θηρὸς ὡς νεαιρέτου.
ΚΛ. ἦ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν,
ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον
ἧκει, χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν,
πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος.
οὐ μὴν πλέω ῥίψασ' ἀτιμασθήσομαι.
ΧΟ. ἐγὼ δ', ἐποικτίρω γάρ, οὐ θυμώσομαι.
ἴθ', ὦ τάλαινα, τόνδ' ἐρημώσασ' ὄχον,
εἴκουσ' ἀνάγκῃ τῇδε καίνισον ζυγόν.
str. 1. Κασ- ὀτοτοτοτοῖ ποποῖ δᾶ.
σάνδρα. ὦπολλον ὦπολλον.

1004. ὅτι βάρβαρον τὸ ὄρνεον, διὰ τοῦτο παραβάλλει τοῦτο αὐτῇ. ἐν Θρᾴκῃ γὰρ καὶ ἡ μεταμόρφωσις αὐτῆς ἱστόρηται. 1014. βαρβάρῳ. 1020. ἀπὸ τῶν στρηνιούντων (στρηνιώντων Vict.) ὑποζυγίων, ἃ οὐκ εἰκοντα τῷ χαλινῷ ἀφρίζει μετὰ αἵματος. ἤ, ἐπεὶ αὕτη οὐ πείθεται πρὶν αἵματός μου τὴν ψυχὴν ἐξαφρίσαι· ἀντὶ τοῦ πρὶν ὀργισθῆναί με αὐτῇ. 1025. δᾶ γῆ Δωρικῶς· ὅθεν καὶ Δημήτηρ οἷον γῆ μήτηρ.

1001. ἐντὸς δ' ἁλοῦσα G. Hauptius. 1007. πιθοῦ Blomfieldus: πείθου libri. 1008. σχολὴν Wieselerus. 1010. πάρος Musgravius. 1017. ἦ α ἤ c. φρενῶν κλύει α κλύει φρενῶν c. 1022. ἐποικτείρω M. 1024. εἴκουσ' Sophianus: ἑκοῦσ' M.

ΧΟ. τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίου;
οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν.
antistr. 1. ΚΑ. ὀτοτοτοτοῖ ποποῖ δᾶ.
ὤπολλον ὤπολλον.
ΧΟ. ἢ δ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ
οὐδὲν προσήκοντ' ἐν γόοις παραστατεῖν.
str. 2. ΚΑ. Ἄπολλον Ἄπολλον
ἀγυιᾶτ' ἀπόλλων ἐμός·
ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον.
ΧΟ. χρήσειν ἔοικεν ἀμφὶ τῶν αὑτῆς κακῶν.
μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενί.
antistr. 2. ΚΑ. Ἄπολλον Ἄπολλον
ἀγυιᾶτ' ἀπόλλων ἐμός.
ἆ ποῖ ποτ' ἤγαγές με; πρὸς ποίαν στέγην;
ΧΟ. πρὸς τὴν Ἀτρειδῶν. εἰ σὺ μὴ τόδ' ἐννοεῖς,
ἐγὼ λέγω σοι· καὶ τάδ' οὐκ ἐρεῖς ψύθη.
str. 3. ΚΑ. ἆ ἆ
μισόθεον μὲν οὖν, πολλὰ συνίστορα
αὐτοφόνα κακὰ καρτάναι,
ἀνδροσφαγεῖον καὶ πέδον ῥαντήριον.
ΧΟ. ἔοικεν εὔρις ἡ ξένη κυνὸς δίκην
εἶναι, ματεύει δ' ὧν ἀνευρήσει φόνον.
antistr. 3. ΚΑ. μαρτυρίοισι γὰρ τοῖσδ' ἐπιπείθομαι·

1028. προαναφωνεῖ τὰ ἐσόμενα. 1034. ὁ ἀπολλύων με, παρὰ ὁμωνυμίαν. 1035. ἐκείνην γὰρ ἀπώλειαν μόνως ὁρίζομαι τὴν τῆς δουλείας, οὐ τὴν νῦν. γρ. (δεύτερον Dind.) δέ, δεύτερον με ἀπώλεσας, οὐ μετὰ καμάτου. 1044. ἄθεον, θεοστυγές. 1045. ἀντὶ τοῦ ἀγχόνη. 1047. ἔοικεν ὡς κύων εὑρίσκοι (l. εὕρις εἶναι καὶ) ἀναζητεῖ εἰ γέγονεν ἐνθάδε παλαιὸς φόνος. 1049. φαντάζεται γὰρ ὁρᾶν τὰ σώματα τῶν ἀνηρημένων παίδων Θυέστου.

1027. 1029. personarum notae omissae in M. 1028. Fort. θρηνησμοῦ. 1037. περ ἐν Schuetzius: παρεν, corr. in παρ' ἐν, M. 1043. omissus in recc. 1044. συνίστορα recc.: ξυνίστορα M. 1046. ἀνδροσφαγεῖον Dobraeus: ἀνδρὸσ σφάγιον (ι in litura) M. 1048. ματεύει recc.: μαντεύει M. ἀνευρήσει Porsonus: ἂν εὑρήση M. 1049. μαρτυρίοισι Pauwius: μαρτυρίοισ M. τοῖσδε πεπείθομαι vel τοῖσδε πιπείθομαι M.

κλαόμενα τάδε βρέφη σφαγὰς
ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας.
ΧΟ. ἦ μὴν κλέος σοῦ μαντικὸν πεπυσμένοι
ἦμεν, προφήτας δ' οὔτινας ματεύομεν.
str. 4. ΚΛ. ἰὼ πόποι, τί ποτε μήδεται;
τί τόδε νέον ἄχος μέγα
μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακὸν
ἄφερτον φίλοισιν, δυσίατον; ἀλκὰ δ'
ἑκὰς ἀποστατεῖ.
ΧΟ. τούτων ἄιδρίς εἰμι τῶν μαντευμάτων.
ἐκεῖνα δ' ἔγνων· πᾶσα γὰρ πόλις βοᾷ.
antistr. 4. ΚΛ. ἰὼ τάλαινα, τόδε γὰρ τελεῖς,
τὸν ὁμοδέμνιον πόσιν
λουτροῖσι φαιδρύνασα; πῶς φράσω τέλος;
τάχος γὰρ τόδ' ἔσται. προτείνει δὲ χεὶρ ἐκ
χερὸς ὀρεγομένα.
ΧΟ. οὔπω ξυνῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων
ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.
str. 5. ΚΛ. ἒ ἒ παπαῖ παπαῖ, τί τόδε φαίνεται;
ἦ δίκτυόν τί γ' Ἅιδου;
ἀλλ' ἄρκυς ἡ ξύνευνος, ἡ ξυναιτία
φόνου. στάσις δ' ἀκόρετος γένει

1053. τοὺς λέξοντας ἡμῖν περὶ σοῦ. αὐτοὶ γὰρ αὐτόπται γινόμεθα. 1057. τὸν Ὀρέστην φησί. 1060. τὰ περὶ Θυέστου. 1065. διαδέχονται δὲ ἀλλήλους τοῖς ὀρέγμασι τῶν χειρῶν Αἴγισθος καὶ Κλυταιμνήστρα. 1067. ἐπαργέμοις: τοῖς τυφλοῖς καὶ ἀσήμοις, ἀπὸ τῶν λευκώματα ἐχόντων ὀφθαλμῶν. 1068. φαντάζεται τὸν χιτῶνα. 1070. ἡ σύνευνος τοῦ Ἀγαμέμνονος αἰτία ἔσται τοῦ φόνου. 1071. ἡ στάσις, φησίν, ἐπολολύξαι μέλλει ἐπὶ τῇ λεοργῷ (λεωργῷ Robort.) Κλυταιμνήστρᾳ, ἡνίκα ἀπόληται. παρὰ τὸ αἱ δ' ὀλόλυξαν θυγατέρες τε νυοί τε καὶ αἰδοίη παράκοιτις (Hom. Od. γ. 451).

1050. κλαιόμενα M. 1052. ἤμην vel ἦ μὴν vel ἦ μην vel ἦμεν, suprascripto .ἦμεν., M. πεπυσμένον, corr. in πεπυσμένοι, M. 1053. ματεύομεν Schuetzius: μαστεύομεν M. 1055. ἄχθος M. 1064. χεὶρ, corr. in χεῖρ', M. 1065. χερός recc.: χειρὸς M. ὀρέγματα Hermannus. 1069. τι Ἅιδου Dindorfius. 1071. ἀκόρετος Bothius: ἀκόρεστος M.

κατολολυξάτω θύματος λευσίμου.
str. 1. *XO.* ποίαν Ἐρινὺν τήνδε δώμασιν κέλῃ
ἐπορθιάζειν; οὔ με φαιδρύνει λόγος.
ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς
σταγών, ἅτε καὶ δορία πτώσιμος
ξυνανύτει βίου δύντος αὐγαῖς.
ταχεῖα δ' ἄτα πέλει.
antistr. 5. *KA.* ἀᾶ, ἰδοὺ ἰδού· ἄπεχε τῆς βοὸς
τὸν ταῦρον· ἐν πέπλοισιν
μελάγκερων λαβοῦσα μηχανήματι
τύπτει· πίτνει δ' [ἐν] ἐνύδρῳ τεύχει.
δολοφόνου λέβητος τύχαν σοὶ λέγω.
antistr. 1. *XO.* οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος
εἶναι, κακῷ δέ τῳ προσεικάζω τάδε.
ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις
βροτοῖς στέλλεται; κακῶν γὰρ διὰ
πολυεπεῖς τέχναι θεσπιῳδὸν
φόβον φέρουσιν μαθεῖν.

1073. ἀντὶ τοῦ λέγεις. 1074. οἰ σεσαφήνισται. 1076. ἡ σταγὼν τὸ αἷμα. 1077. συμπληροῦται τοῦ βίου δύνοντος ταῖς αὐγαῖς σου, μηκέτι ὁρῶντος ταῖς αὐγαῖς. 1079. ἄπεχε: τίς ἂν ἀποστήσειεν αὐτῆς τὸν Ἀγαμέμνονα, ὅπως ἂν μὴ ἀπόληται; 1081. τὸν μελάγκερων ταῦρον λαβοῦσα τῷ μηχανήματι τῷ διὰ τῶν πέπλων τύπτει. ἐὰν δὲ γρ. μελαγκέρῳ μηχανήματι τύπτει, ἀντὶ τοῦ κεκρυμμένῳ. τῆς μελαγκέρου βοός. 1084. οὐκ ἀλαζονεύομαι μάντις ἄκρος ἐπιγιγνώσκειν τὰ θέσφατα· ὅμως δὲ στοχάζομαί τι κακὸν ἀποβήσεσθαι. 1086. ἀπὸ δὲ θεσφάτων: γνωμολογῶν φησι τὸ (τοῦτο Dind.). ἐνίοτε γὰρ καὶ ἐπ' ἀγαθοῖς οἱ χρησμοὶ γίνονται· ὡς δὲ ἐπὶ τὸ πολὺ μοχθηρὰ χρησμῳδοῦσιν. ἢ τὸ ὅλον ἐπὶ τῷ χρησμῷ Κασάνδρας· ἀπὸ τούτων τῶν θεσπισμάτων τίς ἀγαθὴ φάτις γίνεται. βροτοῖς δέ, τοῖς ἐγχωρίοις. 1087. διὰ τὰ προσόντα κακὰ τοῖς εἰσερχομένοις καὶ τὰ λεγόμενα φανερά. 1089. παρὰ τὸ λεγόμενον ἐν τῇ συνηθείᾳ, οὐδεὶς εὐτυχὴς πρὸς μάντιν ἀπέρχεται.

1072. *κατολολύξατ' ὦ* Meinekius. 1075. *κροκοβαφὴς δράμε ν.* Engerus. 1081. *μελάγκέρωι..* M. 1082. *ἐν* addidit Schuetzius. *κύτει* Blomfieldus. 1083. *τέχναν* Weilius. 1084. *ἄκρωσ* pr. M. sec. Merkelium. 1087. *τέλλεται* Emperius.

str. 6. *ΚΑ.* *ἰὼ ἰὼ ταλαίνας κακόποτμοι τύχαι.*
τὸ γὰρ ἐμὸν θροῶ πάθος ἐπεγχέασα.
ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες;
οὐδέν ποτ᾽ εἰ μὴ ξυνθανουμένην. τί γάρ;

str. 2. *ΧΟ.* *φρενομανής τις εἶ θεοφόρητος, ἀμ-*
φὶ δ᾽ αὐτᾶς θροεῖς
νόμον ἄνομον, οἷά τις ξουθὰ
ἀκόρετος βοᾶς, φεῦ, ταλαίναις φρεσὶν
Ἴτυν Ἴτυν στένουσ᾽ ἀμφιθαλῆ κακοῖς
ἀηδὼν βίον.

antistr. 6. *ΚΑ.* *ἰὼ ἰὼ λιγείας μόρον ἀηδόνος·*
περεβάλοντο γὰρ οἱ πτεροφόρον δέμας
θεοὶ γλυκύν τ᾽ αἰῶνα κλαυμάτων ἄτερ·
ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί.

antistr. 2. *ΧΟ.* *πόθεν ἐπισσύτους θεοφόρους τ᾽ ἔχεις*
ματαίους δύας,
τὰ δ᾽ ἐπίφοβα δυσφάτῳ κλαγγᾷ
μελοτυπεῖς ὁμοῦ τ᾽ ὀρθίοις ἐν νόμοις;
πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ
κακορρήμονας;

str. 7. *ΚΑ.* *ἰὼ γάμοι γάμοι Πάριδος ὀλέθριοι φίλων.*
ἰὼ Σκαμάνδρου πάτριον ποτόν·
τότε μὲν ἀμφὶ σὰς αἰόνας τάλαιν᾽

1091. *συναναμίξασα τῷ τοῦ Ἀγαμέμνονος καὶ συγκεράσασα.* 1093. *τί γὰρ ἄλλο.* 1095. *περὶ σεαυτῆς ἄτοπα φθέγγῃ.* 1096. *ᾠδὴν ἀηδῆ.* *παρὰ τὸ* (l. *τὸν*) *κιθαριστικὸν δὲ νόμον φησί.* *τὸ ἑξῆς, θρηνεῖ νόμον ἄνομον ἀμφιθαλῆ κακοῖς.* 1099. *τοῦτο ἡδομένη τῇ μεταμορφώσει τῆς ἀηδόνος φησίν.* 1102. *εἰ γὰρ καὶ ἐν ὄρνισιν οὖσα θρηνεῖ, φωνῇ μόνῃ καὶ οὐ θρήνοις.* 1103. *τῷ πελέκει.* 1106. *ἀσαφεῖ, αἰνιγματώδει.* *διὰ τὸ δυστυχῆ μαντεύεσθαι, ἢ διὰ τὸ προειδέναι τὰ δεινὰ ἀνωφελῶς.* 1108. *τῆς μαντικῆς.*

1097. *ἀκόρετος* Ald.: *ἀκόρεστος* M. *βοᾶς* recc.: *βοᾶισ* M. *ταλαίναισ*, corr. in *ταλαίνασ*, M. leg. *φρασίν.* 1100. *μόρον ἀηδόνος* Hermannus: *ἀηδόνοσ μόρον* M. 1102. *ἀγῶνα*, adscripto *γρ. αἰῶνα*, M. 1104. *τ᾽* delebat Hermannus. 1105. *δοίασ*, corr. in *δύασ*, M. 1106. *ἐπίφοβα* recc.: *ἐπὶ φόβωι* M. 1107. *μελοτυπεῖς ἅμουσ᾽* Schoemannus.

ἠνυτόμαν τροφαῖς·
νῦν δ' ἀμφὶ Κωκυτόν τε κἀχερουσίους
ὄχθους ἔοικα Θεσπιῳδήσειν τάχα.
str. 3. *XO.* τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω;
νεογνὸς ἀνθρώπων μάθοι.
πέπληγμαι δ' ὑπὸ δήγματι φοινίῳ
δυσαλγεῖ τύχᾳ μινυρὰ θρεομένας,
θαύματ' ἐμοὶ κλύειν.
antistr. 7. *KA.* ἰὼ πόνοι πόνοι πόλεος ὀλομένας τὸ πᾶν.
ἰὼ πρόπυργοι θυσίαι πατρὸς
πολυκανεῖς βοτῶν ποιονόμων· ἄκος δ'
οὐδὲν ἐπήρκεσαν
τὸ μὴ πόλιν μὲν ὥσπερ οὖν ἔχει παθεῖν.
ἐγὼ δὲ θερμόνους τάχ' ἐμπέδῳ βαλῶ.
antistr. 3. *XO.* ἑπόμενα προτέροις τάδ' ἐφημίσω.
καί τίς σε κακοφρονῶν τίθη-
σι δαίμων ὑπερβαρὴς ἐμπίτνων
μελίζειν πάθη γοερὰ θανατοφόρα·
τέρμα δ' ἀμηχανῶ.
KA. καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων
ἔσται δεδορκὼς νεογάμου νύμφης δίκην,
λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς
πνέων ἐσάξειν, ὥστε κύματος δίκην
κλύζειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ
μεῖζον· φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων.
καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν
ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων.
τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς
ξύμφθογγος, οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.

1113. ἠνυτόμαν: ηὐξόμην.

1115. ὄχθας Casaubonus. 1118. δ' ἅπερ Franzius. 1119. δυσαλγεῖ Canterus: δυσαγγεῖ libri. μινυρὰ Blomfieldus: μινυρὰ κακά libri. 1120. θαύματ' Triclinius: θραύματ' *ab*. 1121. πόλεως ὀλωμένας *ab* πόλεος ὀλουμένας *c*. ὀλομένας Porsonus. 1125. ἔχει Stanleius: ἔχειν libri. 1128. κακοφρονῶν Schuetzius: κακοφρονεῖν libri. 1033. νύμφας *ab* νύμφ$^{\varepsilon}$ *c*. 1135. ἐσάξειν Bothius: ἐσήξειν libri. 1136. κλύζειν Auratus: κλύειν libri. ἀκτάς Auratus. 1141. σύμφογγος vel σύμφθογγος *a* ξύμφογγος vel ξύμφθογγος *b* ξύμφθογγος *c*.

καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον,
βρότειον αἷμα κῶμος ἐν δόμοις μένει,
δύσπεμπτος ἔξω, συγγόνων Ἐρινύων.
ὑμνοῦσι δ' ὕμνον δώμασιν προσήμεναι
πρώταρχον ἄτην· ἐν μέρει δ' ἀπέπτυσαν
εὐνὰς ἀδελφοῦ τῷ πατοῦντι δυσμενεῖς.
ἥμαρτον, ἢ τηρῶ τι τοξότης τις ὥς;
ἢ ψευδόμαντίς εἰμί θυροκόπος φλέδων;
ἐκμαρτύρησον προὐμόσας τὸ μὴ εἰδέναι
λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων.
ΧΟ. καὶ πῶς ἂν ὅρκου πῆγμα γενναίως παγὲν
παιώνιον γένοιτο; θαυμάζω δέ σου,
πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν
κυρεῖν λέγουσαν, ὥσπερ εἰ παρεστάτεις.
ΚΛ. μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει.
ΧΟ. μῶν καὶ θεός περ ἱμέρῳ πεπληγμένος;
ΚΛ. πρότοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.
ΧΟ. ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον.
ΚΛ. ἀλλ' ἦν παλαιστὴς κάρτ' ἐμοὶ πνέων χάριν.
ΧΟ. ἦ καὶ τέκνων εἰς ἔργον ἦλθετον νόμῳ;
ΚΛ. ξυναινέσασα Λοξίαν ἐψευσάμην.
ΧΟ. ἤδη τέχναισιν ἐνθέοις ἥρημένη;
ΚΛ. ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη.
ΧΟ. πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότῳ;
ΚΛ. ἔπειθον οὐδέν' οὐδέν, ὡς τάδ' ἥμπλακον.
ΧΟ. ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.
ΚΛ. ἰοὺ ἰού, ὦ ὦ κακά.
ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος
στροβεῖ ταράσσων φροιμίοις . . . . .
ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους

1144. *ἐριννύων* libri. 1146. *πρώταρχον* Triclinius: *πρώταρχος ab*. 1148. *κυρῶ* Ahrens. 1150. *τὸ μὴ* Dobraeus: *τό μ'* libri. 1152. *ὅρκου πῆγμα* Auratus: *ὅρκος πῆμα* libri. 1153. *σε* Auratus. 1157. 1158. inverso ordine extant in libris, qui priorem Cassandrae, choro alterum tribuunt. Correxit Hermannus. 1165. *ἄνατος* Canterus: *ἄνακτος* libri. 1166. *οὐδέν'* Canterus: *οὐδέν* libri. 1170. in fine versus *ἐφημένους ab* *οισ* *ἐφημένουσ c* addunt, e proximo versu scilicet repetitum.

νέους, ὀνείρων προσφερεῖς μορφώμασι;
παῖδες θανόντες ὥσπερεὶ πρὸς τῶν φίλων,
χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς,
σὺν ἐντέροις τε σπλάγχν', ἐποίκτιστον γέμος,
πρέπουσ' ἔχοντες, ὧν πατὴρ ἐγεύσατο.
ἐκ τῶνδε ποινὰς φημὶ βουλεύειν τινὰ
λέοντ' ἄναλκιν ἐν λέχει στρωφώμενον
οἰκουρόν, οἴμοι, τῷ μολόντι δεσπότῃ
ἐμῷ· φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν.
νεῶν τ' ἔπαρχος Ἰλίου τ' ἀναστάτης
οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς
λέξασα καὶ κτείνασα φαιδρόνους δίκην
ἄτης λαθραίου τεύξεται κακῇ τύχῃ.
τοιάδε τόλμα· θῆλυς ἄρσενος φονεὺς
ἔστιν. τί νιν καλοῦσα δυσφιλὲς δάκος
τύχοιμ' ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλαν τινὰ
οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
θύουσαν ἄδου μητέρ' ἄσπονδόν τ' Ἄρη
φίλοις πνέουσαν; ὡς δ' ἐπωλολύξατο
ἡ παντότολμος, ὥσπερ ἐν μάχης τροπῇ.
δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ.
καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω· τί γάρ;
τὸ μέλλον ἥξει. καὶ σὺ μὴν τάχει παρὼν
ἄγαν ἀληθόμαντιν οἰκτίρας ἐρεῖς.
ΧΟ. τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν
ξυνῆκα καὶ πέφρικα, καὶ φόβος μ' ἔχει
κλύοντ' ἀληθῶς οὐδὲν ἐξῃκασμένα·
τὰ δ' ἄλλ' ἀκούσας ἐκ δρόμου πεσὼν τρέχω.
ΚΛ. Ἀγαμέμνονός σε φήμ' ἐπόψεσθαι μόρον.
ΧΟ. εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα.

1175. *γέ* pro *γέμος b.* 1181. *δ'* Vossius. *ἔπαρχος* Canterus: *ὄπαρχος* libri. 1182. seqq. fort. *οἷα γλῶσσα μισητή, κυνὸς | λείξασα* (sic olim Tyrwhittus) *καὶ σήνασα φαιδρόνου δίκην, | ἄτης λαθραίου* cett. 1185. *τόλμα* Ahrens: *τολμᾶ* libri. 1186. *ἔσται* Elmsleius. *δυσφιλὲς a.* 1189. *Ἄρη* anonymus ap. Blomfieldum: *ἀρὰν* libri. 1194. *μ' ἐν τάχει* Casaubonus. 1195. *ἄγαν* Bothius: *ἄγαν γ'* libri. *οἰκτείρας* libri. 1196. *παιδείων* Schuetzius: *παιδίων* libri. 1201. *κοίμισον* Triclinius.

ΚΑ. ἀλλ' οὔτι παιὼν τῷδ' ἐπιστατεῖ λόγῳ.
ΧΟ. οὔκ, εἴπερ ἔσται γ'· ἀλλὰ μὴ γένοιτό πως.
ΚΑ. σὺ μὲν κατεύχῃ, τοῖς δ' ἀποκτείνειν μέλει.
ΧΟ. τίνος πρὸς ἀνδρὸς τοῦτ' ἄγος πορσύνεται;
ΚΑ. ἦ κάρτ' ἄρ' ἂν παρεσκόπεις χρησμῶν ἐμῶν.
ΧΟ. τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανήν.
ΚΑ. καὶ μὴν ἄγαν γ' Ἕλλην' ἐπίσταμαι φάτιν.
ΧΟ. καὶ γὰρ τὰ πυθόκραντα· δυσμαθῆ δ' ὅμως.
ΚΑ. παπαῖ, οἷον τὸ πῦρ· ἐπέρχεται δέ μοι.
ὀτοτοῖ, Λύκει' Ἄπολλον, οἳ ἐγὼ ἐγώ.
αὕτη δίπους λέαινα συγκοιμωμένη
λύκῳ λέοντος εὐγενοῦς ἀπουσίᾳ
κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει κότῳ,
ἐπεύχεται θήγουσα φωτὶ φάσγανον
ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον.
τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
καὶ σκῆπτρα καὶ μαντεῖα περὶ δέρῃ στέφη;
σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
ἴτ' ἐς φθόρον πεσόντ', ἀγαθὼ δ' ἀμείψομαι.
ἄλλην τιν' ἄτην ἀντ' ἐμοῦ πλουτίζετε.
ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
χρηστηρίαν ἐσθῆτ', ἐποπτεύσας δέ με
κἀν τοῖσδε κόσμοις καταγελωμένην μετὰ
φίλων ὑπ' ἐχθρῶν οὐ διχορρόπως μάτην.
καλουμένη δὲ φοιτὰς ὡς ἀγύρτρια
πτωχὸς τάλαινα λιμοθνὴς ἠνεσχόμην.
καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ
ἀπήγαγ' ἐς τοιάσδε θανασίμους τύχας.

1202. οὔτοι *b*. 1203. εἴπερ ἔσται γ' Schuetzius: εἰ παρέσται libri. 1205. ἄγος Auratus: ἄχος libri. 1206. παρεσκόπησ (ει) *ab* παρεσκόπ (ης) *c*. 1208. ἐπίσταται *b*. 1209. δυσμαθῆ Canterus: δυσπαθῆ libri. 1212. δίπους Victorius: δίπλους libri. 1215. ποτῷ Auratus. 1216. κἀπεύξεται Hartungus. 1221. ἐγὼ δ' ἅμ' ἕψομαι Hermannus. 1222. ἄτης Stanleius. 1224. ἐπώπτευσας Triclinius. 1225. μέγα Hermannus.

βωμοῦ πατρῴου δ' ἀντ' ἐπίξηνον μένει
θερμῷ κοπείσης φοινίῳ προσφάγματι.
οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν.
ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις·
ἄραρε γὰρ ὅρκος ἐκ θεῶν μέγας,
ἄξειν νιν ὕπτιασμα κειμένου πατρός.
τί δῆτ' ἐγὼ κάτοικος ὧδ' ἀναστένω;
ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
πράξασαν ὡς ἔπραξεν, οἳ δ' εἶχον πόλιν
οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει,
ἰοῦσα πράξω τλήσομαι τὸ κατθανεῖν.
Ἅιδου πύλας δὲ τάσδ' ἐγὼ προσεννέπω·
ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
ὡς ἀσφάδαστος, αἱμάτων εὐθνησίμων
ἀπορρυέντων, ὄμμα συμβάλω τόδε.

ΧΟ. ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' [αὖ] σοφὴ
γύναι, μακρὰν ἔτεινας. εἰ δ' ἐτητύμως
μόρον τὸν αὑτῆς οἶσθα, πῶς θεηλάτου
βοὸς δίκην πρὸς βωμὸν εὐτόλμως πατεῖς;

ΚΛ. οὐκ ἔστ' ἄλυξις, οὔ, ξένοι, χρόνῳ πλέω.

ΧΟ. ὁ δ' ὕστατός γε τοῦ χρόνου πρεσβεύεται.

ΚΛ. ἥκει τόδ' ἦμαρ· σμικρὰ κερδανῶ φυγῇ.

ΧΟ. ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενός.

ΚΛ. ἀλλ' εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῷ.

ΧΟ. οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.

ΚΛ. ἰὼ πάτερ σοῦ σῶν τε γενναίων τέκνων.

1233. ἄτιμόν γ' *b*. 1238. in libris inter 1244 et 1245 repositum huc retraxit Hermannus. ἄραρε γάρ Cramer. Anecd. Ox. 1, 88 et Etymol. Voss. ap. Gaisf. p. 134: ὀμάμοται γάρ libri. 1239. ἄξειν *a* ἄξει *bc*. νυν *a*. 1240. κάτοικτος Scaliger. 1242. εἶλον Musgravius. 1243. ἐκ θεῶν *a*. 1244. ἰοῦσα κἀγώ Heathius. 1245. τάσδ' ἐγώ Auratus: τὰς λέγω libri. 1249. δ' αὖ Triclinius: δέ *ab*. 1250. ἔκτεινασ *b*. 1253. οὐ ξένοι *a* οὔ ξένοι *bc*. ὦ ξένοι Casaubonus. πλέον Ahrens. 1257. 1258. inverso ordine lectos in libris sedes mutare iussit Heathius. 1259. σῶν Auratus: τῶν libri.

ΧΟ. τί δ' ἐστὶ χρῆμα, τίς σ' ἀποστρέφει φόβος;
ΚΑ. φεῦ φεῦ.
ΧΟ. τί τοῦτ' ἔφευξας; εἴ τι μὴ φρενῶν στύγος.
ΚΑ. φόνον δόμοι πνέουσιν αἱματοσταγῆ.
ΧΟ. καὶ πῶς; τόδ' ὄζει θυμάτων ἐφεστίων.
ΚΑ. ὅμοιος ἀτμὸς ὥσπερ ἐκ τάφου πρέπει.
ΧΟ. οὐ Σύριον ἀγλάισμα δώμασιν λέγεις.
ΚΑ. ἀλλ' εἶμι κἀν δόμοισι κωκύσουσ' ἐμὴν
Ἀγαμέμνονός τε μοῖραν. ἀρκείτω βίος.
ἰὼ ξένοι.
οὗτοι δυσοίζω θάμνον ὡς ὄρνις φόβῳ
ἀλλ' ὡς θανούσῃ μαρτυρεῖτέ μοι τόδε,
ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ,
ἀνήρ τε δυσδάμαρτος ἀντ' ἀνδρὸς πέσῃ.
ἐπιξενοῦμαι ταῦτα δ' ὡς θανουμένη.
ΧΟ. ὦ τλῆμον, οἰκτίρω σε θεσφάτου μόρου.
ΚΑ. ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω
ἐμὸν τὸν αὐτῆς. ἡλίου δ' ἐπεύχομαι
πρὸς ὕστατον φῶς τοῖς ἐμοῖς τιμαόροις
ἐχθροῖς φονεῦσι τοῖς ἐμοῖς τίνειν ὁμοῦ
δούλης θανούσης, εὐμαροῦς χειρώματος.
ΧΟ. ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
σκιά τις ἂν τρέψειεν· εἰ δὲ δυστυχοῖ,
βολαῖς ὑγρώσσων σπόγγος ὤλεσεν γραφήν.

1261. ἀπολοφυρομένη λέγει τοῦτο ἐν τῷ εἰσιέναι. ὀκνεῖ γὰρ εἰσελθεῖν ὡς τι δεινὸν ὁρῶσα. 1266. τὸν ἀπὸ Συρίας λιβανωτόν. 1270. οὐ δυσχεραίνω, φησίν, ὡς ὄρνις θέλουσα εἰς καλιὰν εἰσελθεῖν καὶ θῆρά τινα φοβουμένη. 1274. φιλιοῦμαι.

1263. φόβον *ab* φόβον *c.* 1267. 1268. post 1280. transponit Weilius. 1267. κὸν θανοῦσι Karstenus. post 1270. hiare orationem intellexit Dindorfius. 1275. οἰκτείρω libri. 1276. ἔστ' *b.* οὐ θρῆνον Hermannus. 1277. ἡλίου Jacobsius: ἡλίῳ libri. 1281. seqq. Cassandrae continuatos in libris chori duci reddidit Weilius. 1282. σκιᾷ Wieselerus. ἀντρέψειεν libri. ἂν πρέψειεν Boissonadius, coll. Photii glossa 2, 103. πρέψαι: τὸ ὁμοιῶσαι Αἰσχύλος. δυστυχοῖ Blomfieldus: δυστυχῇ libri.

καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτίρω πολύ.
τὸ μὲν εὖ πράττειν ἀκόρεστον ἔφυ
πᾶσι βροτοῖσιν· δακτυλοδείκτων δ'
οὔτις ἀπειπὼν εἴργει μελάθρων,
μηκέτ' ἐσέλθῃς τάδε, φωνῶν.
καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν
μάκαρες Πριάμου,
θεοτίμητος δ' οἴκαδ' ἱκάνει·
νῦν δ' εἰ προτέρων αἷμ' ἀποτείσει
καὶ τοῖσι θανοῦσι θανὼν ἄλλων
ποινὰς θανάτων ἐπικρανεῖ,
τίς ἂν εὔξαιτο βροτῶν ἀσινεῖ
δαίμονι φῦναι τάδ' ἀκούων;

ΑΓ. ὤμοι, πέπληγμαι καιρίαν πληγὴν ἔσω.

ΧΟ. 1. σῖγα· τίς πληγὴν ἀντεῖ καιρίως οὐτασμένος;

ΑΓ. ὤμοι μάλ' αὖθις, δευτέραν πεπληγμένος.

ΧΟ. 2. τοὔργον εἰργάσθαι δοκεῖ μοι βασιλέως οἰμώγμασιν.

ΧΟ. 3. ἀλλὰ κοινωσαίμεθ' ἂν πῶς ἀσφαλῆ βουλεύματα;

ΧΟ. 4. ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω,
πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοήν.

ΧΟ. 5. ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ
καὶ πρᾶγμ' ἑλέγχειν σὺν νεορρύτῳ ξίφει.

ΧΟ. 6. κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν
ψηφίζομαί τι δρᾶν· τὸ μὴ μέλλειν δ' ἀκμή.

ΧΟ. 7. δρᾶν πάρεστι· φροιμιάζονται γὰρ ὡς
τυραννίδος σημεῖα πράσσοντες πόλει.

ΧΟ. 8. χρονίζομεν γάρ· οἳ δὲ τῆς μελλοῦς κλέος
πέδοι πατοῦντες οὐ καθεύδουσιν χερί.

1284. *οἰκτείρω* libri. 1286. *βροτοῖσιν* Pauwius: *βροτοῖς* libri. *δακτυλοδεικτῶν* libri. 1288. *μηκέτ' ἐσέλθῃς* Hermannus: *μηκέτι δ' εἰσέλθῃς* libri. 1292. *ἀποτίσει* libri. 1295. *τίς ποτ' ἂν εὔξαιτο* E. A. Ahrens. 1300. *οἰμώγματι a οἰμώγμασιν bc.* 1301. *κοινωσαίμεθ' ἂν πῶς* Blomfieldus: *κοινωσώμεθ' ἄν πως* libri. 1310. *ἃ δὲ τῆς μελλοῦς χάριν* Trypho *περὶ τρόπων* 3, 196. Sp. *οἱ δὲ τῆς μελλούσης κλέος a οἱ δὲ τῆς μελλούσης κλέος b οἱ δὲ τῆς μελλούσης κλέος c.* 1311. *πέδοι* Hermannus: *πέδον* libri.

XO. 9. *οὐκ οἶδα βουλῆς ἥστινος τυχὼν λέγω.*
τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι.
XO. 10. *κἀγὼ τοιοῦτός εἰμ', ἐπεὶ δυσμηχανῶ*
λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν. 1315
XO. 11. *ἦ καὶ βίον τείνοντες ὧδ' ὑπείξομεν*
δόμων καταισχυντῆρσι τοῖσδ' ἡγουμένοις;
XO. 12. *ἀλλ' οὐκ ἀνεκτόν, ἀλλὰ κατθανεῖν κρατεῖ·*
πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος.
XO. 13. *ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων* 1320
μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος;
XO. 14. *σάφ' εἰδότας χρὴ τῶνδε θυμοῦσθαι πέρι·*
τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα.
XO. 15. *ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι,*
τρανῶς Ἀτρείδην εἰδέναι κυροῦνθ' ὅπως. 1325
KΛ. *πολλῶν πάροιθεν καιρίως εἰρημένων*
τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
δοκοῦσιν εἶναι, πημονῆς ἀρκύστατ' ἂν
φάρξειεν, ὕψος κρεῖσσον ἐκπηδήματος; 1330
ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι
νείκης παλαιᾶς· ἦλθε, σὺν χρόνῳ γε μήν·
ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις.
οὕτω δ' ἔπραξα, καὶ τάδ' οὐκ ἀρνήσομαι,
ὡς μήτε φεύγειν μήτ' ἀμύνεσθαι μόρον. 1335
ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,
περιστιχίζω, πλοῦτον εἵματος κακόν.

1319. *ὡριμωτέρα, γλυκυτέρα.* *ἡδύτερος, φησίν, ὁ θάνατος ὁ ὑπὲρ τῶν δεσποτῶν τῆς τυραννίδος.* 1324. *ἐπαινοῦμεν διαφόρως ταύτην γνώμην, τὸ μαθεῖν ἐν οἵᾳ ἐστὶν καταστάσει ὁ βασιλεύς.* 1329. *ἄφυκτον.*

1316. *τείνοντες* Canterus: *κτείνοντες* libri. 1318. *κρατεῖ* Casaubonus: *κράτει* libri. 1322. *θυμοῦσθαι* E. A. Ahrens: *μυθοῦσθαι* libri. 1329. *πημονῆς* Auratus: *πημονήν* libri. *ἀρκύστατ' ἄν* Elmsleius: *ἀρκύστατον* libri. 1330. *φράξειεν* libri. 1332. *νείκης* Heathius: *νίκης* libri. 1333. *ἔπεσ' a.* 1335. *ἀμύνεσθαι* Victorius: *ἀμύνασθαι* libri. 1337. *περιστιχίζω* Triclinius: *περιστοιχίζων* vel *περιστιχίζων a περιστιχίζων b.*

παίω δέ νιν δίς· κἀν δυοῖν οἰμώγμασι
μεθῆκεν αὐτοῦ κῶλα· καὶ πεπτωκότι
τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονὸς
Ἅιδου νεκρῶν σωτῆρος εὐκταίαν χάριν.
οὕτω τὸν αὑτοῦ θυμὸν ὁρμαίνει πεσών·
κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν
βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου,
χαίρουσαν οὐδὲν ἧσσον ἢ Διὸς νότῳ
γάνει σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
ὡς ὧδ' ἐχόντων, πρέσβος Ἀργείων τόδε,
χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι.
εἰ δ' ἦν πρεπόντων ὥστ' ἐπισπένδειν νεκρῷ,
τῷδ' ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν.
τοσῶνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
πλήσας ἀραίων αὐτὸς ἐκπίνει μολών.

ΧΟ. θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος,
ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.

ΚΛ. πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος.
ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας
λέγω· σὺ δ' αἰνεῖν εἴτε μὲ ψέγειν θέλεις
ὅμοιον. οὗτός ἐστιν Ἀγαμέμνων, ἐμὸς
πόσις, νεκρὸς δὲ τῇσδε δεξιᾶς χερός,
ἔργον δικαίας τέκτονος. τάδ' ὧδ' ἔχει.

str. ΧΟ. τί κακόν, ὦ γύναι, χθονοτρεφὲς ἐδανὸν
ἢ ποτὸν πασαμένα ῥυτᾶς ἐξ ἁλὸς ὅρμενον
τόδ' ἐπέθου θύος δημοθρόους τ' ἀρὰς
ἀπέδικες, ἀπέταμες· ἄπολις δ' ἔσῃ,
μῖσος ὄβριμον ἀστοῖς.

ΚΛ. νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ
καὶ μῖσος ἀστῶν δημόθρους τ' ἔχειν ἀράς,

1338. *οἰμωγμάτοιν* Elmsleius. 1341. *Διὸς νεκρῶν* Engerus. 1342. *ὀρυγάνει πεσών* Hermannus. 1343. *βαφήν* Schneidewinus. 1345. *διοσδότῳ* Porsonus. 1346. *γᾶν εἰ a γαν' εἰ b γᾶν εἰ c. γανᾷ* Hermannus. 1350. *τῷδ'* Tyrwhittus: *τάδ'* libri. 1351. *τοσόνδε* Blomfieldus. 1355. *μου* om. *b*. 1362. *ῥυτᾶς* Stanleius: *ῥύσας ab ῥυσᾶς c. ὅρμενον* Abreschius: *ὁρώμενον ab ὀρώμενον c.* 1364. *ἀπέ-*
ε *α*
ταμεσ a ἀπέταμες b ἀπέτεμες c. ἀπόπολις Seidlerus.

οὐδὲν τότ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων·
ὃς οὐ προτιμῶν, ὥσπερεὶ βοτοῦ μόρον,
μήλων φλεόντων εὐπόκοις νομεύμασιν,
ἔθυσεν αὑτοῦ παῖδα, φιλτάτην ἐμοὶ
ὠδῖν', ἐπῳδὸν Θρᾳκίων ἀημάτων.
οὐ τοῦτον ἐκ γῆς τῆσδε χρῆν σ' ἀνδρηλατεῖν,
μιασμάτων ἄποιν'; ἐπήκοος δ' ἐμῶν
ἔργων δικαστὴς τραχὺς εἶ. λέγω δέ σοι
τοιαῦτ' ἀπειλεῖν, ὡς παρεσκευασμένης
ἐκ τῶν ὁμοίων, χειρὶ νικήσαντ' ἐμοῦ
ἄρχειν· ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεός,
γνώσῃ διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.

antistr. XO. μεγαλόμητις εἶ, περίφρονα δ' ἔλακες.
ὥσπερ οὖν φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται·
λίπος ἐπ' ὀμμάτων αἵματος ἐμπρέπει
ἀντίετον ἔτι σὲ χρὴ στερομέναν φίλων
τύμμα τύμματι τεῖσαι.

ΚΛ. καὶ τήνδ' ἀκούεις ὅρκιων ἐμῶν θέμιν·
μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς Δίκην,
Ἄτην Ἐρινύν θ', αἷσι τόνδ' ἔσφαξ' ἐγώ,
οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖ,
ἕως ἂν αἴθῃ πῦρ ἐφ' ἑστίας ἐμῆς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.
οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ μικρὰ θράσους.
κεῖται γυναικὸς τῆσδε λυμαντήριος,
Χρυσηίδων μείλιγμα τῶν ὑπ' Ἰλίῳ,
ἥ τ' αἰχμάλωτος ἥδε καὶ τερασκόπος
καὶ κοινόλεκτρος τοῦδε θεσφατηλόγος,

1370. πληθυνόντων. 1376. ἀναγκαίως ἀπειλεῖ, ἵνα ἐκεῖνοι τὸ ἀμφίβολον τῆς μάχης φυλάξωνται.

1368. τότ' Vossius: τόδ' libri. 1370. εὐτόκοισι *b*. 1372. θρηκίων libri. ἀημάτων Canterus: τε λημμάτων libri. 1373. χρῆν *a* (sec. Franzium) χρή *bc*. 1374. βιασμάτων *b*. 1382—83. ἐμπρέπει Auratus: εὖ πρέπειαν τίετον *a* εὖ πρέπει ἀντίετον *b* εὖ πρέπει ἀτίετον *c*. 1384. τύμματι Vossius: τύμμα libri. τίσαι libri. 1387. ἐρινύν libri. 1389. ἐμῆς Porsonus: ἐμᾶς libri. 1395. η κοινόλεκτρος Karstenus.

πιστὴ ξύνευνος, ναυτίλων δὲ σελμάτων
ἰσοτριβής. ἄτιμα δ' οὐκ ἐπραξάτην·
ὃ μὲν γὰρ οὕτως, ἢ δέ τοι κύκνου δίκην
τὸν ὕστατον μέλψασα θανάσιμον γόον
κεῖται φιλήτωρ τοῦδ', ἐμοὶ δ' ἐπήγαγεν
εὐνῆς παροψώνημα τῆς ἐμῆς χλιδῆς.

str. 1. *XO.* φεῦ, τίς ἂν ἐν τάχει,
μὴ περιώδυνος,
μηδὲ δεμνιοτήρης,
μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν
Μοῖρ' ἀτέλευτον ὕπνον, δαμέντος
φύλακος εὐμενεστάτου καὶ
πολλὰ τλάντος γυναικὸς διαί·
πρὸς γυναικὸς δ' ἀπέφθισεν βίον.

(Dux chori)

ἰὼ [ἰὼ] παράνους Ἑλένα,
μία τὰς πολλάς, τὰς πάνυ πολλὰς
ψυχὰς ὀλέσασ' ὑπὸ Τροίᾳ.

(Chorus)

νῦν δὲ τελείαν
πολύμναστον ἐπηνθίσω δι' αἷμ' ἄνιπτον,
ἥτις ἦν τότ' ἐν δόμοις
ἔρις ἐρίδματος ἀνδρὸς οἰζύς.

ΚΛ. μηδὲν θανάτου μοῖραν ἐπεύχου
τοῖσδε βαρυνθείς·
μηδ' εἰς Ἑλένην κότον ἐκτρέψῃς,
ὡς ἀνδρολέτειρ', ὡς μία πολλῶν
ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασ'
ἀξύστατον ἄλγος ἔπραξε.

1400. ἐκ ψυχῆς φιλουμένη τῷ Ἀγαμέμνονι. 1401. τὴν ἐκ περιουσίας τρυφήν.

1397. ἰσοτριβής Pauwius: ἰστοτρίβης libri. 1400. φιλήτωσ *a*. 1401. θοίνης Karstenus. παροψώνημα Casaubonus: παροψόνημα libri. 1405. ἐφ' Hermannus. 1408. πολέα Wieselerus. 1410. ἰὼ alterum addidit Blomfieldus. παράνουσ Hermannus: παρανόμουσ libri. 1419. ἐκτρέχησ *a*. 1421. ὀλέσασ' Triclinius: ὀλέσαν *ab*.

antistr. 1. *XO.* δαῖμον, ὃς ἐμπίτνεις
δώμασι καὶ διφυί-
οισι Ταντα λίδαισιν,
κράτος ἰσόψυχον ἐκ γυναικῶν
καρδιόδηκτον ἐμοὶ κρατύνεις.
ἐπὶ δὲ σώματος δίκαν μοι
κόρακος ἐχθροῦ σταθεὶς ἐννόμως
ὕμνον ὑμνεῖν ἐπεύχεται.
(Dux chori)
[ἰὼ ἰὼ παράνους Ἑλένα,
μία τὰς πολλάς, τὰς πάνυ πολλὰς
ψυχὰς ὀλέσασ' ὑπὸ Τροίᾳ.
(Chorus)
νῦν δὲ τελείαν
πολύμναστον ἐπηνθίσω δι' αἷμ' ἄνιπτον,
ἥτις ἦν τότ' ἐν δόμοις
ἔρις ἐρίδματος ἀνδρὸς οἰζύς.]
KA. νῦν δ' ὤρθωσας στόματος γνώμην,
τὸν τριπάχυιον
δαίμονα γέννης τῆσδε κικλήσκων.
ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς
νείρᾳ τρέφεται· πρὶν καταλῆξαι
τὸ παλαιὸν ἄχος, νέος ἰχώρ.
str. 2. *XO.* ἦ μέγαν οἴκοις τοῖσδε
δαίμονα καὶ βαρύμηνιν αἰνεῖς,

1425. Ἀτρεῖ καὶ Θυέστῃ, ἢ Ἀγαμέμνονι καὶ Μενελάῳ. 1426. Κλυταιμνήστρας καὶ Ἑλένης λέγει, αἳ κατὰ φαυλότητα ἴσας τὰς ψυχὰς ἔχουσι. 1429. ὡς κόραξ ἐσθίων νεκρῶν σῶμα βοᾷ, οὕτω καὶ ὁ δαίμων ἐκνόμως δικάσει, παρὰ τὸ δίκαιον.

1423. ἐμπίτνεις Canterus: ἐμπίπτεις libri. 1424. διφυίοισι Hermannus: διφυεῖσι libri. 1425. ταναλίδεσι *a*. 1426. κράτος τ' Hermannus. 1427. καρδιόδηκτον Abreschius: καρδία δηκτόν libri. 1429. σταθεῖσ' Schuetzius. ἐκνόμως Triclinius. 1431—37. omissi *a* in libris. 1439. τριπάχυντον Bambergerus. 1440. γέννησ *ab* γέννας *c*. 1442. νείρᾳ Casaubonus et Wellauerus: νείρει libri.

φεῦ φεῦ, κακὸν αἶνον ἀτη-
ρᾶς τύχας ἀκορέστου·
ἰὼ ἰή, διαὶ Διὸς παναιτίου πανεργέτα.
τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται;
τί τῶνδ' οὐ θεόκραντόν ἐστιν;

(Dux chori)

ἰὼ [ἰὼ] βασιλεῦ βασιλεῦ,
πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.

(Chorus)

ὤμοι μοι κοίταν τάνδ' ἀνελεύθερον
δολίῳ μόρῳ δαμεὶς
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

ΚΛ. αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν·
μηδ' ἐπιλεχθῇς
Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον.
φανταζόμενος δὲ γυναικὶ νεκροῦ
τοῦδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ
Ἀτρέως χαλεποῦ θοινατῆρος
τόνδ' ἀπέτεισεν
τέλεον νεαροῖς ἐπιθύσας.

antistr. 2. ΧΟ. ὡς μὲν ἀναίτιος εἶ
τοῦδε φόνου τίς ὁ μαρτυρήσων;
πῶ πῶ; πατρόθεν δὲ συλλή-
πτωρ γένοιτ' ἂν ἀλάστωρ.
βιάζεται δ' ὁμοσπόροις ἐπιρροαῖσιν αἱμάτων
μέλας Ἄρης· ὅποι δὲ καὶ προβαίνων
πάχνα κουροβόρῳ παρέξει.

(Dux chori)

ἰὼ [ἰὼ] βασιλεῦ βασιλεῦ,

1448. *πανεργέτα* Triclinius: *πανεργέταν ab.* 1451. alterum *ἰώ* addidit Triclinius. 1465. *ἀπέτισεν* libri. 1472. *προβαίνων a* sec. Franzium: *προσβαίνων bc.* 1474. chori notam praefigit *a*, hemichorii *b*. *ἰὼ* geminavit Triclinius.

πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.

(Chorus)

ὤμοι μοι κοίταν τάνδ' ἀνελεύθερον
δολίῳ μόρῳ δαμεὶς
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

ΚΛ. οὔτ' ἀνελεύθερον οἶμαι θάνατον
τῷδε γενέσθαι.
οὐδὲ γὰρ οὗτος δολίαν ἄτην
οἴκοισιν ἔθηκ';
ἀλλ' ἐμὸν ἐκ τοῦδ' ἔρνος ἀερθέν,
τὴν πολύκλαυτόν τ' Ἰφιγένειαν,
ἄξια δράσας ἄξια πάσχων
μηδὲν ἐν Ἅιδου μεγαλαυχείτω,
ξιφοδηλήτῳ
θανάτῳ τείσας ἅπερ ηρξεν.

str. 3. ΧΟ. ἀμηχανῶ φροντίδος στερηθεὶς
εὐπαλάμων μεριμνᾶν
ὅπᾳ τράπωμαι, πίτνοντος οἴκου.
δέδοικα δ' ὄμβρου κτύπον δομοσφαλῆ
τὸν αἱματηρόν· ψεκὰς δὲ λήγει.
δίκα δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει βλάβης
πρὸς ἄλλαις θηγάναις Μοῖρα.

(Dux chori)

ἰὼ γᾶ γᾶ, εἴθ' ἔμ' ἐδέξω,
πρὶν τόνδ' ἐπιδεῖν ἀργυροτοίχου
δροίτης κατέχοντα χαμεύνην.
τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;

1487. *πολύκλαυτον παῖδ' Ἰφιγόνην* Ahrens. 1488. *ἄξια* Hermannus: *ἀνάξια* libri. 1491. *τίσας* libri. 1492. *φροντίδος a φροντίδων bc.* 1493. *εὐπαλάμων μεριμνᾶν* Karstenus: *εὐπάλαμνον μέριμναν* libri.

1495. *δημοσφαλῆ b.* 1497. *δίκη a δίκᾁ b δίκᾀ c. δίκην* Auratus. *θηγάνει* Hermannus: *θήγει* libri. 1498. *θηγάναισι* Pauwius. 1499. hemichorii nota praefixa in *ab.* *εἴθε μ'* Triclinius. 1501. *δροίτας* et *χαμεύναν* libri.

ἦ σὺ τόδ' ἔρξαι τλήσῃ, κτείνασ'
ἄνδρα τὸν αὐτῆς ἀποκωκῦσαι
ψυχήν, ἄχαριν χάριν ἀντ' ἔργων
μεγάλων ἀδίκως ἐπικρᾶναι;

(Chorus)

τίς δ' ἐπιτύμβιος αἶνος ἐπ' ἀνδρὶ θείῳ
σὺν δακρύοις ἰάπτων
ἀληθείᾳ φρενῶν πονήσει;

ΚΛ. οὐ σὲ προσήκει τὸ μέλημα λέγειν
τοῦτο· πρὸς ἡμῶν
κάππεσε, κάτθανε, καὶ καταθάψομεν,
οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων,
ἀλλ' Ἰφιγένειά νιν ἀσπασίως
θυγάτηρ, ὡς χρή,
πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον
πόρθμευμ' ἀχέων
περὶ χεῖρε βαλοῦσα φιλήσει.

antistr. 3. ΧΟ. ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους.
δύσμαχα δ' ἐστὶ κρῖναι.
φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων.
μίμνει δὲ μίμνοντος ἐν θρόνῳ Διὸς
παθεῖν τὸν ἔρξαντα· θέσμιον γάρ.
τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων;
κεκόλληται γένος προσάψαι.

(Dux chori)

[ἰὼ γᾶ γᾶ, εἴθ' ἔμ' ἐδέξω,
πρὶν τόνδ' ἐπιδεῖν ἀργυροτοίχου
δροίτης κατέχοντα χαμεύνην.
τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;

1505. ψυχῇ τ' Hermannus. 1507. hemichorii notam praefigunt *ab.* ἐπιτύμβιον αἶνον Vossius. 1508. δακρυ*οιν* α δακρύοισ *bc.* 1510. μέλημ' ἀλέγειν Karstenus. 1514. Ἰφιγένεια νιν Stanleius: ἰφιγένειαν ἵν' libri. 1517. ἀχείων *b.* 1518. χεῖρε Porsonus: χεῖρα libri. φιλήσει Stanleius: φιλήσῃ libri. 1522. μένει Heimsoethius. θρόνῳ Schuetzius: χρόνῳ libri. 1524. ἀραῖον Hermannus: ῥᾶον libri. 1525. πρὸς ἄτᾳ Blomfieldus. 1526—36. omissos in libris iterandos esse intellexit Burneius.

ἦ σὺ τόδ' ἔρξαι τλήσῃ, κτείνασ' 1530
ἄνδρα τὸν αὑτῆς ἀποκωκῦσαι
ψυχήν, ἄχαριν χάριν ἀντ' ἔργων
μεγάλων ἀδίκως ἐπικρᾶναι;

(Chorus)

τίς δ' ἐπιτύμβιος αἶνος ἐπ' ἀνδρὶ θείῳ
σὺν δακρύοις ἰάπτων 1535
ἀληθείᾳ φρενῶν πονήσει;]

ΚΛ. ἐς τόνδ' ἐνέβη σὺν ἀληθείᾳ
χρησμόν. ἐγὼ δ' οὖν
ἐθέλω δαίμονι τῷ Πλεισθενιδῶν
ὅρκους θεμένη τάδε μὲν στέργειν, 1540
δύστλητά περ ὄνθ', ὃ δὲ λοιπόν, ἰόντ'
ἐκ τῶνδε δόμων ἄλλην γενεὰν
τρίβειν θανάτοις αὐθένταισι.
κτεάνων τε μέρος
βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι 1545
ἀλληλοφόνους
μανίας μελάθρων ἀφελούσῃ.

Αἴγισθος. ὦ φέγγος εὔφρον ἡμέρας δικηφόρου.
φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους
θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄγη, 1550
ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐρινύων
τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοί,
χερὸς πατρῴας ἐκτίνοντα μηχανάς.
Ἀτρεὺς γὰρ ἄρχων τῆσδε γῆς, τούτου πατήρ,
πατέρα Θυέστην τὸν ἐμόν, ὡς τορῶς φράσαι,
αὐτοῦ δ' ἀδελφόν, ἀμφίλεκτος ὢν κράτει, [1555
ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων.
καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν
τλήμων Θυέστης μοῖραν ηὗρετ' ἀσφαλῆ,

1538. χρησμός Pearsonus. 1539. πλεισθενιδᾶν ab πλεισθενιδῶν c. 1541. δύσπλητα a. 1544. δὲ Auratus. 1545. μοι δ' libri. 1546. seq. μανίας μελάθρων ἀλληλοφόνους Erfurdtius. 1550. ἄγη Auratus: ἔχη libri. 1551. ἐρινύων libri. 1556. αὐτοῦ δ' Elmsleius: αὐτοῦ τ' libri. 1559. εὗρετ' libri.

τὸ μὴ θανὼν πατρῷον αἱμάξαι πέδον.
αὐτοῦ ξένια δὲ τοῦδε δύσθεος πατὴρ
Ἀτρεύς, προθύμως μᾶλλον ἢ φίλως, πατρὶ
τῷμῷ, κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν
δοκῶν, παρέσχε δαῖτα παιδείων κρεῶν.
τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρους κτένας
ἔθρυπτ' ἄνωθεν ἀνδρακὰς καθήμενος
ἄσημ'· ὃ δ' αὐτῶν αὐτίκ' ἀγνοίᾳ λαβὼν
ἔσθει βορὰν ἄσωτον ὡς ὁρᾷς γένει.
κἄπειτ' ἐπιγνοὺς ἔργον οὐ καταίσιον
ὤμωξεν, ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐρῶν,
μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται,
λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ,
οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.
ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα.
κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς·
τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ
συνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις·
τραφέντα δ' αὖθις ἡ δίκη κατήγαγεν.
καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν,
πᾶσαν συνάψας μηχανὴν δυσβουλίας.
οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί,
ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν.

XO. Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
σὺ δ' ἄνδρα τόνδε φῆς ἑκὼν κατακτανεῖν,
μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον·
οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀράς.

AI. σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος

1565. ἤγουν τὰς διαστάσεις τῶν δακτύλων. 1588. ὑποδεεστέρᾳ καθέδρᾳ ὤν. οἱ γὰρ ζυγοὶ τῶν θαλαμίων ἄνωθέν εἰσιν.

1566. ἄπωθεν Weilius. καθημένοις Casaubonus. 1567. ἄσημ'. ὃ δ' Dindorfius: ἄσημα δ' libri. 1570. ἀμπίπτει Canterus: ἂν· πίπτει libri. σφαγήν Hartungus. ἐμῶν Auratus. 1572. ἐρᾷ *b* 1573. ὀλέσθαι Porsonus: ὀλέσθη libri. 1582. ἰδόντι Triclinius. 1584. τόνδε φῆς Pauwius: τόνδ' ἔφης libri.

κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορός;
γνώσῃ γέρων ὢν ὡς διδάσκεσθαι βαρὺ
τῷ τηλικούτῳ, σωφρονεῖν εἰρημένον.
δεσμὸς δὲ καὶ τὸ γῆρας αἵ τε νήστιδες
δύαι διδάσκειν ἐξοχώταται φρενῶν
ἰατρομάντεις. οὐχ ὁρᾷς ὁρῶν τάδε;
πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς.

XO. γύναι, σὺ τοὺς ἥκοντας ἐκ μάχης νέον
οἰκουρὸς εὐνὴν ἀνδρὸς αἰσχύνουσ᾽ ἅμα
ἀνδρὶ στρατηγῷ τόνδ᾽ ἐβούλευσας μόρον;

AI. καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις·
ὃ μὲν γὰρ ἦγε πάντ᾽ ἀπὸ φθογγῆς χαρᾷ,
σὺ δ᾽ ἐξορίνας νηπίοις ὑλάγμασιν
ἄξῃ· κρατηθεὶς δ᾽ ἡμερώτερος φανῇ.

XO. ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσῃ,
ὃς οὐκ, ἐπειδὴ τῷδ᾽ ἐβούλευσας μόρον,
δρᾶσαι τόδ᾽ ἔργον οὐκ ἔτλης αὐτοκτόνως;

AI. τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς·
ἐγὼ δ᾽ ὕποπτος ἐχθρὸς ἦ παλαιγενής.
ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι
ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα
ζεύξω βαρείαις οὔτι μὴ σειραφόρον
κριθᾶντα πῶλον· ἀλλ᾽ ὁ δυσφιλεῖ σκότῳ
λιμὸς ξύνοικος μαλθακὸν σφ᾽ ἐπόψεται.

1595. ἀντὶ τοῦ παθών. 1606. οὐχ ὑπέμεινας, φησί, δρᾶσαι σὺ αὐτὸς τὸ ἔργον μόνος, ἀλλὰ σὺν τῇ γυναικί. 1612. οὐχ ὑποζεύξω τὸν μὴ πειθαρχοῦντα ὡς κριθῶντα πῶλον, ἤγουν πίονα ταῖς κριθαῖς, ἀλλὰ συγκλείσας καὶ λιμώττειν ἐάσας πραϋνῶ.

1592. *δεσμός* Triclinius: *δεσμόν ab.* 1593. *ἐξοχώτατε b.* 1595. *πταίσας* Butlerus: *πήσας* libri, *παίσας* schol. Pind. Pyth. 2, 173. 1596. *τοῦδ᾽ ἥκοντος* Stanleius. 1602. *νηπίοις* Jacobsius: *ἠπίοις* libri. 1605. *ὅστις γ᾽* Karstenus. *τῶδε βουλεύσας ab.* 1608. *ἦ* Porsonus: *ἦ* libri. 1609. *τῶν δέ* Jacobsius: *τῶνδε* libri. 1611. *σειρασφόρον a.* 1612. *δυσφιλεῖ σκότῳ* Scaliger: *δυσφιλὴς κότῳ* libri. 1613. *σύνοικος b.*

ΧΟ.τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς
οὐκ αὐτὸς ἠνάριζες, ἀλλά νιν γυνὴ
χώρας μίασμα καὶ θεῶν ἐγχωρίων
ἔκτειν'; Ὀρέστης ἆρά που βλέπει φάος,
ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ
ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς.
ΑΙ.ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσῃ τάχα.
εἶα δή, φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε.
ΧΟ.εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.
ΑΙ.ἀλλὰ κἀγὼ μὴν πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.
ΧΟ.δεχομένοις λέγεις θανεῖν σε· τὴν τύχην δ' αἱρούμεθα.
ΚΛ.μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν, ἄλλα δράσωμεν κακά.
ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον θέρος.
πημονῆς δ' ἄλις γ' ὑπάρχει· μηδὲν αἱματώμεθα.
στείχετε δ' οἱ γέροντες πρὸς δόμους πεπρωμένους
τούσδε,
πρὶν παθεῖν ἔρξαντα καιρὸν χρὴν τάδ' ὡς ἐπράξαμεν.
εἰ δέ τοι μόχθων γένοιτο τῶνδ' ἅλις, δεχοίμεθ' ἄν,
δαίμονος χηλῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι.
ὧδ' ἔχει λόγος γυναικός, εἴ τις ἀξιοῖ μαθεῖν.
ΑΙ.ἀλλὰ τούσδ' ἐμοὶ ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι
κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονος πειρωμένους,
σώφρονος γνώμης δ' ἁμαρτῆτον κρατοῦντα
ΧΟ.οὐκ ἂν Ἀργείων τόδ' εἴη, φῶτα προσσαίνειν κακόν.
ΑΙ.ἀλλ' ἐγώ σ' ἐν ὑστεραισιν ἡμέραις μέτειμ' ἔτι.
ΧΟ.οὔκ, ἐὰν δαίμων Ὀρέστην δεῦρ' ἀπευθύνῃ μολεῖν.
ΑΙ.οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.

1624. *τὸν οἰωνὸν δηλονότι.*

1615. *νιν* Spanhemius: *σύν* libri. post 1620. chori ducis versum intercidisse intellexit Hermannus. 1621. choro datur in libris. 1623. *μὴν κἀγά.* Porsonus. *πρόκοποσ a πρόκωπος b πρόκοπτος c.* 1624. *αἱρούμεθα* Auratus: *ἐρούμεθα* libri. 1625. *δράσωμεν* Victorius: *δράσομεν* libri. 1626. *θέρος* Schuetzius: *ὁ ἔρως* libri. 1627. *πημονῆς ἄλις δ'* Hermannus. *ὑπάρχει* Scaliger: *ὕπαρχε* libri. *αἱματώμεθα* Stanleius: *ἡματώμεθα* libri. 1629. *ἔρξαντες a ἔρξαντα bc.* 1630. *δεχοίμεθ'* Hermannus: *γ' ἐχοίμεθ'* libri. 1631. *χολῇ a χηλῇ bc.* 1633. *τούσδε μοι* libri. 1634. *δαίμονος* Casaubonus: *δαίμονας* libri. 1635. *σώφρονοσ γνώμησ κρατοῦντα b.* 1636. *προσαίνειν a.*

ΧΟ. πρᾶσσε, πιαίνου, μιαίνων τὴν δίκην· ἐπεὶ πάρα.
ΑΙ. ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν.
ΧΟ. κόμπασον θαρσῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας.
ΚΛ. μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων· [ἐγὼ]
καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων . . . . .

1644. ἐγώ, φησί, καὶ σὺ κρατοῦντες τῶνδε τῶν δωμάτων διαθησόμεθα τὰ καθ' αὑτοὺς καλῶς.

1642. θαρρῶν libri. ὥστε Scaliger: ὥσπερ libri. 1643. ἐγὼ supplevit Canterus. 1644. καλῶς in fine addebat idem.

AESCHYLI CHOEPHOROE.

1.

[OP. Ἑρμῆ χθόνιε πατρῷ' ἐποπτεύων κράτη,
σωτὴρ γενοῦ μοι σύμμαχός τ' αἰτουμένῳ·
ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι.
τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρὶ
κλύειν, ἀκοῦσαι

2.

πλόκαμον Ἰνάχῳ θρεπτήριον,
τὸν δεύτερον δὲ τόνδε πενθητήριον

3.

οὐ γὰρ παρὼν ᾤμωξα σόν, πάτερ, μόρον
οὐδ' ἐξέτεινα χεῖρ' ἐπ' ἐκφορᾷ νεκροῦ]

τί χρῆμα λεύσσω; τίς ποθ' ἥδ' ὁμήγυρις
στείχει γυναικῶν φάρεσιν μελαγχίμοις
πρέπουσα; ποίᾳ ξυμφορᾷ προσεικάσω;
πότερα δόμοισι πῆμα προσκυρεῖ νέον;
ἢ πατρὶ τῷμῷ τάσδ' ἐπεικάσας τύχω
χοὰς φερούσας νερτέροις μειλίγματα;
οὐδέν ποτ' ἄλλο· καὶ γὰρ Ἠλέκτραν δοκῶ
στείχειν ἀδελφὴν τὴν ἐμὴν πένθει λυγρῷ
πρέπουσαν. ὦ Ζεῦ, δός με τείσασθαι μόρον
πατρός, γενοῦ δὲ σύμμαχος θέλων ἐμοί.
Πυλάδη, σταθῶμεν ἐκποδών, ὡς ἂν σαφῶς

12. πρέπουσα: κοσμηθεῖσα. 13. ἀντὶ τοῦ πῆμα νέον.....

Frg. 1. Aristophanes Rann. 1126—28. 1138. 1152. 1153. 1172. 1173. frg. 2. schol. Pindar. Pyth. 4, 145. frg. 3. schol. Euripid. Alcest. 768. 15. μειλίγματα Casaubonus: μειλίγμασιν M. 18. τίσασθαι M.

ῥοπὴ δ' ἐπισκοπεῖ δίκας
ταχεῖα τοὺς μὲν ἐν φάει,
τὰ δ' ἐν μεταιχμίῳ σκότου
μένει χρονίζοντ' ἄχη βρύει·
τοὺς δ' ἄκραντος ἔχει νύξ.
str. 3. δι' αἵματ' ἐκποθέν θ' ὑπὸ χθονὸς τροφοῦ
τίτας φόνος πέπηγεν οὐ διαρρύδαν.
διαλγὴς ἄτη διαφέρει
τὸν αἴτιον παναρκέτας νόσου βρύειν.
antistr. 3. θιγόντι δ' οὔτι νυμφικῶν ἑδωλίων
ἄκος, πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ
βαίνοντες τὸν χερομυσῆ
φόνον καθαίροντες ἰοῦσαν μάταν.
epod. ἐμοὶ δ' ἀνάγκαν γὰρ ἀμφίπτολιν

55. ἡ δὲ τῆς δίκης ῥοπὴ τοὺς μὲν ἐπισκοπεῖ ταχέως καὶ ἀμύνεται, ἄλλοις δὲ ἐν ἀμφιβόλῳ ἐᾷ τὴν τιμωρίαν, οὐκ ἀθρόως αὐτοὺς ἀμυνομένη, ὥστε τοὺς ἡδικημένους ὑπ' αὐτῶν λυπεῖσθαι· ἄλλους δὲ σκότος καλύπτει, ὡς μηδ' ὁρᾶσθαι ὑπ' αὐτῆς. ὅμως ὁ φόνος πέπηγεν καὶ οὐ διαρρεῖ, ἀλλ' ἐπέξεισιν ἑαυτόν. 56. ἀντὶ (τοῦ add. Dind.) τοὺς μέν. φανερῶς. 57. ὅσα δὲ ὑπερτίθεται, ταῦτα σύν τε μεγάλῳ ἀπέτισαν (Hom. Il. Δ. 161). 58. ἀνθεῖ. 59. ἀντὶ τοῦ αἰώνιος θάνατος. 60. διὰ τὰ αἵματα. 61. τιμωρός. ἀντὶ τοῦ οὐ διαρρέων. 62. ἡ διαιωνίζουσα ἄτη, τοῦτ' ἔστιν ὁ φόνος. διασπαράσσει. 63. παναρκέτας: τῆς εἰς πάντα τὸν χρόνον ἀρκούσης αὐτῷ. λείπει τὸ ὥστε. τοῦτο ὥσπερ ἐπαδόμενόν ἐστιν. 64. νυμφικῶν ἑδῶ: τὸ γυναικεῖον αἰδοῖον λέγει. ὥσπερ τῷ ἐπιβάντι νυμφικῆς κλίνης οὐκ ἔστιν ἴασις πρὸς ἀναπαρθένευσιν τῆς κόρης, οὕτως οὐδὲ τῷ φονεῖ πάρεστι πόρος πρὸς ἄκεσιν τοῦ φόνου. 65. πάντες οἱ ποταμοὶ εἰς ἓν συνερχόμενοι. 67. ἀντὶ τοῦ τῆς ἐπιούσης αὐτῷ ἄτης. Ἀττικῶν δὲ τὸ πρὸς αἰτιατικὴν συντάσσειν, καθαίρω σε τὸν φόνον· τὸ δὲ κοινόν, καθαίρω σε τοῦ φόνου. 68. τὸ ἑξῆς, ἐμοὶ δὲ πρέποντα καὶ ὀφειλόμενά

---

55. *δίκας* schol.: *δίκαν* M. 56. *τούς* Turnebus: *τοῖσ* M. 59. *ἄκρατος* Schuetzius. 60. *ἐκποθέν θ'* Schuetzius: *ἔκποθεν* M. post 63. iterat M *τοὺς δ' ἄκραντος ἔχει νύξ* verba e 59. repetita. delevit ea Porsonus. 64. *θιγόντι* Stephanus: *οἴγοντι* M. 66. *χερομυσῆ* Porsonus: *χαιρομυσῆ* M. 67. fort. *ἴθυσαν*. *μάτην* Scaliger: *ἄτην* M.

θεοὶ προσήνεγκαν· ἐκ γὰρ οἴκων
πατρῴων δούλιον ἑσᾶγον αἶσαν,
δίκαια καὶ μὴ δίκαια,
πρέποντ' ἀρχὰς βίου
βίᾳ φερομένων αἰνέσαι, πικρὸν φρενῶν
στύγος κρατούσῃ. δακρύω δ' ὑφ' εἱμάτων
ματαίοισι δεσπόταν τύχαις,
κρυφαίοις πένθεσιν παχνουμένη.

ΗΛ. δμῳαὶ γυναῖκες, δωμάτων εὐθήμονες,
ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοὶ
πομποί, γένεσθε τῶνδε σύμβουλοι πέρι·
τύφω χέουσα τάσδε κηδείους χοὰς
πῶς εὔφρον' εἶπω, πῶς κατεύξωμαι πατρί;
πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν
γυναικὸς ἀνδρί, τῆς ἐμῆς μητρὸς πάρα;
τῶνδ' οὐ πάρεστι θάρσος, οὐδ' ἔχω τί φῶ,
χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρός.

ἐστιν ἀπαρχὰς βίου τὰ τῶν βίᾳ με φερομένων αἰνέσαι πικρὸν φρενῶν στάγος (στύγος Vict.) κρατούσῃ. ἀνάγκην γάρ μοι οἱ θεοὶ προσήνεγκαν. ἀμφίπτολιν: τὴν ἐκ διαφόρων πόλεων ἀνάγκην, ὅ ἐστι πόλεμον· ὡς ἀμφιμάτορας κόρους φησὶν ὁ Εὐριπίδης (Androm. 465). ἐκ διαφόρων γὰρ πόλεων ἦσαν οἱ Ἕλληνες. 71. εἴτε δικαίως, εἴτε μή. ἔστι δὲ παροιμία δοῦλε, δεσποτῶν ἄκουε καὶ δίκαια καὶ ἄδικα. 72. πρέποντ' ἀρχὰς βίου: πρέποντά μοι ἐστι καὶ ὀφειλόμενα, ἐξότε τοῦτον ἐπανῄρημαι τὸν βίον, τὰ τῶν πρὸς βίαν κεκτημένων ἐπαινέσαι, καλυπτούσῃ τὴν κατ' αὐτῶν ἀποστύγησιν καὶ μηδὲ παρρησίᾳ τὸν δεσπότην κλαιούσῃ. 75. ἐπὶ ματαίαις τύχαις. 76. (immo 74.) τοῦτ' ἔστι, μὴ ἐκφαινούσῃ τὸ μύσος (l. μῖσος) τὸ κατὰ Κλυταιμνήστρας. 77. εὐθήμονες: τοῦτ' ἔστιν ὑπηρέτιδες εὖ τιθεῖσαι τὰ κατὰ τὸν οἶκον. 80. κηδείους: συγγενικάς. 81. λείπει λόγον. 84. τῶνδ': τῶν λόγων. 85. πᾶν τὸ ἐπιθυόμενον οὕτω καλοῦσι.

---

71. alterum δίκαια delebat Hermannus. 72. ἀρχαῖς Sophianus. 73. πικρόν schol.: πικρῶν M. 76. παχνουμένη Turnebus: παχνουμένην M. 77. paragrapho notatus in M. δμωαὶ M. 79. γένεσθαι M. 80. τύφω, adscripto οἶμαι τύμβῳ, M. τί φῶ Ahrens. χέουσα Turnebus: δὲ χέουσα M. 81. κατεύξωμαι Turnebus: κατεύξομαι M.

ἦ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς
ἔστ' ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
στέφη, δόσιν γε τῶν κακῶν ἐπαξίαν;
ἦ σῖγ' ἀτίμως, ὥσπερ οὖν ἀπώλετο
πατήρ, τάδ' ἐκχέασα, γάποτον χύσιν,
στείχω, καθάρμαθ' ὡς τις ἐκπέμψας πάλιν
δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν;
τῆσδ'· ἐστὲ βουλῆς, ὦ φίλαι, μεταίτιαι·
κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν.
μὴ κεύθετ' ἔνδον καρδίας φόβῳ τινός.
τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει
καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
λέγοις ἄν, εἴ τι τῶνδ' ἔχεις ὑπέρτερον.

XO. αἰδουμένη σοι βωμὸν ὡς τύμβον πατρὸς
λέξω, κελεύεις γάρ, τὸν ἐκ φρενὸς λόγον.

ΗΛ. λέγοις ἄν, ὥσπερ ἠδέσω τάφον πατρός.

XO. φθέγγου χέουσα σεμνὰ τοῖσιν εὐφρόσιν.

ΗΛ. τίνας δὲ τούτους τῶν φίλων προσεννέπω;

87. ἀντὶ τοῦ τὰς χοάς. 88. παρ' ὑπόνοιαν. ἔδει γὰρ τῶν καλῶν εἰπεῖν. 90. ἐπεξηγήσατο τί εἰσιν ἃ φέρει διὰ τοῦ ε γάποτον χύσιν. 91. στείχω, καθάρμαθ' ὡς τις ἐκπ: τοῦτο πρὸς τὸ παρ' Ἀθηναίοις ἔθος, ὅτι καθαίροντες οἰκίαν ὀστρακίνῳ θυμιατηρίῳ ῥίψαντες ἐν ταῖς τριόδοις τὸ ὄστρακον ἀμεταστρεπτεὶ ἀνεχώρουν. εἰς τοὐπίσω ἀναχωρήσω. πρὸς τὸν Ἀθήνησι νόμον. 92. τὸ ἑξῆς οὕτως, δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασι στείχω πάλιν, καθάρματα ὡς τις ἐκπέμψας. 93. γίνεσθε. ἀναδέξασθε τὴν αἰτίαν τῆς βουλῆς. μεταίτιαι: ἀντὶ τοῦ σύμβουλοι. 95. τὴν βουλήν. 96. ἀντὶ τοῦ οὐδὲν πείσεσθε παρὰ τὸ μόρσιμον. 98. τῶν ὑπ' ἐμοῦ ἀνωτέρω λεγομένων. 100. λέξω σοι τὸν ἐκ φρενὸς λόγον, αἰδουμένη τὸν Ἀγαμέμνονος τύμβον ὡς βωμόν. 102. χέουσα τὰς χοὰς εὖξαι ἀγαθὰ τοῖς εὖ φρονοῦσι τῷ Ἀγαμέμνονι δηλονότι. 103. τοὺς εὖ φρονοῦντας αὐτῷ. ὀνομάσω.

---

87. ἴσ' ἀντιδοῦναι Bambergerus. 88. γε Stanleius: τε M. 90. ἐκχέασα Dindorfius: ἐκχέουσα M. 93. μεταίτιοι Blomfieldus. 98. ἔχεις Jacobsius: ἔχοις M. 99—117. (118) singulis singulae paragraphi praefixae in M, exceptis 100 et 102. 102. κεδνά Hartungus.

ΧΟ. πρῶτον μὲν αὐτὴν χὥστις Αἴγισθον στυγεῖ.
ΗΛ. ἐμοί τε καὶ σοί τἄρ' ἐπεύξωμαι τάδε;
ΧΟ. αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι.
ΗΛ. τίν' οὖν ἔτ' ἄλλον τῇδε προστιθῶ στάσει;
ΧΟ. μέμνησ' Ὀρέστου, κεἰ θυραῖός ἐσθ' ὅμως.
ΗΛ. εὖ τοῦτο, κἀφρένωσας οὐχ ἥκιστά με.
ΧΟ. τοῖς αἰτίοις νῦν τοῦ φόνου μεμνημένη
ΗΛ. τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη.
ΧΟ. ἐλθεῖν τιν' αὐτοῖς δαίμον' ἢ βροτῶν τινα
ΗΛ. πότερα δικαστὴν ἢ δικηφόρον λέγεις;
ΧΟ. ἁπλῶς τι φράζουσ', ὅστις ἀνταποκτενεῖ.
ΗΛ. καὶ ταῦτά μοὐστὶν εὐσεβῆ θεῶν πάρα;
ΧΟ. πῶς δ' οὔ, τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς;
ΗΛ. κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω,
. . . . . Ἑρμῆ χθόνιε, κηρύξας ἐμοί,
τοὺς γῆς ἔνερθε δαίμονας κλύειν ἐμὰς
εὐχάς, πατρῴων αἱμάτων ἐπισκόπους,
καὶ γαῖαν αὐτήν, ἣ τὰ πάντα τίκτεται,
θρέψασά τ' αὖθις τῶνδε κῦμα λαμβάνει.
κἀγὼ χέουσα τάσδε χέρνιβας νεκροῖς
λέγω καλοῦσα πατέρ', ἐποίκτιρόν τ' ἐμὲ
φίλον τ' Ὀρέστην πῶς ἀνάξομεν δόμοις.
πεπραμένοι γὰρ νῦν γέ πως ἀλώμεθα

104. σεαυτὴν δηλονότι κἀκεῖνον ὅστις Αἴγισθον στυγεῖ. 106. σὺ σκόπησον τίς στυγεῖ Αἴγισθον. οὐκ ἐμὸν γὰρ εἰπεῖν. 107. τῇ συστάσει ἡμῶν. 113. κριτὴν ἢ τιμωρόν· ὃ ἐστιν ἀκουσόμενον τοῦ πράγματος, ἢ πρὸ ἀκοῆς τὴν τιμωρίαν ἐπάγοντα, ὡς ἀναμφιβόλου ὄντος τοῦ κακοῦ. 115. καὶ ταῦτα: καὶ τὸ ταῦτα εἰπεῖν παρὰ θεῶν ὅσιά μοι κρίνεται; 116. πῶς. ἵνα. 117. ὡς ἐν μέσῳ ἱδρυμένων. 120. νῦν γὰρ ἐπισκόπους. 122. θρέψασα ἡ γῆ τὸν σπόρον τοῖς ἐπιοῦσι καρποῖς ἀπ' αὐτοῦ κύημα λαμβάνει. 125. πῶς: ἀντὶ τοῦ ὅπως. βασιλεύσομεν. 126. πεπραγμένοι: νενικημένοι, κατηγωνισμένοι.

105. ἐπεύξωμαι Dobraeus: ἐπεύξομαι M. 113. λέγω Weilius. 114. ἁπλωστί Hermannus. 117. in M inter 157 et 158 collocatum huc transtulit Hermannus. μέγιστε Stanleius: μεγίστη M. 120. αἱμάτων Ahrens: δ' ὀμμάτων M. 123. βροτοῖσ M, γρ. νεκροῖσ m. 124. ἐποίκτειρόν τ' M. 125. φῶς τ' ἄναρχον ἐν δόμοις Schneidewinus. 126. πεπραμένοι Casaubonus: πεπραγμένοι M.

πρὸς τῆς τεκούσης, ἄνδρα δ' ἀντηλλάξατο
Αἴγισθον, ὅσπερ σοῦ φόνου μεταίτιος.
κἀγὼ μὲν ἀντίδουλος· ἐκ δὲ χρημάτων
φεύγων Ὀρέστης ἐστίν, οἳ δ' ὑπερκόπως
ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα.
ἐλθεῖν δ' Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ
κατεύχομαί σοι, καὶ σὺ κλῦθί μου, πάτερ·
αὐτῇ τέ μοι δὸς σωφρονεστέραν πολὺ
μητρὸς γενέσθαι χεῖρά τ' εὐσεβεστέραν.
ἡμῖν μὲν εὐχὰς τάσδε· τοῖς δ' ἐναντίοις
λέγω φανῆναί σου, πάτερ, τιμάορον,
καὶ τοὺς κτανόντας ἀντικατθανεῖν δίκην.
ταῦτ' ἐν μέσῳ τίθημι τῆς κακῆς ἀρᾶς,
κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν·
ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω
σὺν θεοῖσι καὶ γῇ καὶ δίκῃ νικηφόρῳ.
τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοάς.
ὑμᾶς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος,
παιᾶνα τοῦ θανόντος ἐξαυδωμένας.

XO. ἴετε δάκρυ καναχὲς ὀλόμενον
ὀλομένῳ δεσπότᾳ,
πρὸς ἔρυμα τόδε κακῶν κεδνῶν τ'
ἀπότροπον ἄγος ἀπεύχετον

129. ἀντίδουλος: ἰσόδουλος, ἐν δούλης τάξει. 130. ὑπερηφάνως. 131. τρυφῶσιν. 136. τοῖς δὲ ἐχθροῖς σου λέγω σε φανῆναι τιμωρόν. 139. ἐν κεφαλαίῳ, ἐν ὑποθέσει τίθημι. 141. ἀντὶ τοῦ ἴσο. 144. στέφειν ὡς ἄνθεσι. 145. ὅτι ἐπὶ ἀποθανόντος παιᾶνα εἶπεν κακῶς. καὶ Εὐριπίδης (Alcest. 426) παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ. 146. καναχές: καναχηδὸν δακρύετε. ἠχητικόν. 148. τὸν τάφον. 149. τὸ ἑξῆς, ἐκκεχυμένων χοᾶν πρὸς ἔρυμα τόδε ἴετε δάκρυ. ἄγος ἀπεύχετον: τὸ δάκρυ γὰρ ἀπευκτὸν ἄγος εἶπεν· ἀπότροπον τῶν ἡμετέρων κακῶν καὶ τῶν ἀγαθῶν τῶν ἐχθρῶν.

---

130. φεύγων Robortellus: φεύγειν M. 131. μέγα Turnebus: μέτα M. 138. γρ. ἀντικατακτανεῖν m. δίκῃ Scaliger. 141. τῶν Robortellus: τῶν M. 146. paragrapho notat M. 149. ἄγος schol.: ἄλγος M.

κεχυμένων χοᾶν. κλύε δέ μοι, κλύε
σέβας, ὦ δέσποτ', ἐξ ἀμαυρᾶς φρενός.
ὀτοτοτοτοτοτοῖ,
ἰὼ τίς δορυσθενὴς ἀνὴρ ἀναλυτὴρ δόμων,
Σκυθικά τ' ἐν χεροῖν παλίντον'
ἐν ἔργῳ βέλη Ἰπιπάλλων Ἄρης
σχέδιά τ' αὐτόκωπα νωμῶν βέλη.
ΗΛ. ἔχει μὲν ἤδη γαπότους χοὰς πατήρ,
νέου δὲ μύθου τοῦδε κοινωνήσατε.
ΧΟ. λέγοις ἄν· ὀρχεῖται δὲ καρδία φόβῳ.
ΗΛ. ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ.
ΧΟ. τίνος ποτ' ἀνδρὸς ἢ βαθυζώνου κόρης;
ΗΛ. εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι.
ΧΟ. πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω;
ΗΛ. οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν.
ΧΟ. ἐχθροὶ γὰρ οἷς προσῆκε πενθῆσαι τριχί.
ΗΛ. καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος.
ΧΟ. ποίαις ἐθείραις; τοῦτο γὰρ θέλω μαθεῖν.
ΗΛ. αὐτοῖσιν ἡμῖν κάρτα προσφερὴς ἰδεῖν.
ΧΟ. μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ἦν τόδε;
ΗΛ. μάλιστ' ἐκείνου βοστρύχοις προσείδεται.
ΧΟ. καὶ πῶς ἐκεῖνος δεῦρ' ἐτόλμησεν μολεῖν;
ΗΛ. ἔπεμψε χαίτην κουρίμην χάριν πατρός.

151. τῆς ἀσθενοῦς, ὡς πρὸς σύγκρισιν Ἠλέκτρας. ἢ ὅτι σκιὰ οἱ νεκροί. 153. τῶν ἐν τοῖς δόμοις κακῶν. 155. ἐν τῷ ἔργῳ, ἐν τῷ βάλλειν. σὺν ἔργῳ πάλλων, ὅ ἐστι μὴ μόνον φέρων, ἀλλὰ καὶ πράττων. 156. τὰ ἀφ' ἑαυτῶν ἔχοντα τὴν λαβὴν ξίφη. σχέδια δὲ ἐκ τοῦ σχεδὸν φονεύοντα καὶ οὐ πόρρωθεν, ὥσπερ τὰ βέλη. 159. λίαν κινεῖται. 165. λείπει τὸ εἰσίν. 166. ὅδε: ὁ πλόκαμος. συγγενής.

151. *σεβάσω δεσπότα* M. 153. *ἴτω τις* Bothius. 154. *Σκυθικά τ'* Robortellus: *σκυθιτάτ'* M. 155. dele *βέλη*. 156. *γρ. ἕτοιμα* adscripsit *m*. 157. personae nota nulla in M. *γαπότους* Turnebus: *ἀπό, του* M. 157. 158. cf. ad 117. 159—175. singulis paragraphi adpictae in M. 159. *ἄν· ὀρχεῖται* Turnebus: *ἀνορχεῖται* M. 164. *κείραιτό νιν* Turnebus: *κειρετόνειν*, superscripto *νιν*, M. 169. *ἦν* Scholefieldus: *ἦ* M. 172. *ἔπεμψε χαίτην* Victorius: *ἔπεμψεν καὶ τὴν* M. *πατρί* Turnebus.

XO. οὐχ ἧσσον εὐδάκρυτά μοι λέγεις τάδε,
εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδί.
HΛ. κἀμοὶ προσέστη καρδίας κλυδώνιον
χολῆς, ἐπαίσθην δ' ὡς διανταίῳ βέλει·
ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι
σταγόνες ἄφαρκτοι δυσχίμου πλημμυρίδος,
πλόκαμον ἰδούσῃ τόνδε· πῶς γὰρ ἐλπίσω
ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης;
ἀλλ' οὐδὲ μήν νιν ἥ κτανοῦσ' ἐκείρατο,
ἐμὴ δὲ μήτηρ, οὐδαμῶς ἐπώνυμον
φρόνημα παισὶ δύσθεον πεπαμένη.
ἐγὼ δ' ὅπως μὲν ἄντικρυς τάδ' αἰνέσω,
εἶναι τόδ' ἀγλάισμά μοι τοῦ φιλτάτου
βροτῶν Ὀρέστου· σαίνομαι δ' ὑπ' ἐλπίδος.
φεῦ.
εἴθ' εἶχε φωνὴν εὔφρον' ἀγγέλου δίκην,
ὅπως δίφροντις οὖσα μὴ κινυσσόμην,
ἀλλ' εὖ σάφ' ἦν ἥ τόνδ' ἀποπτύσαι πλόκον,
εἴπερ γ' ἀπ' ἐχθροῦ κρατὸς ἦν τετμημένος,
ἦ ξυγγενὴς ὢν εἶχε συμπενθεῖν ἐμοί,
ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρός.
ἀλλ' εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα,
οἵοισιν ἐν χειμῶσι ναυτίλων δίκην

175. *κίνησις τῆς χολῆς τῆς κατ' αὐτόν.* 176. *ὡς βέλει ἐκρούσθην ἐξ ἐναντίας τιτρώσκοντι.* 177. *ποθειναί μοι. πρώην ἄρευστοι. δίψιον Ἄργος τό ποτε ἄνυδρον.* 182. *οὐκ ἄξιον τοῦ ὀνομάζεσθαι ὑπὸ τῶν τέκνων ἑαυτῆς μήτηρ.* 183. *τὸ δύσθεον φρόνημα οὐδαμῶς ἐπώνυμον μητρὸς πεπαμένη.* 184. *λείπει οὐκ ἔχω.* 186. *παραμυθοῦμαι.* 187. *εἴθ' εἶχε: ὁ πλόκαμος δηλονότι.* 188. *δίφροντις: διχογνώμων. ἐφανταζόμην. κήνυμα (κίνυγμα* Stanleius) *γὰρ τὸ εἴδωλον.* 189. *εὖ: ἀντὶ τοῦ ἀκριβῶς. μισῆσαι.* 192. *λείπει ἡ εἰς.* 194. *τρόπῳ ναυτῶν. ὅτι κατὰ δοτικὴν δίκῃ.*

χ ηι
173. *οὐκ* M. 174. *ψαύσει* M. 175. *καρδίᾳ* Scaliger. 176. *ἐπαίσθην* Canterus: *ἐπαίθην* M. 178. *ἄφρακτοι* M. 187. *ἔμφρον'* Auratus. 188. *κινυσσόμην* Turnebus: *κηνυσσόμην* M. 189. *εὖ σάφ' ἦν ἥ* Wellauerus: *εὖ σαφηνῆ* M. 193—196. post 203. collocavit Butlerum secutus Weilius. 194. *δίκην* Ald.: *δίκηι* M.

στροβούμεθ' · εἰ δὲ χρὴ τυχεῖν σωτηρίας,
σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πυθμήν.
καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον·
ποδῶν δ' ὅμοιοι τοῖς τ' ἐμοῖσιν ἐμφερεῖς
καὶ γὰρ δύ' ἐστὸν τώδε περιγραφὰ ποδοῖν,
αὐτοῦ τ' ἐκείνου καὶ συνεμπόρου τινός.
πτέρναι, τενόντων θ' ὑπογραφαὶ μετρούμεναι
εἰς ταὐτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις.
πάρεστι δ' ὠδὶς καὶ φρενῶν καταφθορά.
ΟΡ. εὔχου τὰ λοιπά, τοῖς θεοῖς τελεσφόρους
εὐχὰς ἐπαγγέλλουσα, τυγχάνειν καλῶς.
ΗΛ. ἐπεὶ τί νῦν ἔκατι δαιμόνων κυρῶ;
ΟΡ. εἰς ὄψιν ἥκεις ὥνπερ ἐξηύχου πάλαι.
ΗΛ. καὶ τίνα σύνοισθά μοι καλουμένῃ βροτῶν;
ΟΡ. σύνοιδ' Ὀρέστην πολλά σ' ἐκπαγλουμένην.
ΗΛ. καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων;
ΟΡ. ὅδ' εἰμί· μὴ μάτευ' ἐμοῦ μᾶλλον φίλον.
ΗΛ. ἀλλ' ἢ δόλον τιν', ὦ ξέν', ἀμφί μοι πλέκεις;
ΟΡ. αὐτὸς καθ' αὑτοῦ τἄρα μηχανορραφῶ.
ΗΛ. ἀλλ' ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις.
ΟΡ. κἀν τοῖς ἐμοῖς ἄρ', εἴπερ ἔν γε τοῖσι σοῖς.
ΗΛ. ὡς ὄντ' Ὀρέστην τάδε σ' ἐγὼ προσεννέπω;

196. ἀντὶ τοῦ, εἰ Ὀρέστου ἐστὶν ὁ πλόκαμος, γένοιτ' ἂν ἐκ μικρᾶς προφάσεως μέγα ἀγαθόν. 197. τὸ ἑξῆς, καὶ μὴν δεύτερον τεκμήριον. οἱ ἐν τῇ γῇ τύποι τῶν ποδῶν. 198. ἐπειδὴ ἄδηλον τίσιν ὅμοιοι, ἐπήγαγε τοῖς δ' ἐμοῖσιν ἐμφερεῖς. 201. τὴν εἰς μῆκος τῶν ποδῶν ἔκτασιν τένοντάς φησιν. 203. ἀλληγηδὼν καὶ λύπη, καὶ ὥσπερ ὠδίνω τὰ παρόντα. 206. ἐπειδὴ τί νῦν λαμβάνω ἐκ δαιμόνων; τίνος γὰρ ἤδη ἐπέτυχον ὑπὸ θεῶν, ὅτι εἶπες τὰ λοιπά; 209. ἐκπαγλουμένην: ἐκπάγλως θαυμάζουσαν. 210. ἐπέτυχον.

198. δ' delevit Turnebus. 199. 200. post 203. censeo transferendos. 204—217. paragraphis adpositis notantur personarum vices in M, praeter 211, cui praescriptum ὀρ. 207. ἐξηύχου Robortellus: ἐξηύκου M. 209. ἐκπαγλουμένην scholiasta: ἐκπαγλουμένης M. 211. μάτευ' b: μάστευ' M. 213. κατ' αὐτοῦ M. ταρρα M. 215. ἐμοῖς Turnebus: ἐμοῖσιν M. 216. τάδε σ' ἐγὼ προσεννέπω Arnaldus: τάδ' ἐγά σε προὐννέπω M.

ΧΟ. *οὐχ ἧσσον εὐδάκρυτά μοι λέγεις τάδε,*
εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδί.
ΗΛ. *κἀμοὶ προσέστη καρδίας κλυδώνιον*
χολῆς, ἐπαίσθην δ' ὡς διανταίῳ βέλει·
ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι
σταγόνες ἄφαρκτοι δυσχίμου πλημμυρίδος,
πλόκαμον ἰδούσῃ τόνδε· πῶς γὰρ ἐλπίσω
ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης;
ἀλλ' οὐδὲ μήν νιν ἥ κτανοῦσ' ἐκείρατο,
ἐμὴ δὲ μήτηρ, οὐδαμῶς ἐπώνυμον
φρόνημα παισὶ δύσθεον πεπαμένη.
ἐγὼ δ' ὅπως μὲν ἄντικρυς τάδ' αἰνέσω,
εἶναι τόδ' ἀγλάισμά μοι τοῦ φιλτάτου
βροτῶν Ὀρέστου· σαίνομαι δ' ὑπ' ἐλπίδος.
φεῦ.
εἴθ' εἶχε φωνὴν εὔφρον' ἀγγέλου δίκην,
ὅπως δίφροντις οὖσα μὴ κινυσσόμην,
ἀλλ' εὖ σάφ' ἦν ἡ τόνδ' ἀποπτύσαι πλόκον,
εἴπερ γ' ἀπ' ἐχθροῦ κρατὸς ἦν τετμημένος,
ἢ ξυγγενὴς ὢν εἶχε συμπενθεῖν ἐμοί,
ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρός.
ἀλλ' εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα,
οἵοισιν ἐν χειμῶσι ναυτίλων δίκην

175. *κίνησις τῆς χολῆς τῆς κατ' αὐτόν.* 176. *ὡς βέλει ἐκρούσθην ἐξ ἐναντίας τιτρώσκοντι.* 177. *ποθειναί μοι. πρώην ἄρευστοι. δίψιον Ἄργος τό ποτε ἄνυδρον.* 182. *οὐκ ἄξιον τοῦ ὀνομάζεσθαι ὑπὸ τῶν τέκνων ἑαυτῆς μήτηρ.* 183. *τὸ δύσθεον φρόνημα οὐδαμῶς ἐπώνυμον μητρὸς πεπαμένη.* 184. *λείπει οὐκ ἔχω.* 186. *παραμυθοῦμαι.* 187. *εἴθ' εἶχε: ὁ πλόκαμος δηλονότι.* 188. *δίφροντις: διχογνώμων. ἐφανταζόμην. κήνυμα* (*κίνυγμα* Stanleius) *γὰρ τὸ εἴδωλον.* 189. *εὖ: ἀντὶ τοῦ ἀκριβῶς. μισῆσαι.* 192. *λείπει ἡ εἰς.* 194. *τρόπῳ ναυτῶν. ὅτι κατὰ δοτικὴν δίκη.*

χ ηι
173. *οὐκ* M. 174. *ψαύσει* M. 175. *καρδίᾳ* Scaliger. 176. *ἐπαίσθην* Canterus: *ἐπαίθην* M. 178. *ἄφρακτοι* M. 187. *ἔμφρον'* Auratus. 188. *κινυσσόμην* Turnebus: *κηνυσσόμην* M. 189. *εὖ σάφ' ἦν ἥ* Wellauerus: *εὖ σαφηνῆ* M. 193—196. post 203. collocavit Butlerum secutus Weilius. 194. *δίκην* Ald.: *δίκηι* M.

στροβούμεθ᾽· εἰ δὲ χρὴ τυχεῖν σωτηρίας,
σμικροῦ γένοιτ᾽ ἂν σπέρματος μέγας πυθμήν.
καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον·
ποδῶν δ᾽ ὅμοιοι τοῖς τ᾽ ἐμοῖσιν ἐμφερεῖς
καὶ γὰρ δύ᾽ ἐστὸν τώδε περιγραφὰ ποδοῖν,
αὐτοῦ τ᾽ ἐκείνου καὶ συνεμπόρου τινός.
πτέρναι, τενόντων θ᾽ ὑπογραφαὶ μετρούμεναι
εἰς ταὐτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις.
πάρεστι δ᾽ ὠδὶς καὶ φρενῶν καταφθορά.
ΟΡ. εὔχου τὰ λοιπά, τοῖς θεοῖς τελεσφόρους
εὐχὰς ἐπαγγέλλουσα, τυγχάνειν καλῶς.
ΗΛ. ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;
ΟΡ. εἰς ὄψιν ἥκεις ὥνπερ ἐξηύχου πάλαι.
ΗΛ. καὶ τίνα σύνοισθά μοι καλουμένη βροτῶν;
ΟΡ. σύνοιδ᾽ Ὀρέστην πολλά σ᾽ ἐκπαγλουμένην.
ΗΛ. καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων;
ΟΡ. ὅδ᾽ εἰμί· μὴ μάτευ᾽ ἐμοῦ μᾶλλον φίλον.
ΗΛ. ἀλλ᾽ ἦ δόλον τιν᾽, ὦ ξέν᾽, ἀμφί μοι πλέκεις;
ΟΡ. αὐτὸς καθ᾽ αὑτοῦ τἄρα μηχανορραφῶ.
ΗΛ. ἀλλ᾽ ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις.
ΟΡ. κἀν τοῖς ἐμοῖς ἄρ᾽, εἴπερ ἔν γε τοῖσι σοῖς.
ΗΛ. ὡς ὄντ᾽ Ὀρέστην τάδε σ᾽ ἐγὼ προσεννέπω;

196. ἀντὶ τοῦ, εἰ Ὀρέστου ἐστὶν ὁ πλόκαμος, γένοιτ᾽ ἂν ἐκ μικρᾶς προφάσεως μέγα ἀγαθόν. 197. τὸ ἐξῆς, καὶ μὴν δεύτερον τεκμήριον. οἱ ἐν τῇ γῇ τύποι τῶν ποδῶν. 198. ἐπειδὴ ἄδηλον τίσιν ὅμοιοι, ἐπήγαγε τοῖς δ᾽ ἐμοῖσιν ἐμφερεῖς. 201. τὴν εἰς μῆκος τῶν ποδῶν ἔκτασιν τένοντάς φησιν. 203. ἀλγηδὼν καὶ λύπη, καὶ ὥσπερ ὠδίνω τὰ παρόντα. 206. ἐπειδὴ τί νῦν λαμβάνω ἐκ δαιμόνων; τίνος γὰρ ἤδη ἐπέτυχον ὑπὸ θεῶν, ὅτι εἶπες τὰ λοιπά; 209. ἐκπαγλουμένην: ἐκπάγλως θαυμάζουσαν. 210. ἐπέτυχον.

198. δ᾽ delevit Turnebus. 199. 200. post 203. censeo transferendos. 204—217. paragraphis adpositis notantur personarum vices in M, praeter 211, cui praescriptum ὀρ. 207. ἐξηύχου Robortellus: ἐξηύκου M. 209. ἐκπαγλουμένην scholiasta: ἐκπαγλουμένης M. 211. μάτευ᾽ b: μάστευ᾽ M. 213. κατ᾽ αὐτοῦ M. ταρρα M. 215. ἐμοῖς Turnebus: ἐμοῖσιν M. 216. τάδε σ᾽ ἐγὼ προσεννέπω Arnaldus: τάδ᾽ ἐγά σε προὐννέπω M.

ΟΡ. αὐτὸν μὲν οὖν ὁρῶσα δυσμαθεῖς ἐμέ,
κουρὰν δ' ἰδοῦσα τήνδε κηδείου τριχὸς
ἀνεπτερώθης κἀδόκεις ὁρᾶν ἐμέ,
ἰχνοσκοποῦσά τ' ἐν στίβοισι τοῖς ἐμοῖς.
σαυτῆς ἀδελφοῦ συμμέτρου τῷ σῷ κάρᾳ
σκέψαι τομῇ προσθεῖσα βόστρυχον τριχός.
ἰδοῦ δ' ὕφασμα τοῦτο, σῆς ἔργον χερός,
σπάθης τε πληγάς, εἰς δὲ θήρειον γραφήν.
ἔνδον γενοῦ, χαρᾷ δὲ μὴ 'κπλαγῇς φρένας·
τοὺς φιλτάτους γὰρ οἶδα νῷν ὄντας πικρούς.

ΗΛ. ὦ φίλτατον μέλημα δώμασιν πατρός,
δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου,
ἀλκῇ πεποιθὼς δῶμ' ἀνακτήσῃ πατρός.
ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον
ἐμοί· προσανδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον
πατέρα τε καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει
στέργηθρον· ἡ δὲ πανδίκως ἐχθαίρεται·
καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου·
πιστὸς δ' ἀδελφὸς ἦσθ', ἐμοὶ σέβας φέρων.
μόνον Κράτος τε καὶ Δίκη σὺν τῷ τρίτῳ
πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό σοι.

ΟΡ. Ζεῦ Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ·

217. ἀπιστεῖς. 218. τῆς ἐπὶ κηδείᾳ τετμημένης. 221. παραπλησίου. 223. οὐ πάντως ἐν τῷ νῦν χιτῶνι, ἀλλ' εἰκὸς αὐτὸν ἔξωθεν ἔχειν παιδικὸν σπάργανον. 224. παρὰ τὸ ἐν προτέροισι πόδεσσι κύων ἔχε (Hom. Od. τ. 228). 228. ἢ ὅτι παρ' ἐλπίδας ὤφθη, ἢ ὅτι φανεὶς δάκρυα αὐτῇ ἐκίνησε. 231. ὁ δὲ ἀντὶ τοῦ γάρ. 233. ἐν σοὶ ὁρῶ μητέρα στεργόμενον, αὕτη δὲ ἀπέχθεταί μοι. 234. ἀπὸ κοινοῦ τὸ εἰς σέ μοι ῥέπει στέργηθρον. 238. Θεατής.

217. οὖν Turnebus: νῦν M. 220. post 218. reiecit Robortellus. 222. σκέψαι τομῇ Turnebus: σκέψαιτο μὴ M. 224. ἥδε Turnebus. θήρειον Bambergerus: θηρίον M. 225. μὴ 'κπλαγῇς Turnebus: μὴκπλαγιῇ M. 228. σωτήριος Schuetzius. 230—235. Rossbachium secutus inter 224 et 225 collocavit Weilius, 227—29 et 236. 237 coniunctos choro tribuens. 236. μόνον Turnebus: μόνος M. 237. σοι Stanleius: μοι M. 238. personae nota omissa in M. πραγμάτων Robortellus: πρηγμάτων M.

ἰδοῦ δὲ γένναν εὔνιν αἰετοῦ πατρός,
θανόντος ἐν πλεκταῖσι καὶ σπειράμασιν
δεινῆς ἐχίδνης. τοὺς δ' ἀπωρφανισμένους
νῆστις πιέζει λιμός· οὐ γὰρ ἐντελὴς
θήραν πατρῴαν προσφέρειν σκηνήμασιν.
οὕτω δὲ κἀμὲ τήνδε τ', Ἠλέκτραν λέγω,
ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον,
ἄμφω φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων.
καίτοι θυτῆρος καί σε τιμῶντος μέγα
πατρὸς νεοσσοὺς τούσδ' ἀποφθείρας πόθεν
ἕξεις ὁμοίας χειρὸς εὔθοινον γέρας;
οὔτ' αἰετοῦ γένεθλ' ἀποφθείρας πάλιν
πέμπειν ἔχοις ἂν σήματ' εὐπιθῆ βροτοῖς,
οὔτ' ἀρχικός σοι πᾶς ὅδ' αὐανθεὶς πυθμὴν
βωμοῖς ἀρήξει βουθύτοις ἐν ἥμασιν.
κόμιζ', ἀπὸ σμικροῦ δ' ἂν ἄρειας μέγαν
δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι.
ΧΟ. ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρός,
σιγᾶθ', ὅπως μὴ πεύσεταί τις, ὦ τέκνα,
γλώσσης χάριν δὲ πάντ' ἀπαγγείλῃ τάδε
πρὸς τοὺς κρατοῦντας· οὓς ἴδοιμ' ἐγώ ποτε
θανόντας ἐν κηκῖδι πισσήρει φλογός.

239. ἡμεῖς (ἡμᾶς Dind.) δηλονότι. 241. ἀντὶ τοῦ ἡμᾶς. 242. οὐκ ἔστι γέννα ἐντελής, ὥστε τὴν πατρῴαν θήραν προσάγειν τῇ καλιᾷ. 248. ἐὰν ἀποκτείνῃς ἡμᾶς. 249. εὔθυνον διὰ τοῦ υ τὸ δίκαιον σημαίνει, διὰ δὲ τῆς οι καλὴν εὐωχίαν ἔχον γέρας, παρὰ τὸ θοίνην (θοίνη Vict.). 250. ὅστε οἱ αὐτῷ φίλτατος οἰωνῶν (Hom. Il. Ω. 292). 253. ἀντὶ τοῦ ἐπιμελήσεται τῶν βωμῶν. 254. καθ' ἑαυτόν, ἀντὶ τοῦ σῶζε ἡμᾶς. δύνασαι γὰρ ἀπὸ σμικρᾶς αἰτίας ἀνοικοδομῆσαι τὸν πεσόντα δόμον. 258. μὴ δυνάμενος ἐχεμυθεῖν. 260. ἐν κη-

239. γένναν εὔνιν Turnebus: γέννα, νιν M. 240. σπειράμασιν b: σπιράμασιν M. 242. ἐντελεῖς Pauwius. 243. θήραν πατρῴαν schol.: θῆρα πατρῶα M. 244. λέγω Ald.: ἐγὼ M. 247. καίτοι K: καὶ τοῦ M. 249. εὔθυνον M. 251. εὐπειθῆ M. 254. δ' ἂν ἄρειας Turnebus: δαναρίασ M. 256. paragrapho notat M. 258. ὀπαγγελεῖ Schuetzius. 259. ἴδοιμι M.

OP. οὗτοι προδώσει Λοξίου μεγασθενὴς
χρησμὸς κελεύων τόνδε κίνδυνον περᾶν,
κἀξορθιάζων πολλὰ καὶ δυσχειμέρους
ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος,
εἰ μὴ μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους,
τρόπον τὸν αὐτὸν ἀνταποκτεῖναι λέγων,
ἀποχρημάτοισι ζημίαις ταυρούμενον·
αὐτὸν δ' ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε
τείσειν μ' ἔχοντα πολλὰ δυστερπῆ κακά.
τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μειλίγματα
βροτοῖς πιφαύσκων εἶπε, τὰς δὲ νῶν νόσους,
σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις
λειχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν·
λευκὰς δὲ κόρσας τῇδ' ἐπαντέλλειν νόσῳ·
ἄλλας τ' ἐφώνει προσβολὰς Ἐρινύων,
ἐκ τῶν πατρῴων αἱμάτων τελουμένας
ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὀφρύν.
τὸ γὰρ σκοτεινὸν τῶν ἐνερτέρων βέλος
ἐκ προστροπαίων ἐν γένει πεπτωκότων,

κῖδι: ἐν ἀναδόσει φλογὸς ἰσχυρᾷ. καιόμενα γὰρ τὰ ξύλα πίσσαν ἀνίησιν. 263. ἀνατεταμένα βοῶν. 267. ἢ ἐμὲ ζημίαν μεμφόμενος, ἢ Αἴγισθον τὸν μὴ ζημιωθέντα ποινὴν ἐπὶ τῷ φόνῳ τοῦ πατρός. 268. αὐτὸν τὸν Ἀγαμέμνονα ἔφασκε τελεσιουργεῖν. 270. τῶν ἐχθρῶν μειλίγματα. αἱ κολάσεις γὰρ τῶν ἀδικούντων μειλίγματα εἰσὶ τῶν ἀδικηθέντων. 271. τοὺς μὲν γὰρ πολίτας λιμώξειν ἐκ γῆς ἔφασκε πρὸς ἀφοσίωσιν Ἀγαμέμνονος, ὡς μὴ ἐκδικήσαντας, ἡμᾶς δὲ σωματικῶς φθαρῆναι. 274. κόρσας: τρίχας. λευκάς: ἢ μέχρι γήρως ἀτυχήσομεν, ἢ παρ' αὐτὰ γηράσομεν· παρὰ τὸ αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι (Hom. Od. τ. 360). 277. τὸν ἐν σκότῳ νῦν κινοῦντα τὴν ὀφρὺν λαμπρῶς ἡμᾶς ἐπεξιέναι ἔλεγεν. 278. ἡ νόσος. 279. ἐκ τοῦ Ἀγαμέμνονος ἱκετεύοντος τοὺς θεοὺς ἐκδικήσεως τυχεῖν.

---

261. personae nota deest in M. *οὗτοι* Turnebus: *οὗτι* M. 263. *κἀξορθιάζων* Turnebus: *κἀξοθριάζων* M. 267. *ἀποχρημάτοισι* Schuetzius: *ἀπόχρηματοῖσι* M. 269. *τίσειν* M. 271. *νωνόσσους*, corr. in *νῶν, νόσους*, M. 273. *λιχῆνας* M. 274. *ἐπαντέλλειν* Etymol. m. p. 530: *ἐπαντέλλει* M. 275. *τ' ἐφώνει* Auratus: *τε φωνεῖ* M.

καὶ λύσσα καὶ μάταιος ἐκ νυκτῶν φόβος
κινεῖ, ταράσσει, καὶ διώκεσθαι πόλεως
χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας.
καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος
εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβός,
βωμῶν τ' ἀπείργειν οὐχ ὁρωμένην πατρὸς
μῆνιν, δέχεσθαι [δ'] οὔτε συλλύειν τινά,
πάντων δ' ἄτιμον κἄφιλον θνήσκειν χρόνῳ,
κακῶς ταριχευθέντα παμφθάρτῳ μόρῳ.
τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι·
κεἰ μὴ πέποιθα, τοὔργον ἔστ' ἐργαστέον.
πολλοὶ γὰρ εἰς ἓν συμπίτνουσιν ἵμεροι,
θεοῦ τ' ἐφετμαί, καὶ πατρὸς πένθος μέγα,
καὶ πρὸς πιέζει χρημάτων ἀχηνία,
τὸ μὴ πολίτας εὐκλεεστάτους βροτῶν,
Τροίας ἀναστατῆρας εὐδόξῳ φρενί,
δυοῖν γυναικοῖν ὦδ' ὑπηκόους πέλειν.
θήλεια γὰρ φρήν· εἰ δὲ μή, τάχ' εἴσεται.
(Dux chori. Orestes et Electra. Chorus.)
(Dux chori)
ἀλλ' ἃ μεγάλαι Μοῖραι, Διόθεν
τῇδε τελευτᾶν,
ἢ τὸ δίκαιον μεταβαίνει.
ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ

282. λυμανθέντα. 285. ἀπὸ κοινοῦ τὸ ἔφησεν. 286. συγκλύειν (συγκαταλύειν Weil.), συνοικεῖν. 288. καὶ ὁ Σώφρων τὸ γῆρας ἄμμε μαραῖνον ταριχεύει. 289. κατὰ ἀπόφασιν ἀναγνωστέον. 290. καὶ εἰ μὴ διὰ τοῦ χρησμοῦ, ἀλλὰ διὰ τὰ ἄλλα. 296. ὑπὸ (l. ἤτοι) Αἰγίσθου καὶ Κλυταιμνήστρας. 299. τούτῳ τῷ τρόπῳ εἴη ἀποβῆναι. 300. καθάπερ. μεταβαίνει: ἐπινεύει. 301. τοῦτο προστάσσει ἡ δίκη· ἀντὶ λοιδορίας γὰρ λοιδορίαν, ἀντὶ πληγῆς πληγήν.

283. κρατῆρος Robortellus: κρατερὸσ M. 284. λιβός Turnebus: λίβοσ M. 286. δ' Schuetzius: rasura in M. 287. θνήσκειν M. 291. συμπίτνουσιν, corr. in συμπίπτουσιν, M. 293. πρὸς πιέζει Abreschius: προσπιέζει M. 298. nullae personarum notae in M neque hic neque per totum quod sequitur canticum additae, exceptis paucis versibus, quos infra notatos reperies. μοῖραι M.

γλῶσσα τελείσθω· τοὐφειλόμενον
πράσσουσα Δίκη μέγ' ἀντεῖ·
ἀντὶ δὲ πληγῆς φονίας φονίαν
πληγὴν τινέτω. δράσαντι παθεῖν,
τριγέρων μῦθος τάδε φωνεῖ.

str. 1. *OP.* ὦ πάτερ αἰνόπατερ, τί σοι
φάμενος ἢ τί ῥέξας
τύχοιμ' ἂν ἔκαθεν οὐρίσας,
ἔνθα σ' ἔχουσιν εὐναί;
σκότῳ φάος ἐσοτίμοιρον·
χάριτες δ' ὁμοίως
κέκληνται γόος εὐκλεὴς
προσθοδόμοις Ἀτρείδαις.

str. 1. *XO.* τέκνον, φρόνημα τοῦ θανόντος οὐ δαμάζει
πυρὸς μαλερὰ γνάθος,
φαίνει δ' ὕστερον ὀργάς·
ὀτοτύζεται δ' ὁ θνήσκων,
ἀναφαίνεται δ' ὁ βλάπτων.
πατέρων τε καὶ τεκόντων

305. ὁ φονεύσας. 307. δεινὰ παθών. 309. μακρόθεν οὐριοδρομήσας εἰς τὸν σὸν τάφον, ὅ ἐστιν ἀπὸ Φωκίδος ἐλθών. ἄλλως. πόρρωθεν σου ἀφοριζόμενος· σὺ μὲν γὰρ ἐν σκότῳ, ἐγὼ δὲ ἐν τῷ φωτί. ἐναντίον μὲν τὸ φῶς τῷ σκότῳ, τοῦτ' ἔστι, πολὺ τὸ μεταξὺ τῶν ζώντων καὶ τεθνεώτων· ὅμως δὲ τοῖς προσθοδόμοις Ἀτρείδαις ὁ γόος ὁ εὐκλεὴς ὁμοίως χάριτες κέκληνται. 312. χάριτας δὲ νεκρῶν πάντες φασὶ τὸν γόον. 314. τοῖς πρότερον ἐσχηκόσι δόμον. νῦν γὰρ οὐκ εἰσὶ δόμοι· φροῦδα γὰρ τάδ' ἤδη (Eurip. Med. 139). προσθόδομοι: ἱκέται. 315. τοῦτ' ἔστιν, οὐ συναλίσκεται (l. συναναλίσκεται) τῷ σώματι ἡ ψυχικὴ δύναμις. 316. ἡ γνάθος συνήθης, ὡς ὁ κρημνὸς παρὰ Πινδάρῳ, καὶ ἡ ἠχὼ (παρὰ add. Robort.) Σιμωνίδῃ. 317. ἣν ἔχει ὀργὴν ἡ ψυχὴ ὕστερον φανεροποιεῖ. 318. δεῖ δὲ ὅμως τὸν ἀποθανόντα θρηνῆσαι.

---

303. *δίκην* vel *δίκα*, deleta vocali extrema, M. *μέγαντι* M, *οἶμαι* g *μέγ' ἀϋτεῖ m.* 309. *ἄν, καθεν* M. *ἄν καθ' ἕν* Dindorfius. 311. *ἀντίμοιρον* Erfurdtius. 316. *μαλερά* Porsonus: *ἡ μαλερὰ* M.

γόος ἔνδικος ματεύει
τὸ πᾶν ἀμφιλαφὴς ταραχθείς.

antistr. 1. ΗΛ. κλῦθί νυν, ὦ πάτερ, ἐν μέρει
πολυδάκρυτα πένθη.
δίπαις τοί σ' ἐπιτύμβιος
θρῆνος ἀναστενάζει.
τάφος δ' ἱκέτας δέδεκται
φυγάδας θ' ὁμοίως.
τί τῶνδ' εὖ, τί δ' ἄτερ κακῶν;
οὐκ ἀτριακτος ἄτα;

(Dux chori)
ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρήζων
θείη κελάδους εὐφθογγοτέρους·
ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων
παιὰν μελάθροις ἐν βασιλείοις
νεοκρᾶτα φίλον κομίσειεν.

str. 2. ΟΡ. εἰ γὰρ ὑπ' Ἰλίῳ
πρός τινος Λυκίων, πάτερ,
δορίτμητος κατηναρίσθης,
λιπὼν ἂν εὔκλειαν ἐν δόμοισιν

321. ζητεῖ τὸ ἀντιτιμωρεῖσθαι. ὅμως οὐκ ἠρεμεῖ ἡ ψυχή· ζητεῖ γὰρ παντελῶς ταρασσομένη τὴν ἐκδίκησιν. 323. ἔξω. ἐν μέρει: κατὰ διαδοχήν, ὡς καὶ τοῦ ἀδελφοῦ. 325. ἔσω. 327. ἱκέτην μὲν ἐμέ, φυγάδα δὲ Ὀρέστην. πληθυντικῶς δὲ ἑκάτερον εἶπεν ἀντὶ ἑνικοῦ. 330. οὐκ ἀνίκητος, ἀλλὰ νενικημένη ὑπὸ τῶν ἐχθρῶν. ἀπὸ τῶν παλαιστῶν, οἳ ἀποτριάζονται ὑπὸ τῶν ἀντιπάλων. 331. ὁ χρησμῳδῶν Ἀπόλλων. 335. Ὀρέστην τὸν νεωστὶ συγκραθέντα ἡμῖν. οἱ δὲ νεοκρᾶτα τὴν ἐπὶ νεκρῷ σπονδήν. νεωστὶ κεκραμένον, λείπει κρατῆρα. νεοκρᾶτα: κρατῆρα. νεοκρήτου τ' εἰσεπιλειβομένας. 336. ἔξω.

323. paragraphum praefigit M, item 325. 329. 331. 336. 344. 325. τοί σ' ἐπιτύμβιος Hermannus: τοῖσ ἐπιτυμβιδίοισ M. 326. ἀναστενάζει b: ἀναστενάξει M. 332. θείη Turnebus: θήῃ M. 334. παιάν Blomfieldus: παίων M. 335. κομίσειεν Porsonus: κομίζει M. 338. κατηναρίσθης Porsonus: κατεναρίσθησ M.

τέκνων τ' [ἐν] κελεύθοις ἐπιστρεπτὸν αἰῶ
κτίσας πολύχωστον ἂν εἶχες
τάφον διαποντίου γᾶς
δώμασιν εὐφόρητον.

antistr. 1. ΧΟ. φίλος φίλοισι τοῖς ἐκεῖ καλῶς θανοῦσιν,
κατὰ χθονὸς ἐμπρέπων
σεμνότιμος ἀνάκτωρ,
πρόπολός τε τῶν μεγίστων
χθονίων ἐκεῖ τυράννων·
βασιλεὺς γὰρ ἦν, ὅφρ' ἔζης,
μόριμον λάχος πιμπλάντων
χεροῖν πεισιβρότῳ τε βάκτρῳ.

antistr. 2. ΗΛ. μηδ' ὑπὸ Τρωϊας
τείχεσι φθίμενος, πάτερ,
μετ' ἄλλων δουρικμῆτι λαῷ
παρὰ Σκαμάνδρου πόρον τεθάφθαι,
πάρος δ' οἱ κτανόντες νιν οὕτως δαμῆναι
. . . . θανατηφόρον αἶσαν

340. κελεύθοις: ταῖς προσόδοις. ὡς τοὺς ὑπαντῶντας ἐπιστρέφεσθαι πρὸς θέαν ἡμῶν. 341. ζηλωτὸν καὶ ὑπὸ πολλῶν κεχωσμένον. 342. ἐν τοῖς οἰκοδομήμασι τῆς Τροίας. 343. εὐφόρητον: τάφον εὐτυχῆ· φορὰ γὰρ ἡ τύχη. 344. ἔσω. πρὸς τὸ πολύχωστον εἶχες τάφον ἀπέδωκεν ὁ χορός. 348. Πλούτωνος καὶ Περσεφόνης. 350. τὴν ἐκ Μοιρῶν βασιλείαν κεκληρωμένην ἔχων. 351. τὸ σκῆπτρον τὸ τοὺς ἀνθρώπους πειθοῖ μᾶλλον ἢ βίᾳ διατάττων (διατάττον Robort.). 352. γυναικικῶς οὐδὲ τούτῳ ἀρέσκεται, ἀλλὰ τῷ μηδὲ τὴν ἀρχὴν ἀνῃρῆσθαι. 355. λείπει τὸ ὤφειλες. 356. ἀπέστρεψε τὸν λόγον εἰς τὸν πατέρα αὐτοῦ. λείπει τὸ ὄφελον. πρὸ τοῦ ἀποθανεῖν τὸν πατέρα. τοῖς ἐκείνων.

---

340. ἐν addidit Wellauerus. αἰῶ Ahrens, coll. Bekkeri Anecd. 1, 363. αἰῶ τὸν αἰῶνα κατὰ ἀποκοπὴν Αἰσχύλος εἶπεν: αἰῶνα M. 341. κτίσας Robortellus: κτίσασα M. 342. διαποντίου γᾶς Turnebus: διαποντιουτασ M. 349. ἦν ὅφρα M. 350. λάχος περαίνων Dindorfius. 351. πεισιμβρότῳ τε βάκτρῳ Schuetzius: πισίμβροτόν τε βάκτρον M. 353. τείχεσι Heathius: τείχεσσι M. 354. δουρικμῆτι Blomfieldus: δορικμῆτι M. 355. τεθάφθαι Ahrens: τέθαψαι M.

πρόσω τινὰ πυνθάνεσθαι
τῶνδε πόνων ἄπειρον.
(Dux chori)
ταῦτα μέν, ὦ παῖ, κρείσσονα χρυσοῦ,
μεγάλης δὲ τύχης καὶ ὑπερβορέου
μείζονα φωνεῖς· δύνασαι γάρ.
ἀλλὰ διπλῆς γὰρ τῆσδε μαράγνης
δοῦπος ἱκνεῖται· τῶν μὲν ἀρωγοὶ
κατὰ γῆς ἤδη· τῶν δὲ κρατούντων
χέρες οὐχ ὅσιαι στυγερῶν τούτων,
παισὶ δὲ μᾶλλον γεγένηται.

str. 3. ΗΛ. τοῦτο διαμπερὲς οὖς
ἵκεθ' ἅπερ τι βέλος.
Ζεῦ Ζεῦ, κάτωθεν ἀμπέμπων
ὑστερόποινον ἄταν
βροτῶν τλήμονι καὶ πανούργῳ
χειρί, τοκεῦσι δ' ὅμως τελεῖται.

str. 2. ΧΟ. ἐφυμνῆσαι γένοιτό μοι
πευκήεντ' ὀλολυγμὸν ἀνδρὸς
θεινομένου, γυναικός τ'
ὀλλυμένας· τί γὰρ κεύ-

358. ἐμέ. 361. ὑπερορίου. τύχης τῆς ἄγαν πνεούσης. 362. ῥᾴδιον γὰρ τὸ εὔχεσθαι. 363. διπλῇ μάστιγι ἐπλήγημεν. μάστιγος. 364. ἡμῶν οἱ σύμμαχοι οἱ περὶ Ἀγαμέμνονα. 366. τοῦτο ἰδίᾳ ἀναπεφώνηται, τῶν ἄγαν στυγερῶν τούτων. τοῦτο δὲ μᾶλλον Ἀγαμέμνονος τοῖς παισὶν αὐτοῦ συμβέβηκεν· πρὸς ὃ ἐπάγει Ἠλέκτρα ὅτι ὡς βέλος μου ὁ λόγος οὗτος ἥψατο. 371. τὴν Ἐρινύν. 372. τῇ χειρὶ Κλυταιμνήστρας καὶ Αἰγίσθου. 373. ἵνα τὸ ὅμοιον καὶ ἴσον τῷ πατρί μου φυλαχθῇ. 375. πανηγυρικόν, λαμπρόν.

358. πρόσω Hermannus: πρόσσω M. 361. leg. τε. 362. φωνεῖς. δύνασαι Hermannus: φωνεῖ· ὁ δυνᾶσαι M. delenda censeo (οὐ) δύνασαι γάρ. 363. μαράγνης Robortellus: μαράγμησ M. 365. κατα γῆσ M. 368. οὖς Schuetzius: ὡσ M. 369. ἵκετο M. τι L. Dindorfius: τε M. 371. ἄτην M. 376. θινομένου M. 377. ὀλλυμένησ M.

ϑω φρενὸς οἷον ἔμπας
ποτᾶται; πάροιϑεν δὲ πρῴρας
δριμὺς ἄηται κραδίας
ϑυμός, ἔγκοτον στύγος.

antistr. 3. *OP.* καὶ πότ' ἂν ἀμφιϑαλὴς
Ζεὺς ἐπὶ χεῖρα βάλοι,
φεῦ φεῦ, κάρανα δαΐξας;
πιστὰ γένοιτο χώρᾳ.
δίκαν δ' ἐξ ἀδίκων ἀπαιτῶ.
κλῦτε δὲ ταχϑονίων τε τιμαι.

(Dux chori)
ἀλλὰ νόμος μὲν φονίας σταγόνας
χυμένας ἐς πέδον ἄλλο προσαιτεῖν
αἷμα. βοᾷ γὰρ λοιγὸς Ἐρινὺν
παρὰ τῶν πρότερον φϑιμένων ἄτην
ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ.

str. 4. *HA.* ποῖ ποῖ δὴ νερτέρων τυραννίδες;
ἴδετε πολυκρατεῖς ἀραὶ φϑιμένων,
ἴδεσϑ' Ἀτρειδῶν τὰ λοίπ' ἀμηχάνως

378. ὅμως τὸ εἱμαρμένον παριπταται (περιίπταται Vict.) πάντας καὶ οὐκ ἂν ἐπιβουλευϑείη παρὰ τὸ μοιρίδιον. 379. τῆς ὄψεώς μου. 381. ὀργίλον μῖσος. 382. ὁ ποιήσων ἄμφω ἡμᾶς ἀναϑηλῆσαι. 383. τοῖς ἐχϑροῖς. 384. τὰ τοῦ οἴκου ἄκρα. λέγει δὲ τοὺς περὶ Αἴγισϑον. 385. καὶ γένοιτο πιστὰ τῇ χώρᾳ, ὅτι σὺ τούτων αἴτιος. 386. λείπει λαβεῖν. 387. αἱ Ἐρινύες παρὰ τῶν χϑονίων ϑεῶν τετιμημέναι. 390. βοᾷ, διὰ βοῆς ἐφέλκεται. 391. τοῦ Ἀγαμέμνονος. τὸ ἑξῆς, ἄτην ἑτέραν ἐπάγουσαν λοιγὸν ἐπ' ἄτῃ. 393. ἀντὶ τοῦ οἱ κατὰ γῆς ϑεοί. 394. ἀνειδωλοποιεῖ τὰς ἀράς. 395. ἡμᾶς τοὺς ὑπολοίπους τῶν Ἀτρειδῶν. ἀπεσπασμένους καὶ φυγαδευϑέντας τῶν οἴκων.

---

378. *οἷον* Hermannus: *ϑεῖον* M. 380. *κραδίας* Hermannus: *καρδίασ* M. 387. *ταχϑονίων τε τιμαί* M. 388. *ἀλλὰ νόμος* Turnebus: *ἀλλ' ἄνομοσ* M. 390. *λοιγὸς Ἐρινύν* Schuetzius: *λοιγὸν ἐρινὺσ* M. 391. *πρότερον* Porsonus: *προτέρων* M. *ἄτην* M. 394. *φϑειμένων* M.

ἔχοντα καὶ δωμάτων
ἄτιμα. πᾷ τίς τράποιτ' ἄν, ὦ Ζεῦ;

antistr. 2. *XO.* πέπαλται δ' αὖτέ μοι φίλον
κέαρ τόνδε κλύουσαν οἶκτον.
καὶ τότε μὲν δύσελπις,
σπλάγχνα δέ μοι κελαινοῦ-
ται πρὸς ἔπος κλυούσᾳ.
ὅταν δ' αὖτ' ἐπαλκὴς
θραρέ', ἀπέστασεν ἄχος
πρὸς τὸ φανεῖσθαί μοι καλῶς.

antistr. 4. *OP.* τί δ' ἂν φάντες τύχοιμεν; ἢ τάπερ
πάθομεν ἄχεα πρός γε τῶν τεκομένων;
πάρεστι σαίνειν, τὰ δ' οὔτι θέλγεται·
λύκος γὰρ ὥστ' ὠμόφρων
ἄσαντος ἐκ ματρός ἐστι θυμός.

(Electra. Orestes et chorus)

str. HΛ. ἔκοψα κομμὸν Ἄριον ἔν τε Κισσίας
νόμοις ἰηλεμιστρίας,
ἀπριγδόπληκτα πολυπλάνητα δ' ἦν ἰδεῖν
ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα

399. ἀντὶ τοῦ κλυούσῃ. 400. ὅτε σε οἰκτιζόμενον ἴδω, Ὀρέστα. 401. ταράσσεται. 402. ἀκουούσῃ τὸν ὑπὸ σοῦ λόγον. 403. ἰσχυροποιόν. 405. πρὸς τὸ καλά μοι ἐννοεῖν. 406. τί δεινὸν εἰπόντες κατὰ Κλυταιμνήστρας τύχοιμεν τῆς σῆς συμμαχίας, ὦ πάτερ; ἢ ἃ πεπόνθαμεν; 408. πάρεστι: τῇ μητρὶ τὸν Ἀγαμέμνονα. τὰ ἄχη. 409. ἀκολάκευτος. 410. ὁ τοῦ Ἀγαμέμνονος. 411. Περσικόν. 414. ἀλλεπάλληλον κτύπον ποιοῦντα. τύμματα.

---

397. πετιστραποιταν ὦ ζεῦ M, οἶμαι πᾶι τισ τράποιτ' ἄν· ὦ ζεῦ *m.*

398. πέπαλται Turnebus: πεπάλατε M. 401. μοι Schuetzius: μου M. 406. φάντες τύχοιμεν Bothius: πάντεσ τύχοιμεν ἂν M. 407. ἄχεα Blomfieldus: ἄχθεα M. 411. Ἄριον Hermannus: ἄρειον M. Κισσίας Robortellus: κισσίαισ M. 412. νόμοις ἰηλεμιστρίας Hermannus: νόμοισιλεμιστρίασ M. 413. ἀπριγδόπληκτα Blomfieldus: ἄπριγκτοι πληκτὰ M. πολυπλάνητα Blomfieldus: πολύπλαγκτα, corr. in πολυπάλαγκτα, M. δ' ἦν Robortellus: δὴν M ειδεῖν M.

ἄνωθεν ἀνέκαθεν, κτύπῳ δ' ἐπερρόθει
κροτητὸν ἁμὸν καὶ πανάθλιον κάρα.
ἰὼ ἰὼ δαΐα
πάντολμε μῆτερ, δαΐαις ἐν ἐκφοραῖς
ἄνευ πολιτᾶν ἄνακτ',
ἄνευ δὲ πενθημάτων
ἔτλης ἀνοίμωκτον ἄνδρα θάψαι.

str. OP. τὸ πᾶν ἀτίμως ἔλεξας, οἴμοι.
πατρὸς δ' ἀτίμωσιν ἆρα τείσει
ἕκατι μὲν δαιμόνων,
ἕκατι δ' ἁμᾶν χερῶν.
ἔπειτ' ἐγὼ νοσφίσας ὀλοίμαν.

antistr. XO. ἐμασχαλίσθη δέ γ', ὡς τόσ' εἰδῇς,
ἔπρασσε δ' ᾗπέρ νιν ὧδε θάπτει,
μόρον κτίσαι μωμένα
ἄφερτον αἰῶνι σῷ.
κλύεις πατρῴους δύας ἀτίμους.

antistr. HΛ. λέγεις πατρῷον μόρον· ἐγὼ δ' ἀπεστάτουν
ἄτιμος, οὐδὲν ἀξία,
μυχοῦ δ' ἄφερκτος πολυσινοῦς κυνὸς δίκαν

415. τῷ ἄνωθεν ἐπαγομένῳ τῇ κεφαλῇ κτύπῳ. 416. κωμῷ ὡς διθυραμβῶδες. 428. κατεσκεύασε δὲ τὸ μασχαλισθῆναι αὐτὸν ἡ Κλυταιμνήστρα. ἢ καὶ οὕτως ἀτίμως αὐτὸν θάψασα δυστυχίαν μεγίστην κατασκευάζουσα τῷ σῷ βίῳ, ᾧ Ὀρέστα· ὅ ἐστιν, ἵνα δυστυχῆ βίον ζήσῃς, τοῦ Ἀγαμέμνονος μὴ δυναμένου σοι συμμαχῆσαι πρὸς τὴν τιμωρίαν Κλυταιμνήστρας. 431. τοὺς τοῦ πατρός σου. 434. κατάκλειστος περὶ τὴν εἱρκτήν.

---

415. *ἐπερρόθει* Stanleius: *ἐπιρροθεῖ* M. 423. *ἀτίμωσ ἴν' ἆρα* (corr. in *ἀρά*) *τίσει* M, *οἶμαι πατρὸσ δ' ἀτίμωσιν ἄρα τίσει* sec. Franzium, vel *πατρὸς δ' ἀτίμως σ' ἀρὰ τίσει* sec. Dindorfii auctores, *m.* 426. *ὀλοίμαν* Turnebus: *ἐλοίμαν* M. 427. *ἐμασχαλίσθη* Robortellus: *ἐμασχαλίσθησ* M. *δέ γ'* Martinus, *τόσ'* Klausenus: *δὲ τωστοστείδησ* M. 428. *ἅπερ* Schuetzius: *ἄπερ* M. 429. *κτίσαι* Stanleius: *κτεῖναι* (sed ut *ν* littera in litura sit a m. rec.), vel *κτεῖν..ναι* sec. Merkelium, M. 430. *ἄφερτον* Turnebus: *ἄφερκτον* M. 431. *κλύεις* Turnebus: *κλύει* M. *δύας ἀτίμους* Stanleius: *δυσατίμουσ* M. 432. *ἔχεις* Hermannus. 434. *πολυσινοῦς* Blomfieldus: *πολυσίνουσ*, deleta littera extrema, M.

ἑτοιμότερα γέλωτος ἀνέφερον λίβη,
χαίρουσα πολύδακρυν γόον κεκρυμμένα.
τοιαῦτ᾽ ἀκούων ἐν φρεσὶν γράφου,
δι᾽ ὤτων δὲ συν
τέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει.
τὰ μὲν γὰρ οὕτως ἔχει,
τὰ δ᾽ αὐτὸς ὀργᾷ μαθεῖν.
πρέπει δ᾽ ἀκάμπτῳ μένει καθήκειν.

(Orestes, Electra, chorus)

str. OP. σέ τοι λέγω, ξυγγενοῦ, πάτερ, φίλοις.
HΛ. ἐγὼ δ᾽ ἐπιφθέγγομαι κεκλαυμένα.
XO. στάσις δὲ πάγκοινος ἅδ᾽ ἐπιρροθεῖ,
ἄκουσον ἐς φάος μολών,
ξὺν δὲ γενοῦ πρὸς ἐχθρούς.
antistr. OP. Ἄρης Ἄρει ξυμβαλεῖ, Δίκᾳ Δίκα.
HΛ. ἰὼ θεοί, κραίνετ᾽ ἐνδίκως . . . . .
XO. τρόμος μ᾽ ὑφέρπει κλύουσαν εὐγμάτων.
τὸ μόρσιμον μένει πάλαι,

435. οὐδέποτε οὕτως ἑτοίμως ἐγέλασα ὡς τότε ἑτοίμως ἐδάκρυσα. τὰ δάκρυα. 436. πρὸς τὸ κατάκλειστος. 437. πρὸς τὸν Ὀρέστην φησίν. 439. διατόρει, διακόμιζε. ἠρεμαίᾳ τῇ ψυχῇ. ἀντὶ τοῦ προσέχων καὶ μὴ ἀποπλανώμενος. 440. ταῦτα δὲ τὰ συμβάντα Ἀγαμέμνονι. 441. αὐτός: τοῦτ᾽ ἔστιν, ἐπιθυμεῖ δὲ τὰ λοιπὰ γνῶναι ὁ πατήρ, τοῦτ᾽ ἔστι τὴν τιμωρίαν. ἀντὶ τοῦ μάθε τῷ τρόπῳ σου. 442. πρέπει δέ σοι ἀμετακινήτῳ δυνάμει ὁρμᾶν κατ᾽ αὐτῶν. (426.) ἐκ τούτου εἴρηται τὸ τεθναίην οὔτ᾽ (ὅτ᾽ Vict.) ἐκεῖνον ἀποπνεύσαντα πυθοίμην Καλλιμάχου. 443. σύμπραξον. 444. ἐλεεινά. 445. ἐπιβοᾷ σε ἡ σύστασις ἡμῶν ἡ κοινὴ βοηθὸν ἐλθεῖν. 447. ἀντὶ ἐχθρῶν. 448. ὁ ἡμῶν τῷ τῶν ἐχθρῶν. 451. πέπηγε μὲν καὶ ὥρισται πάλαι ὑπὸ Μοιρῶν τὸ τὴν Κλυταιμνήστραν ἀνδροκτονήσασαν ἀναιρεθῆναι. τὸ κατ᾽ αὐτῆς δὲ καλῶς κυ-

436. αι χ·ρουσα (χ·ι᾽· α ρουσα Merkel) M. χέουσα Dobraeus. κεκρυμμένον Dindorfius. 437. φρεσίν (φρασίν) Robortellus: φρεσσὶν M. 439. φρενῶν Turnebus: φρονῶν M. 441. αὐτὸσ, rasura factum ex αὐτοῖσ, M. 443. φίλοις Porsonus: φίλοισι M. 448. ξυμβαλεῖ Pauwius; ξυμβάλλει M. 450. οι μ M.

εὐχομένοις δ' ἂν ἔλθοι.

(Universi omnes)

str. ὦ πόνος ἐγγενὴς
καὶ παράμουσος ἄτης
αἱματόεσσα πλαγά.
ἰὼ δύστον' ἄφερτα κήδη·
ἰὼ δυσκατάπαυστον ἄλγος.

antistr. δώμασιν ἔμμοτον
τῶνδ' ἄκος, οὐδ' ἀπ' ἄλλων
ἔκτοθεν, ἀλλ' ἀπ' αὐτῶν
δι' ὠμὰν ἔριν αἱματηράν.
θεῶν [τῶν] κατὰ γᾶς ὄδ' ὕμνος.

(Dux chori)

ἀλλὰ κλύοντες, μάκαρες χθόνιοι,
τῆσδε κατευχῆς πέμπετ' ἀρωγὴν
παισὶν προφρόνως ἐπὶ νίκῃ.

OP. πάτερ, τρόποισιν οὐ τυραννικοῖς θανών,
αἰτουμένῳ μοι δὸς κράτος τῶν σῶν δόμων.

ΗΛ. κἀγώ, πάτερ, τοιάνδε σου χρείαν ἔχω,
φυγεῖν μέγαν προσθεῖσαν Αἰγίσθῳ . . . .

OP. οὕτω γὰρ ἄν σοι δαῖτες ἔννομοι βροτῶν

ρωθὲν ὑπὸ τῆς δίκης ἔλθοι, ὅ ἐστι, μὴ μελλήσῃ πρὸς τιμωρίαν Κλυταιμνήστρας τὸ θεῖον. 452. εὐχομένοις: τὸ κατ' εὐχὴν ἡμῖν πληρωθείη. 453. συγγενής· ὃν ὑπὸ συγγενῶν ἐπάθομεν. 454. ἐκτὸς τοῦ καθήκοντος. 456. ἀφόρητα. 458. ἔνυλον, ἢ βαθύτατον. 461. ἣν ἤρισε πρὸς τὸν πατέρα. 462. ταῦτα τὰ ἄσματα τοῖς κατὰ γῆν (γῆς Steph.) θεοῖς πρέπει, καὶ οὐ τοῖς οὐρανίοις. 466. οὐχ ὡς βασιλεῖ πρέπει, ἀλλ' ἀδόξως. 469. ὥστε φυγεῖν τὰς ἐπιβουλὰς Αἰγίσθου τιμωρησαμένην αὐτόν. 470. οὕτω γὰρ ἄν σοι κρατήσαντες πολυτελῶς θύσοιμεν. ἔννομοι αἱ νόμιμοι θυσίαι, αἱ πολυτελεῖς.

---

453. ὦ Hermannus: ἰὼ M. 455. πλ[ηγή] M. 459. τῶνδ' ἄκος Schuetzius: τῶν δ' ἑκὰς M. 461. δι' ὠμὰν ἔριν Klausenus: αἰωμαναιρειν M. 462. τῶν addidit Hermannus. 465. νίκῃ Portus: νίκην M. 466. ἠλ[ε] praefixum in M, omissa deinde usque ad 476. personarum omni notatione. 467. αἰτουμένῳ Turnebus: αἰτούμενος M. 468. τοιάνδε Turnebus: τοιάδε M. 469. μὲ λαμπρῶς Blomfieldus.

κτιζοίατ'· εἰ δὲ μή, παρ' εὐδείπνοις ἔσῃ
ἄτιμος ἐμπύροισι κνισωτοῖς χθονός.
ΗΛ. κἀγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας
οἴσω πατρῴων ἐκ δόμων γαμηλίους·
πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον.
ΟΡ. ὦ γαῖ', ἄνες μοι πατέρ' ἐποπτεῦσαι μάχην.
ΗΛ. ὦ Περσέφασσα, δός δέ τ' εὔμορφον κράτος.
ΟΡ. μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης, πάτερ.
ΗΛ. μέμνησο δ' ἀμφίβληστρον ᾧ σ' ἐκαίνισαν.
ΟΡ. πέδαις δ' ἀχαλκεύτοις ἐθηρεύθης, πάτερ.
ΗΛ. αἰσχρῶς τε βουλευτοῖσιν ἐν καλύμμασιν.
ΟΡ. ἆρ' ἐξεγείρῃ τοῖσδ' ὀνείδεσιν, πάτερ;
ΗΛ. ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα;
ΟΡ. ἢ τοι δίκην ἴαλλε σύμμαχον φίλοις,
ἢ τὰς ὁμοίας ἀντίδος βλάβας λαβεῖν,
εἴπερ κρατηθείς γ' ἀντινικῆσαι θέλεις.
ΗΛ. καὶ τῆσδ' ἄκουσον λοισθίου βοῆς, πάτερ,
ἰδὼν νεοσσοὺς τούσδ' ἐφημένους τάφῳ·
οἴκτιρε θῆλυν ἄρσενός θ' ὁμοῦ γόνον.
ΟΡ. καὶ μὴ 'ξαλείψῃς σπέρμα Πελοπιδῶν τόδε·
οὕτω γὰρ οὐ τέθνηκας οὐδέ περ θανών.

471. γίγνοιντο. εἰ δὲ μή: ἄτιμος ἐν πυροῖσι κνισωτοῖς ἔσῃ παρ' εὐδείπνοις χθονός, ὅ ἐστι παρὰ κατοιχομένοις δείπνῳ τιμώμενος. οὕτως τὸ ἐξῆς, τῶν ἄλλων νεκρῶν μεταλαμβανόντων ἐναγισμῶν σὺ ἄτιμος ἔσῃ. 473. κτήσεως. 474. εἰ γὰρ Αἴγισθος ἀπολεῖται, κἀγὼ γαμηθήσομαι. 475. τιμήσω. 476. ἐντεῦθεν ἀμοιβαῖα τὰ πρόσωπα Ὀρέστου καὶ Ἠλέκτρας, πρῶτον δὲ Ὀρέστου. 478. οἷς ἀπέθανες. 480. ἀσιδήροις δεσμοῖς· λέγει δὲ τῇ ἀδιεξοδεύτῳ ἐσθῆτι. 481. ἐπιβουλευτοῖς πέπλοις. 484. ἢ τὴν δίκην συμμαχοῦσαν ἡμῖν κατ' αὐτῶν πέμψον, ἢ σὺ κόλασον αὐτούς. 485. ἀντίλαβε. 491. ἐὰν ἡμεῖς ὦμεν.

---

472. ἐμπύροισι Auratus: ἐν πυροῖσι M. 476. πατέρ' Robortellus: πάτερ M. hinc usque ad 483. paragraphi singulis versibus additae in M. 477. Fort. δὸς δὲ γάμορον κράτος. 480. πέδαις ἀχαλκεύτοις ὅθ' ἡρέθης Dindorfius. 482. ὀνείδεσιν Robortellus: ὀνείδεσσιν M. 484—512. personarum notae nullae in M. 485. λαβάς Canterus. 489. οἴκτειρε M. γόον Bambergerus.

ΗΛ. παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι
θανόντι· φελλοὶ δ' ὡς ἄγουσι δίκτυον,
τὸν ἐκ βυθοῦ κλωστῆρα σῴζοντες λίνου.
ΟΡ. ἄκου', ὑπὲρ σοῦ τοιάδ' ἔστ' ὀδύρματα.
αὐτὸς δὲ σῴζῃ τόνδε τιμήσας λόγον.
ΧΟ. καὶ μὴν ἀμεμφῆ τόνδ' ἐτείνατον λόγον,
τίμημα τύμβου τῆς ἀνοιμώκτου τύχης.
τὰ δ' ἄλλ', ἐπειδὴ δρᾶν κατώρθωσαι φρενί,
ἔρδοις ἂν ἤδη δαίμονος πειρώμενος.
ΟΡ. ἔσται· πυθέσθαι δ' οὐδέν ἐστ' ἔξω δρόμου,
πόθεν χοὰς ἔπεμψεν, ἐκ τίνος λόγου
μεθύστερον τιμῶσ' ἀνήκεστον πάθος;
θανόντι δ', οὐ φρονοῦντι, δειλαία χάρις
ἐπέμπετ'· οὐκ ἔχοιμ' ἂν εἰκάσαι τάδε
τὰ δῶρα, μέσω δ' ἐστὶ τῆς ἁμαρτίας.
τὰ πάντα γάρ τις ἐκχέας ἀνθ' αἵματος
ἑνός, μάτην ὁ μόχθος· ὧδ' ἔχει λόγος.
θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε.
ΧΟ. οἶδ', ὦ τέκνον, παρῆ γάρ· ἔκ τ' ὀνειράτων
καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη

492. διὰ φήμης σώζοιέν σε. εὐφημίαι. 493. ἐκεῖνοι γὰρ ἐπιπλέον (l. ἐπιπλέοντες) σημαίνουσι τὴν ἐν βυθῷ σαγήνην· οὕτω καὶ ἡμεῖς ζῶντες σὲ τὸν θανόντα. τὰ κοῖφα ξύλα τὰ ἀναβαστάζοντα ἐν τῇ θαλάσσῃ τὰ δίκτυα. 494. ἐν περιφράσει τὸν κλωστὸν λίνον. 495. ἀντὶ τοῦ πείσθητι. 496. ἀντὶ τοῦ ἐπακούσας ἡμῶν. 497. λείπει ἡ εἰς. 498. πολυθρυλήτου. 499. ὦ Ὀρέστα. τὰ κατὰ τὴν σφαγὴν Αἰγίσθου. 501. ἔξω τοῦ προκειμένου. 503. ἀντὶ τοῦ τιμῶσα αὐτή. ἀνήκεστον: ἀνίατον. 504. τῷ ὑπ' αὐτῆς θανόντι καὶ μὴ φρονοῦντι τὰ αὐτῆς. 505. οὐ διστάζω ὅτι οὐκ ἐπέμφθη. 506. ἀντὶ τοῦ ὑπερβαίνει τὰ ἁμαρτήματα τὴν ἀπὸ τῶν δώρων πειθὼ καὶ παρηγορίαν. 509. ὁ δὲ ἀντὶ τοῦ γάρ.

---

494. σώζοντεσ M. λίνου, corr. in λίνον a m. rec., M. 496. σάζηι M. 497. ἀμεμφῆ τόνδ' ἐτείνατον Hermannus: ἀμόμφητον δε τινα τὸν M. 504. θανόντι Pauwius: θανοῦντι M. 505. τόδε', corr. in τάδε', M. 506. μείω Turnebus. an τὰ δῶρ', ὀλείζω δ'? 509. ....οἰσ-θέμοι M. 510. παρῆ Porsonus: πάρει (sed ut ει scriptum sit in rasura) M, adscripto γρ. παρῆς.

χοὰς ἔπεμψε τάσδε δύσθεος γυνή.
OP. ἦ καὶ πέπυσθε τοὔνεαρ, ὥστ' ὀρθῶς φράσαι;
XO. τεκεῖν δράκοντ' ἔδοξεν, ὡς αὐτὴ λέγει.
OP. καὶ ποῖ τελευτᾷ καὶ καρανοῦται λόγος;
XO. ἐν σπαργάνοισι παιδὸς ὁρμίσαι δίκην.
OP. τίνος βορᾶς χρῄζοντα, νεογενὲς δάκος;
XO. αὐτὴ προσέσχε μαστὸν ἐν τὠνείρατι.
OP. καὶ πῶς ἄτρωτον οὖθαρ ἦν ὑπὸ στύγους;
XO. ὥστ' ἐν γάλακτι θρόμβον αἵματος σπάσαι.
OP. οὗτοι μάταιον ἀνδρὸς ὄψανον πέλει.
XO. ἡ δ' ἐξ ὕπνου κέκλαγεν ἐπτοημένη.
πολλοὶ δ' ἀνῆθον, ἐκτυφλωθέντες σκότῳ,
λαμπτῆρες ἐν δόμοισι δεσποίνης χάριν·
πέμπει τ' ἔπειτα τάσδε κηδείους χοάς,
ἄκος τομαῖον ἐλπίσασα πημάτων.
OP. ἀλλ' εὔχομαι γῇ τῇδε καὶ πατρὸς τάφῳ
τοὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεσφόρον.
κρίνω δέ τοί νιν ὥστε συγκόλλως ἔχειν.

512. *δύσθεος γυνή*: *ἀσεβής*. 515. *κεφαλαιοῦται*. *ἀντὶ τοῦ τὰ ἐφεξῆς τοῦ ὀνείρου*. 516. *ὡς παῖδα αὐτὸν ἐκτεῖναι ἐδόκει ἐν τοῖς σπαργάνοις*. *ἀπὸ κοινοῦ τὸ ἔδοξεν*. 517. *πρὸς τὸν δράκοντα εἶπε τὸ χρῄζοντα*. *νεογενές*: *ἀντὶ τοῦ νέον*. 519. *ὑπὸ στύγος*: *τοῦ μισητοῦ θηρίου*. 520. *ἀντὶ γάλακτος αἷμα*. 521. *ὄψανον, ὄψις, φαντασία*. *τὸ χ* (quod in margine versui adpictum habet M) *δέ, ὅτι ἀπὸ τῆς ὄψεως παρῆξε τὸ ὄψανον*. *τὸ ἐκ τοῦ ἀνδρὸς Ἀγαμέμνονος φάντασμα*. 523. *ἀνῆλθον*: *ἀνέλαμψαν*. *οἱ σβεσθέντες ἤδη λαμπτῆρες*. *νὺξ γὰρ ἦν*. 525. *τὰς πρὸς εὐμένειαν Ἀγαμέμνονος*. 526. *θεραπευτικὸν ἴαμα, θεράπευμα τμητικὸν τῶν κακῶν οἰηθεῖσα ποιεῖν*. *λείπει τὸ ποιεῖν*. 528. *αὐτὸ τὸ ὄνειρον*. 529. *συνημμένως τῇ ἀληθείᾳ*.

513—572. personarum notis carent in M, exceptis 513. 514. 515. 538. 572, quibus paragraphi praefixae sunt. 513. *πέπυσθε*, *ε* corr. ex *αι*, M. 517. *νεογενές* schol.: *νεορενὲσ* M. 518. *μαστόν* Blomfieldus: *μαζὸν* M. *τωνείρατι* Porsonus: *τ' ὀνείρατι* M. 519. *οὖθαρ ἦν* Pauwius: *οὐχαριν, ιν* facto ex *ην*, M. *ὑπὸ στύγους* Schuetzius: *ὑποστύγοσ* M. 521. *ἂν τόδ' ὄψανον πέλοι* Martinus. 522. *κέκλαγγεν* Ahrens. 523. *ἀνῆθον* Valckenaerius: *ἀνῆλθον* M. 529. *συγκόλλω* Victorius: *συσκόλωσ* M.

εἰ γὰρ τὸν αὐτὸν χῶρον ἐκλιπὼν ἐμοὶ
οὕφις επᾶσα σπαργανηπλείζετο
καὶ μαστὸν ἀμφέχασκ' ἐμὸν θρεπτήριον,
θρόμβῳ τ' ἔμειξεν αἵματος φίλον γάλα,
ἥ δ' ἀμφὶ τάρβει τῷδ' ἐπῴμωξεν πάθει,
δεῖ τοί νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας,
θανεῖν βιαίως· ἐκδρακοντωθεὶς δ' ἐγὼ
κτενῶ νιν, ὡς τοὔνειρον ἐννέπει τόδε.

ΧΟ. τερασκόπον δὴ τῶνδέ σ' αἱροῦμαι πέρι.
γένοιτο δ' οὕτως. τἄλλα δ' ἐξηγοῦ φίλοις,
τοὺς δ' ἔν τι ποιεῖν, τοὺς δὲ μή τι δρᾶν λέγων.

ΟΡ. ἁπλοῦς ὅ μῦθος· τήνδε μὲν στείχειν ἔσω.
αἰνῶ δὲ κρύπτειν τάσδε συνθήκας ἐμάς,
ὡς ἂν δόλῳ κτείναντες ἄνδρα τίμιον
δόλῳ τε καὶ ληφθῶσιν ἐν ταὐτῷ βρόχῳ
θανόντες, ᾗ καὶ Λοξίας ἐφήμισεν,
ἄναξ Ἀπόλλων, μάντις ἀψευδὴς τὸ πρίν.
ξένῳ γὰρ εἰκώς, παντελῆ σάγην ἔχων,
ἥξω σὺν ἀνδρὶ τῷδ' ἐφ' ἑρκείους πύλας
Πυλάδῃ, ξένος τε καὶ δορύξενος δόμων.
ἄμφὼ δὲ φωνὴν ἥσομεν Παρνησσίδα,

530. *τὴν γαστέρα τῆς Κλυταιμνήστρας.* 531. *ἐπιμελείας ἠξιοῦτο.* 535. *δεῖ τοι νῦν, ὡς ἔθρεψεν: ὥσπερ δι' αἵματος ἔθρεψε τὸν δράκοντα, δεῖ αὐτὴν θρέψαι τῷ ἰδίῳ γάλακτι. ὅ ἐστι δι' αἵματος τὴν ἐμὴν ἐπιθυμίαν πληρῶσαι.* 536. *ἀγριωθεὶς κατ' αὐτῆς.* 541. *σύντομος. τὴν Ἠλέκτραν.* 543. *τὸν Ἀγαμέμνονα.* 545. *καθό. τὸ ἑξῆς, ἐφήμισε τὸ πρίν.* 547. *οἶμαι ἀντὶ τοῦ ἐοικώς. τελείαν. πανοπλίαν· ἢ τελείαν παραβολὴν* (περιβολὴν Vict.) *ἔχων ξένου.* 550. *φονικήν* (*οἶμαι δὲ φωκικὴν θέλειν*).

---

530. *ἐκλιπών* Blomfieldus: *ἐκλείπων* M. 531. *οὐφεῖσεπᾶσα σπαργανηπλείζετο* M. *οὕφις ἐμοῖσι σπαργάνοις ὠπλίζετο* Porsonus. an *οὕφις ἔπειτα σπάργαν' . . . . . ?* 532. *μαστόν* Blomfieldus: *μασθόν* M. 533. *τ'* Hermannus: *δ'* M. *ἔμιξεν* M. 534. *ἀμφὶ τάρβει τῷδ'* Porsonus: *ἀμφιταρβίτωδ'* M. 537. *κτενῶ* Turnebus: *κτείνω* M. 538. *δὴ* K: *δὲ* M. 540. *τοὺς μέν τι* Stanleius. 541. *στίχειν* M. 543. *κτείναντες* Robortellus: *κτείναντασ* M. 544. *δόλοισι* Hartungus. *λημφθῶσιν*, sed deleto *μ*, M. 545. fort. *ἁλόντες.* 548. *ἐφ' ἑρκείους* Turnebus: *ἐφερκίουσ* M. 550. *ἥσομεν* Turnebus: *οἴσομεν* M.

γλώσσης ἀυτὴν Φωκίδος μιμουμένω.
καὶ δὴ θυρωρῶν οὔτις ἂν φαιδρᾷ φρενὶ
δέξαιτ', ἐπειδὴ δαιμονᾷ δόμος κακοῖς.
μενοῦμεν οὕτως ὥστ' ἐπεικάζειν τινὰ
δόμους παραστείχοντα καὶ τάδ' ἐννέπειν·
τί δὴ πύλῃσι τὸν ἱκέτην ἀπείργεται
Αἴγισθος, εἴπερ οἶδεν ἔνδημος παρών;
εἰ δ' οὖν ἀμείψω βαλὸν ἑρκείων πυλῶν
κἀκεῖνον ἐν θρόνοισιν εὑρήσω πατρός,
ἢ καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα
ἀρεῖ, σάφ' ἴσθι, καὶ κατ' ὀφθαλμοὺς βαλεῖ,
πρὶν αὐτὸν εἰπεῖν· ποδαπὸς ὁ ξένος; νεκρὸν
θήσω, ποδώκει περιβαλὼν χαλκεύματι.
φόνου δ' Ἐρινὺς οὐχ ὑπεσπανισμένη
ἄκρατον αἷμα πίεται τρίτην πόσιν.
οὐκοῦν σὺ μὲν φύλασσε τἀν οἴκῳ καλῶς,
ὅπως ἂν ἀρτίκολλα συμβαίνῃ τάδε·
ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν,
σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν τὰ καίρια.
τὰ δ' ἄλλα τούτῳ δεῦρ' ἐποπτεῦσαι λέγω,
ξιφηφόρους ἀγῶνας ὀρθώσαντί μοι.

553. τετάρακται. 554. κἂν μὴ δεξιωθῶμεν, μενοῦμεν πρὸ τῶν θυρῶν ἐπὶ τοσοῦτον ὥστε εἰκάζειν τινὰ ὅτι ἠτιμώθημεν καὶ τοιαῦτα λέγειν. 558. βηλόν: τὸν οὐδόν. 561. τὸ ἑξῆς· σάφ' ἴσθι πρὶν αὐτόν. 563. τῷ ταχεῖ ξίφει. ὡς ἐπὶ ἐμψύχου δὲ εἶπεν. 564. οὐκ ἀποτυγχάνουσα. 565. ὡς εἰ ἔφη τοῦ τρίτου κρητῆρος, μετὰ Ἀγαμέμνονα τῶν δύο τούτων τὸ αἷμα. 566. ὦ Ἠλέκτρα. 567. σύμφωνα καὶ ὑγιῶς συναρμοζόμενα ταῖς νεωστὶ συνθήκαις ἡμῶν. 569. τὰ χρήσιμα. 570. τῷ Πυλάδῃ. 571. συμπράξαντί μοι.

---

553. δέξαιτ', ἐπειδὴ δαιμονᾷ δόμος Turnebus: λέξαιτ' ἐπειδὴ δαιμονᾷ δόμος M. 554. fort. μενοῦμεν αὖτως. 555. δόμους Boissonadius: δόμοισ M. παραστίχοντα M. 558. ἑρκείων Stanleius: ἑρκίων, corr. in ἕρκειον, M. 561. ἀρεῖ Bambergerus: ἐρεῖ M. βαλεῖ Robortellus: βαλεῖν M. 566. οὐκοῦν K: σὺν (sed ν in litura) οὖν M. 567. συμβαίνει M. 569. cf. Aeschyli frag. 204 N. 571. ὀρθώσοντι Pearsonus.

str. 1. *XO.* *πολλὰ μὲν γᾶ τρέφει δεινὰ δειμάτων ἄχη,*
πόντιαί τ' ἀγκάλαι κνωδάλων
ἀνταίων βροτοῖσι πλά-
θουσι, βλαστοῦσι καὶ πεδαίχμιοι
λαμπάδες πεδάοροι,
πτανά τε καὶ πεδοβάμονα κἀνεμοέντων
αἰγίδων φράσαι κότον.

antistr. 1. *ἀλλ' ὑπέρτολμον ἀνδρὸς φρόνημα τίς λέγοι*
καὶ γυναικῶν φρεσὶν τλημόνων,
παντόλμους ἔρωτας ἄ-
ταισι συννόμους βροτῶν;
ξυζύγους δ' ὁμαυλίας
θηλυκρατὴς ἀπέρωτος ἔρως παρανικᾷ
κνωδάλων τε καὶ βροτῶν.

str. 2. *ἴστω δ' ὅστις οὐχ ὑπόπτερος*
φροντίσιν δαείς,

572. *πολλὰ τίκτει ὁ ἀὴρ ἐκ τῆς ἡλιακῆς ἀκτῖνος πτηνὰ καὶ ἑρπετά. εἰσὶ γὰρ ὄφεις ἐξ ἀέρος πίπτοντες. κατὰ περίφρασιν, δείματα. κακῶν κάκιστα βλάβη.* 573. *αἱ κοιλότητες.* 574. *ἐναντι* (*ἐναντίων* Dind.). *γεννῶσι καὶ αὔξουσι.* 575. *αἱ μεταξὺ γῆς καὶ οὐρανοῦ λαμπάδες, τοῦτ' ἔστιν, ὁ ὑπὸ ἡλίου φωτιζόμενος ἀήρ.* 576. *λαμπάδες: αἱ ἀκτῖνες τοῦ ἡλίου αἱ καθημεριναί.* 578. *καταιγίδων. ἐννόησον.* 579. *ὁ ἀλλὰ ἀντὶ τοῦ δέ. τίς λέγοι φρεσίν, ἀντὶ τοῦ ἐννοήσειεν.* 581. *ἀπὸ κοινοῦ τὸ τίς λέγοι.* 583. *ὁμοικοιτίας* (*ὁμοκοιτίας* Robort.). 584. *ὁ γυναικῶν κρατῶν. λέγει δὲ ταῦτα, ὅτι ἡ Κλυταιμνήστρα κατωφερείας ἕνεκα τῷ Αἰγίσθῳ ἐγαμήθη. ἀντὶ τοῦ στυγνὸς καὶ ὑπερήφανος.* 586. *γινωσκέτω δ' ὅστις ὁ παιδευθεὶς οὐχ ὑποπτέροις φροντίσιν, ἵν' ᾖ τὸ ὃς ὑποτακτικὸν ἀντὶ τοῦ ὁ προτακτικοῦ. ὁ μὴ κοῦφος, ἀλλ' ἀληθῶς μαθεῖν θέλων.* 588. *ἢ τῷ παιδὶ Μελεάγρῳ λυμηναμένη. οὕτω τὸ ἑξῆς, ἥντινα μήσατο πρόνοιαν τάλαινα Θεστιὰς ἡ παιδολύμας καὶ πυρδαής.*

---

572. *γᾶ* Schuetzius: *γὰρ* M. *δεινά* Heathius: *δεινὰ καὶ* M. 576. *πεδάοροι* Stanleius: *πεδάμαροι* M, *οἶμαι πέδουροι, ἵν' ᾖ τὸ σημαινόμενον μετέωροι m.* 577. *πτηνά* M. *κἀνεμόεντ' ἄν* Blomfieldus. 580. *φρεσίν* (*φρασίν*) Ald.: *φρεσσὶν* M. *τλημόνων* Klausenus: *τλημόνων καὶ* M. 584. *ἀπέρωτος*, littera *τ* facta ex *π*, M. *ἀπερωπός* Kusterus. 587. *τὰν δαεῖσ' ἁ* Hermannus.

τὰν ἃ παιδολυ-
μὰς τάλαινα Θεστιὰς μήσατο
πυρδαῆτιν πρόνοι-
αν, καταίθουσα παιδὸς δαφοινὸν
δαλὸν ἥλικ', ἐπεὶ μολὼν
ματρόθεν κελάδησε
ξύμμετρόν τε διαὶ βίου
μοιρόκραντον ἐς ἦμαρ.
antistr. 2. ἄλλαν δή τιν' ἐν λόγοις στυγεῖν
φοινίαν Σκύλλαν,
ἅτ' ἐχθρῶν ὑπαὶ
φῶτ' ἀπώλεσεν φίλον Κρητικοῖς
χρυσοκμήτοισιν ὅρ-
μοις πιθήσασα δώροισι Μίνω,
Νῖσον ἀθανάτας τριχὸς
νοσφίσασ' ἀπροβούλως
πνέονθ' ἃ κυνόφρων ὕπνῳ.
κιγχάνει δέ νιν Ἑρμῆς.
str. 3. ἐπεὶ δ' ἐπεμνησάμην ἀμειλίχων

592. ἥλικα: ξύμμετρον τῷ παιδὶ δαλόν, ἐξότε πεσὼν ἀπὸ τῆς μητρὸς ἐβόησεν, τοῦτ' ἔστιν ἐξότε γεγέννηται. ἐπεί: ἀφ' οὗ. ἀντὶ (τοῦ add. Dind.) ἐξότε. 594. ἥλικα ξύμμετρόν τε: τὸν συμμετρηθέντα αὐτῷ εἰς τὸ διὰ βίου μοιρόκραντον ἦμαρ, ὅ ἐστιν, εἰς τὸ ἦμαρ τῆς ζωῆς τὸ ὑπὸ Μοιρῶν δεσποζόμενον. 596. ἀπὸ κοινοῦ τὸ ἵστω ὅστις. 599. τὸν πατέρα Νῖσον. 601. ὅτι ὅρμον ὑπὸ Μίνωός φησιν εἰληφέναι Σκύλλαν, οὐ δι' ἔρωτα. 603. τὸ ἐξῆς, ἀπώλεσεν ἃ κυνόφρων Νῖσον πνέοντα ὕπνῳ. ἀπρονοήτως, οὐ προσκεψαμένη τὸ ἀποβησόμενον. ὡς προδότις γὰρ τοῦ πατρὸς ἐτιμωρήθη ὑπὸ Μίνωος. 604. πνέονθ': ἀντὶ τοῦ ἀσθμαίνοντα. 605. τὸν Νῖσον, ἢ τὴν Σκύλλαν. ὁ θάνατος. 606. λείπει μνήσομαι Κλυταιμνήστρας.

588. παιδολίμας M. 590. πυρδαῆτιν Hermannus: πυρδαῆ τινα M. 591. καταίθουσα Canterus: κ' αἴθουσα M. 594. διαί Schuetzius: διὰ M. 595. μοιρόκραντον Canterus: μοιρόκραντόσδ' (ν superscr. m) M. 596. ἄλλαν Canterus: ἄλλα M. 598. ὕπερ Porsonus. 600. χρυσοκμήτοισιν Hermannus: χρυσεοδμήτοισιν M. 601. πιθήσασα Abreschius: πειθήσασα M. δώροισι Ald.: δόροισι M. 604. πνείονθ' Heathius. 605. κι..χάνει, eraso γ, M. νιν Blomfieldus: μιν M. 606. ἐπεμνησάμην Heathius: ἐπεμνήσαμεν M.

πόνων, ἀκαίρως δὲ δυσφιλὲς
γαμήλευμ᾽ ἀπεύχετον δόμοις
γυναικοβούλους τε μήτιδας φρενῶν
ἐπ᾽ ἀνδρὶ τευχεσφόρῳ,
ἐπ᾽ ἀνδρὶ δῄοις ἐπικότῳ σέβας,
τίων δ᾽ ἀθέρμαντον ἑστίαν δόμων,
γυναικείαν ἄτολμον αἰχμάν.
antistr. 3. κακῶν δὲ πρεσβεύεται τὸ Λήμνιον
λόγῳ· γοᾶται δὲ δὴ ποθεῖ
κατάπτυστον. ἤκασεν δέ τις
τὸ δεινὸν ἂν Λημνίοισι πήμασι.
θεοστυγήτῳ δ᾽ ἄγει
βροτῶν ἀτιμωθὲν οἴχεται γένος.
σέβει γὰρ οὔτις τὸ δυσφιλὲς θεοῖς.
τί τῶνδ᾽ οὐκ ἐνδίκως ἀγείρω;
str. 4. τὸ δ᾽ ἄγχι πλευμόνων ξίφος
διανταίαν ὀξυπευκὲς οὐτᾷ
διαὶ Δίκας. τὸ μὴ θέμις γὰρ οὐ
λὰξ πέδοι πατούμενον,
τὸ πᾶν Διὸς σέβας παρεκ-

607. ὁ δέ ἀντὶ τοῦ γάρ. 608. τοῦ Αἰγίσθου. 609. λείπει εἰργάσατο. 611. ἐπ᾽ ἀνδρὶ φοβερῷ καὶ σεβαστῷ καὶ παρὰ τοῖς πολεμίοις. 612. ἀθέρμαντον: ἀθράσυντον. διὰ τὸ θράσος γὰρ ᾄδονται αἱ Λήμνιαι. 613. λείπει ἡ κατά. 614. μεῖζον ὀνομάζεται. λείπει ἔργον. 615. λόγῳ: ἐν διηγήματι. 616. μισητόν. εἰκονίσειέ τις. 617. τὸ κατὰ Κλυταιμνήστρας. 618. ὁ δέ ἀντὶ τοῦ γάρ. 619. τὸ τῶν Λημνιάδων. 621. συνάξασα κατηγορῶ. νύσσει γάρ με τὸ δίκαιον ταῦτα λέγειν. 622. τὸ δὲ ξίφος τῆς δίκης, τὸ ἔχον πικρίαν, ἀντικρὺ διὰ πνευμόνων ὁρμᾷ. 623. ὁρμᾷ. 624. τὸ γὰρ μὴ δίκαιον οὐ δεῖ ἀμελεῖσθαι, οὐδὲ παρασιωπᾶσθαι, ἀλλ᾽ ἐκδικήσεως τυγχάνειν. 626. λείπει ὁ γάρ, καὶ ἔστι, τὸ γὰρ πᾶν τοῦ Διὸς σέβας παρεξέβησαν ἀθεμίστως οἱ περὶ τὸν Αἴγισθον.

---

610. in margine supplevit m. recentior (*m*?). 615. *ποθεῖ* M. 617. *ἂν* Stanleius: *αὖ* M. 618. *ἄγει* Auratus: *ἄχει* M. 623. *οὐτᾷ* Hermannus: *σοῦται* M. 625. *πέδοι* Hermannus: *πέδον* M.

βάντες οὐ θεμιστῶς.
antistr. 4. Δίκας δ' ἐρείδεται πυθμήν·
προχαλκεύει δ' Ἄλσα φασγανουργός·
τέκνον δ' ἐπεισφέρει δίμασε
αἱμάτων παλαιτέρων
τίνει μύσος χρόνῳ κλυτὴ
βυσσόφρων Ἐρινύς.

ΟΡ. παῖ παῖ, θύρας ἄκουσον ἑρκείας κτύπον.
τίς ἔνδον, ὦ παῖ, παῖ, μάλ' αὖθις, ἐν δόμοις;
τρίτον τόδ' ἐκπέραμα δωμάτων καλῶ,
εἴπερ φιλόξεν' ἐστὶν Αἰγίσθου δίαι.
ΟΙ. εἶεν, ἀκούω· ποδαπὸς ὁ ξένος; πόθεν;
ΟΡ. ἄγγελλε τοῖσι κυρίοισι δωμάτων,
πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους.
τάχυνε δ', ὡς καὶ νυκτὸς ἅρμ' ἐπείγεται
σκοτεινόν, ὥρα δ' ἐμπόρους μεθιέναι
ἄγκυραν ἐν δόμοισι πανδόκοις ξένων.
ἐξελθέτω τις δωμάτων τελεσφόρος,
γυνὴ ταπαρχος, ἄνδρα δ' εὐπρεπέστερον·
αἰδὼς γὰρ ἐν λέσχῃσιν οὐκ ἐπαργέμους

627. ἀντὶ τοῦ παρεξέβησαν. καὶ ἔστι μετοχὴ ἀντὶ ῥήματος, ὡς τῷ (τὸ Rob.) καρπῷ βριθομένη (Hom. Il. Θ. 307). 628. ῥίζα δικαιοσύνης καταβάλλεται. 630. ἀντὶ τοῦ ποινήν. ἐπεισφέρει δὲ τοῖς οἴκοις τέκνον παλαιῶν αἱμάτων, ὅ ἐστι, τίκτει ὁ φόνος ἄλλον φόνον. λείπει ἢ ἐπὶ. 632. ἀπαιτεῖ. ἢ περιβάητος. 635. τίς ἐν δόμοις. 636. ἐκπεράσαι τινὰ καλῶ. τὸ ἐκπέραμά ἐστι τὸν διάκονον τὸν εἰσιόντα καὶ ἐξιόντα πρὸς τὰς ἀποκρίσεις. 641. περίφρασις, ἡ νύξ. 642. ὁδοιπόρους. 643. ἐν τοῖς πανδόκοις δόμοις τῶν ξενοδόκων καιρὸς τὴν ἄγκυραν προσορμίσαι τοὺς ὁδοιπόρους, ἀντὶ τοῦ καταλῦσαι. 644. ἀρχηγός, διοικητής. 645. βέλτιον ἄνδρα ἐξελθεῖν. 646. ἐν ταῖς

627. ἀθεμίστωσ, α mutato in ου, M. 628. δίκησ· α. M. 629. προχαλκεύει Hermannus: προσχαλκεύει M. 631. αἱμάτων schol.: δωμάτων M. 632. τίνει Turnebus: τείνει M. 634. 638. 639. 649. 655. ὁ paragraphis notat M. 642. ἅρα Robortellus: ὥραι M. 645. ταπαρχοσ M. leg. γυναῖκ' ἀπαρκές. δ' Turnebus: τ' M. 646. λέσχαισιν Emperius: λεχθεῖσιν M.

λόγους τίθησιν· εἶπε θαρσήσας ἀνὴρ
πρὸς ἄνδρα κἀσήμηνεν ἐμφανὲς τέχμαρ.
ΚΛ. ξένοι, λέγοιτ' ἂν εἴ τι δεῖ· πάρεστι γὰρ
ὁποῖάπερ δόμοισι τοῖσδ' ἐπεικότα,
καὶ θερμὰ λουτρὰ καὶ πόνων θελκτήρια,
στρωμνὴ δικαίων τ' ὀμμάτων παρουσία.
εἰ δ' ἄλλο πρᾶξαι δεῖ τι βουλιώτερον,
ἀνδρῶν τόδ' ἐστὶν ἔργον, οἷς κοινώσομεν.
ΟΡ. ξένος μέν εἰμι Δαυλιεὺς ἐκ Φωκέων·
στείχοντα δ' αὐτόφορτον οἰκείᾳ σαγῇ
ἐς Ἄργος, ὥσπερ δεῦρ' ἀπεζύγην πόδας,
ἀγνὼς πρὸς ἀγνῶτ' εἶπε συμβαλὼν ἀνὴρ
ἐξιστορήσας καὶ σαφηνίσας ὁδόν,
Στροφίος ὁ Φωκεύς· πεύθομαι γὰρ ἐν λόγῳ·
ἐπείπερ ἄλλως, ὦ ξέν', εἰς Ἄργος κίεις,
πρὸς τοὺς τεκόντας πανδίκως μεμνημένος
τεθνεῶτ' Ὀρέστην εἰπέ, μηδαμῶς λάθῃ.
εἴτ' οὖν κομίζειν δόξα νικήσει φίλων,
εἴτ' οὖν μέτοικον, εἰς τὸ πᾶν ἀεὶ ξένον,
θάπτειν, ἐφετμὰς τάσδε πόρθμευσον πάλιν.
νῦν γὰρ λέβητος χαλκέου πλευρώματα
σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου.

πρὸς γυναῖκας ὁμιλίαις. σκοτεινούς, ἀπὸ τῶν περὶ τοὺς ὀφθαλμοὺς λευκωμάτων. πλεονάζει ἡ ου. 652. ἀντὶ τοῦ δίκαιοι ἄνθρωποι. 653. βουλευτικώτερον, ὅ ἐστιν, εἰ δὲ οὐ διὰ ξενίαν ἥκετε, ἀλλὰ δι' ἄλλο τι. 655. Δαυλὶς ἡ καὶ Αὐλίς. 656. ἐπὶ ἰδίᾳ πραγματείᾳ. 657. τῆς ὁδοῦ τῆς ὁδοιπορίας ἀπέλυσα, ἐπὶ τῷ ξενισθῆναι παρ' ὑμῖν. ἐκ μεταφορᾶς τῶν ἀπολυομένων τοῦ ζυγοῦ ἵππων καὶ ἐπὶ φάτνην ὁρμώντων. 658. συναντήσας. 659. ἐρωτήσας καὶ μαθών. 660. ἤκουσα γὰρ ἐν τῷ μου πρὸς αὐτὸν διαλόγῳ ὅτι Στροφίος προσαγορεύεται. 661. δι' ἄλλην χρείαν. 662. τὸ ἐξῆς, ἀγνὼς πρὸς ἀγνῶτα εἶπεν· ἐπείπερ, ὦ ξένε. τὰ δὲ ἄλλα διὰ μέσου. 663. μηδαμῶς λάθῃ με ἡ βουλὴ τῶν φίλων. λέγει δὲ τῶν περὶ Αἴγισθον. 664. εἰς τοὺς οἴκους. 666. ἀντὶ τοῦ διακόνησον.

651. θελκτηρία Wakefieldus. 656. οἰκείᾳ Turnebus: οἰκίαι M. 663. εἶπε M.

τοσαῦτ' ἀκούσας εἶπον. εἰ δὲ τυγχάνω
τοῖς κυρίοισι καὶ προσήκουσιν λέγων
οὐκ οἶδα, τὸν τεκόντα δ' εἰκὸς εἰδέναι.
ΚΛ. οἶ 'γώ, κατ' ἄκρας ἐνπᾶς ὡς πορθούμεθα.
ὦ δυσπάλαιστε τῶνδε δωμάτων ἀρά,
ὡς πόλλ' ἐπωπᾷς κἀκποδὼν εὖ κείμενα
τόξοις πρόσωθεν εὐσκόποις χειρουμένη
φίλων ἀποψιλοῖς με τὴν παναθλίαν.
καὶ νῦν Ὀρέστης ἦν γὰρ εὐβούλως ἔχων,
ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα.
νῦν δήπερ ἐν δόμοισι βακχείας καλῆς
ἰατρὸς ἐλπὶς ἦν παροῦσαν ἐγγράφει.
ΟΡ. ἐγὼ μὲν οὖν ξένοισιν ὧδ' εὐδαίμοσιν
κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον
γνωστὸς γενέσθαι καὶ ξενωθῆναι· τί γὰρ
ξένου ξένοισίν ἐστιν εὐμενέστερον;
πρὸς δυσσεβείας [δ'] ἦν ἐμοὶ τόδ' ἐν φρεσίν,
τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις,
καταινέσαντα καὶ κατεξενωμένον.

669. πιθανῶς, ἵνα δοκῇ ὅλως ἀγνοεῖν. 673. ὦ δυσκατα-γώνιστε. 774. ἐπωπᾷς: ἐφορᾷς πολλὰ τὰ ἡμέτερα ἀτυχήματα. καὶ τὰ πόρρωθεν καλῶς κείμενα τῶν φίλων, ὅ ἐστι, τὰ ἐπὶ ξένης ἀγαθὰ ἐνδιαιτήματα τοῦ Ὀρέστου τοῖς τόξοις εὐστόχως κινουμένη ἀπογυμνοῖς με. 677. ἀντὶ τοῦ πρότερον. τὸ γὰρ νῦν δηλοῖ καὶ τὸ παρεληλυθός. 678. τὸ ἐξῆς οὕτως τοῦ νοήματος· καὶ πρότερον ἔξω κομίζων ὀλέθρου (ὀλεθρίου Robort.) πηλοῦ πόδα· ἦν γὰρ εὐβούλως ἔχων Ὀρέστης. ποῖος Ὀρέστης; ἡ τοῖς οἴκοις ἰατικὴ ἐλπὶς τῆς ἀγαθῆς εὐφροσύνης. νῦν δὲ ἀπώλετο. ἔξω πηλοῦ πόδα: παροιμία. 679. ἡ εὐφροσύνη τῶν βασιλείων οἴχεται. 680. ἐλπίς: τάξον αὐτὴν ἀφανισθεῖσαν ἀρᾷ. ὡς πρὸς τὸ ἐλπίς δ' ἀπέδωκεν. 684. ἢ τὸ ἀγαθὰ ἀγγεῖλαι. τοῦτο γὰρ φιλίας αἴτιον τοῖς ξένοις γένεται. 686. κε-φαλαιῶσαι, εἰπεῖν.

672. paragrapho notat M. *οἶ ἐγὼ* M. *ἐνπᾶσ ὡσ* M. 678. *κο-μίζων* schol.: *νομίζων* M. 679. *βακχείας* Turnebus: *βακχίασ* M. *ζάλης* Bambergerus. fort. *νῦν δ', ἣ παρῆν δόμοισι βακχείας ζάλης | ἰατρὸς ἐλπίς, ἀμπλακοῦσαν ἔγγραφε* (*τάξον* schol.). 681. paragraphus praefixa in M. *ὧν* M, *οὖν* supersor. *m.* 685. *δ'* addidit Portus. leg. *φρασίν.*

ΚΛ. οὗτοι κυρήσεις μεῖον ἀξίως σέθεν,
οὐδ' ἧσσον ἂν γένοιο δώμασιν φίλος.
ἄλλος δ' ὁμοίως ἦλθεν ἂν τάδ' ἀγγελῶν.
ἀλλ' ἔσθ' ὁ καιρὸς ἡμερεύοντας ξένους
μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα.
ἄγ' αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων,
ὀπισθόπους δὲ τούσδε καὶ ξυνεμπόρους·
κἀκεῖ κυρούντων σώμασιν τὰ πρόσφορα.
αἰνῶ δὲ πράσσειν ὡς ὑπευθύνῳ τάδε.
ἡμεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων
κοινώσομέν τε κοὐ σπανίζοντες φίλων
βουλευσόμεσθα τῆσδε συμφορᾶς πέρι.

ΧΟ. εἶεν, φίλιαι δμωίδες οἴκων,
πότε δὴ στομάτων
δείξομεν ἰσχὺν ἐπ' Ὀρέστῃ;
ὦ πότνια χθὼν καὶ πότνι' ἀκτὴ
χώματος, ἣ νῦν ἐπὶ ναυάρχῳ
σώματι κεῖσαι τῷ βασιλείῳ,
νῦν ἐπάκουσον, νῦν ἐπάρηξον·
νῦν γὰρ ἀκμάζει Πειθὼ δολίαν
ξυγκαταβῆναι, χθόνιον δ' Ἑρμῆν
καὶ τὸν νύχιον τοῖσδ' ἐφοδεῦσαι
ξιφοδηλήτοισιν ἀγῶσιν.

688. τῶν σοι ἀξίων τιμῶν. 690. εἰ καὶ μὴ σὺ ἤγγειλας. 691. δι' ἡμέρας καμόντας. 696. συμβουλεύω σοι ταῦτα πράσσειν, ὡς δώσοντι δίκην, ἤν τι παρὰ τὸ δέον ποιήσῃς. ὑποδίκῳ. 701. πότε ἐπευξόμεθα. 703. ὦ προσφιλὴς καὶ τιμία ἡμῖν. ἡ ἀκτὴ τοῦ τάφου. 707. νῦν καιρὸν ἔχει ἡ δολία πειθὼ συναγωνίσασθαι τῷ Ὀρέστῃ. 708. ξυγκαταβῆναι: συνάρασθαι πρὸς τὴν ὁδόν. 709. ἀπὸ κοινοῦ τὸ νῦν ἀκμάζει.

---

688. paragrapho notat M. *ἀξίας* Dindorfius, *ἀξίων* Pauwius. 693—95. in textu omissos in margine supplevit librarius M. 694. *ὀπισθόπουν τε τοῦδε (τόνδε) καὶ ξυνέμπορον* Hermannus. 695. *σώμασιν* H. Vossius: *δώμασι* M. 696. *ὑπευθύνῳ* Turnebus: *ἐπευθύνωι* M. 697. paragrapho notatus in M. 698. *κοινώσομεν* b: *κοινώσομεν* M. 699. *βουλευσόμεσθα* Canterus: *βουλευόμεθα* M. 700. 711. paragraphi praefixae in M. 700. *φίλιαι* Heathius: *φιλίαι* M. *δμωΐδες* b: *δμωϊίδεσ* M. 707. *δολίαν* Pauwius: *δολία* M. 708. *Ἑρμῆν* Turnebus: *ἑρμῆα* M.

ἔοικεν ἀνὴρ ὁ ξένος τεύχειν κακόν·
τροφὸν δ' Ὀρέστου τήνδ' ὁρῶ κεκλαυμένην.
ποῖ δὴ πατεῖς, Κίλισσα, δωμάτων πύλας;
λύπη δ' ἄμισθός ἐστί σοι ξυνέμπορος.

ΤΡ. Αἴγισθον ἧ κρατοῦσα τοῖς ξένοις καλεῖν
ὅπως τάχιστ' ἄνωγεν, ὡς σαφέστερον
ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν
ἐλθὼν πύθηται τήνδε, πρὸς μὲν οἰκέτας
θέτο σκυθρωπῶν ἐντὸς ὀμμάτων γέλων
κεύθουσ' ἐπ' ἔργοις διαπεπραγμένοις καλῶς
κείνῃ, δόμοις δὲ τοῖσδε παγκάκως ἔχει
φήμης ὑφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς.
ἦ δὴ κλύων ἐκεῖνος εὐφρανεῖ νόον,
εὖτ' ἂν πύθηται μῦθον. ὦ τάλαιν' ἐγώ·
ὡς μοι τὰ μὲν παλαιὰ συγκεκραμένα
ἄλγη δύσοιστα τοῖσδ' ἐν Ἀτρέως δόμοις
τυχόντ' ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα.
ἀλλ' οὔτι πω τοιόνδε πῆμ' ἀνεσχόμην.
τὰ μὲν γὰρ ἄλλα τλημόνως ἤντλουν κακά·
φίλον δ' Ὀρέστην, τῆς ἐμῆς ψυχῆς τριβήν,
ὃν ἐξέθρεψα μητρόθεν δεδεγμένη,

711. ξένον τὸν Ὀρέστην καλεῖ, ἵνα δόξωσιν ἀγνοεῖν τὸ σκαιώρημα. ἀντὶ τοῦ πεποιηκέναι πένθος τῷ οἴκῳ (ἔοικε Weil.) διὰ τῆς ἀγγελίας. 714. κακόμισθος· δάκρυα γὰρ προξενεῖ. Κίλισσαν δέ φησι τὴν Ὀρέστου τροφόν, Πίνδαρος δὲ Ἀρ[illegible]νόην, Στησίχορος Λαοδάμειαν. 715. ἡ τοὺς ξένους κρατοῦσα καὶ ὑποδεξαμένη Αἴγισθον καλεῖν ἐκέλευσε. 717. τὴν νεωστὶ ἀγγελθεῖσαν. 721. ἀντὶ τοῦ κακῶς οἶκος διάκειται ὑπὸ τῆς φήμης ἧς ἤγγειλαν οἱ ξένοι σαφῶς. 722. σαφῶς. 723. ἀντὶ τοῦ ὄντως. 725. λίαν. ἡ χρεουργία τῶν Θυέστου παίδων καὶ ὁ Ἀγαμέμνονος θάνατος. 728. οἷον ἐπὶ τῇ τοῦ Ὀρέστου ἀγγελίᾳ νῦν. 729. καρτερικῶς ὑπέφερον. 730. τὸν συντρίψαντά μου ταῖς ἐπιμελείαις τὴν ψυχήν.

---

711. ἀνὴρ M. 715. paragraphum adscriptam habet M sec. Dindorfium, neglectam Merkelio. τοῖς ξένοις Pauwius: τοὺς ξένους M. 719. θέτο.. M. σκυθρωπῶν Victorius: σκυθρωπὸν M. 721. ἔχει Robortellus: ἔχειν M. 723. paragrapho notat M sec. Merkel. ἐκεῖνος Robortellus: ἐκεῖνον M.

καὶ νυκτιπλάγκτων ὀρθίων κελευμάτων
καὶ πολλὰ καὶ μοχθήρ᾽ ἀνωφέλητ᾽ ἐμοὶ
τλάσῃ· τὸ μὴ φρονοῦν γὰρ ὥσπερεὶ βοτὸν
τρέφειν ἀνάγκη, πῶς γὰρ οὔ; τρόπῳ φρενός.
οὐ γάρ τι φωνεῖ παῖς ἔτ᾽ ὢν ἐν σπαργάνοις,
εἰ λιμὸς ἢ δίψη τις ἢ λιψουρία
ἔχει, νέα δὲ νηδὺς αὐτάρκης τέκνων.
τούτων πρόμαντις οὖσα, πολλὰ δ᾽, οἶομαι,
ψευσθεῖσα παιδὸς σπαργάνων φαιδρύντρια,
γναφεὺς τροφεύς τε ταὐτὸν εἰχέτην τέλος.
ἐγὼ διπλᾶς δὲ τάσδε χειρωναξίας
ἔχουσ᾽ Ὀρέστην ἐξεδεξάμην πατρί.
τεθνηκότος δὲ νῦν τάλαινα πεύθομαι.
στείχω δ᾽ ἐπ᾽ ἄνδρα τῶνδε λυμαντήριον
οἴκων, θέλων δὲ τόνδε πεύσεται λόγον.
ΧΟ. πῶς οὖν κελεύει νιν μολεῖν ἐσταλμένον;
ΤΡ. ἢ πῶς; λέγ᾽ αὖθις, ὡς μάθω σαφέστερον.
ΧΟ. εἰ ξὺν λοχίταις, εἴτε καὶ μονοστιβῆ.
ΤΡ. ἄγειν κελεύει δορυφόρους ὀπάονας.
ΧΟ. μή νυν σὺ ταῦτ᾽ ἄγγελλε δεσπότου στύγει·
ἀλλ᾽ αὐτὸν ἐλθεῖν, ὡς ἀδειμάντως κλύῃ,

732. οὐ μόνον δι᾽ ἡμέρας, ἀλλὰ καὶ διὰ νυκτῶν. ἀνωφέλητα ἐμοὶ τῇ τλάσῃ καὶ πολλὰ καὶ μοχθηρά. κελεύουσι γὰρ τῷ καλεῖν οἱ παῖδες. 735. ἀνάγκη τρέφειν ἐπιμελείᾳ ψυχῆς. πῶς γὰρ οὔ; 736. ἀλλ᾽ ἀνάγκην διὰ δακρύων ἐπέφερεν. 738. ἡ γὰρ νέα νηδὺς τῶν τέκνων ἑαυτῇ ἀρκεῖν καὶ βοηθεῖν βούλεται· ὅ ἐστιν, ἀνύειν βούλεται τὰς ἐπιθυμίας. 740. ἀπὸ κοινοῦ τὸ ἐξέθρεψα. 742. χειρωναξίας: τὰς διὰ χειρῶν ἐργασίας. 743. ἀντὶ τοῦ ἔθρεψα, ἀπέσωσα. 747. ἠσκημένον, παρεσκευασμένον. 751. τῷ μισουμένῳ ὑπ᾽ Ἀγαμέμνονος.

---

post 732. hiare orationem intellexit Schuetzius. 737. *εἰ* Stanleius: *ἢ* M. 741. *τροφεύς* Robortellus: *στροφεύς* M. 743. *ἐξεθρεψάμην* Weilius. *πατρὶ* M. 745. *στείχω* M, *στείχων* m. 746. *τόνδε — λόγον* Blomfieldus: *τῶνδε — λόγων* M. 747—750. personarum notae nullae in M. 748. *τί πῶς* Canterus, *ὅπως* Valckenaerius. 749. *εἰ* Turnebus: *ἢ* M. 751. 755—62. 764. singulis paragraphi adscriptae in M.

ἄνωχθ' ὅσον τάχιστα γαθούσῃ φρενί.
ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος.
ΤΡ. ἀλλ' ἢ φρονεῖς εὖ τοῖσι νῦν ἠγγελμένοις;
ΧΟ. ἀλλ' εἰ τροπαίαν Ζεὺς κακῶν θήσει ποτέ.
ΤΡ. καὶ πῶς; Ὀρέστης ἐλπὶς οἴχεται δόμων.
ΧΟ. οὔπω· κακός γε μάντις ἂν γνοίη τάδε.
ΤΡ. τί φῄς; ἔχεις τι τῶν λελεγμένων δίχα;
ΧΟ. ἄγγελλ' ἰοῦσα, πρᾶσσε τἀπεσταλμένα·
μέλει θεοῖσιν ὥνπερ ἂν μέλῃ πέρι.
ΤΡ. ἀλλ' εἶμι καὶ σοῖς ταῦτα πείσομαι λόγοις.
γένοιτο δ' ὡς ἄριστα σὺν θεῶν δόσει.

str. 1. ΧΟ. νῦν παραιτουμένᾳ μοι, πάτερ
Ζεῦ θεῶν Ὀλυμπίων,
δὸς τύχας, τυχεῖν δέ μου κυρίως
τὰ σώφροσυνευ μαιομένοις ἰδεῖν.
διαδικᾶσαι πᾶν ἔπος
ἔλακον. Ζεῦ, σὺ δέ νιν φυλάσσοις.
ἔ ἔ.
πρὸ δὲ δὴ χθρῶν τῶν ἔσω μελάθρων, ὦ Ζεῦ,
θές, ἐπεί νιν μέγαν ἄρας,

754. χαίρεις. 755. ὄντως. 756. μετατροπήν. 758. τινὲς στίζουσιν εἰς τὸ οὔπω, ἵν' ᾖ, οὔπω ἐλπὶς οἴχεται δόμων. ταῦτα δὲ καὶ ὁ τυχὼν μάντις γνοίη. ταῦτο ἀκριβοῦς μάντεως εἰπεῖν. 759. ἀντὶ τοῦ παρὰ τὰ εἰρημένα περὶ τοῦ Ὀρέστου. 764. πλεονάζει ἡ παρά. ἡ παρὰ σοῦ αἰτουμένη (ἢ - αἰτουμένη Dind.). 766. δός μοι εὐτυχίαν εὐτυχῆσαι βεβαίως. 768. δικαίως. κατὰ δίκαν, ὅ ἐστι κατὰ τὸ δίκαιον. 769. τὸν Ὀρέστην. 771. ἐπάρας γὰρ τὸν Ὀρέστην δυνήσῃ καὶ τριπλασίονα ποινὴν εἰσπράξασθαι τὸν Ὀρέστην ποιῆσαι.

---

753. τάχιστα γαθούσῃ (γηθούσῃ Pauwius) Turnebus: τάχιστ' ἀγαθούσῃ M. 754. ὀρθοῦται λόγος schol. Hom. Il. *O*. 207: ὀρθούσῃ φρενὶ M. 756. fort. ἴσως τροπαίαν. 760. ἄγγελλ' Robortellus: ἄγγελ' M. τἀπεσταλμένα Victorius: τἀπεπαλμένα M sec. Merkelium, τἀπεσταλμένα sec. reliquos. 761. μέλει — μέλῃ Ald.: μέλλει — μέλλῃ M. 764. παραιτουμένᾳ μοι Turnebus et Hermannus: παραιτουμέν' ἐμοὶ M. 766. μοι Turnebus. 767. τὸ σάφρον' εὖ Hermannus. 768. διὰ δίκας Pauwius. 769. ἔλακον. ὦ Ζεῦ, σύ νιν Hermannus. 770. τὸν ἔσωθεν μελάθρων, Ζεῦ Seidlerus. 771. νιν Seidlerus: μιν M. ἄρασ, corr. in αἴρασ, M.

δίδυμα καὶ τριπλᾶ
παλίμποινα θέλων ἀμείψει.
antistr. 1. ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὖ-
νιν ζυγέντ' ἐν ἅρματι
πημάτων, ἐν δρόμῳ προστιθεὶς
μέτρον. τίς ἂν σῳζόμενον ῥυθμὸν
τοῦτ' ἰδεῖν δάπεδον,
ἀνομένων βημάτων ὄρεγμα.
[ἔ ἔ.
πρὸ δὲ δὴ 'χθρῶν τῶν ἔσω μελάθρων, ὦ Ζεῦ,
θές, ἐπεί νιν μέγαν ἄρας,
δίδυμα καὶ τριπλᾶ
παλίμποινα θέλων ἀμείψει.]
str. 2. οἵ τ' ἔσωθε δωμάτων
πλουτογαθῆ μυχὸν νομίζετε,
κλύετε, σύμφρονες θεοί.
ἄγετε, τῶν πάλαι πεπραγμένων
λύσασθ' αἷμα προσφάτοις δίκαις.
γέρων φόνος μηκέτ' ἐν δόμοις τέκοι.
τόδε καλῶς κτάμενον ὦ μέγα ναίων

772. διπλάσια καὶ τριπλάσια. 774. γίγνωσκε. τοῦ Ἀγαμέμνονος. τὸν Ὀρέστην. 775. ἐνέμεινε τῇ μεταφορᾷ. φήσας γὰρ ἐν ἅρμασι πημάτων τὸ δρόμῳ ἐπήγαγε. 777. τέλος αὐτῷ προστιθεὶς τῶν κακῶν. ἀντὶ τοῦ εὔτακτον καὶ μὴ τραχεῖαν πορείαν. 778. ἰδεῖν: ἀντὶ τοῦ ἴδοι. τὸ δὲ ἑξῆς· ἴδοι δέ τις σωζόμενον αὐτῷ τὸν ῥυθμὸν τοῦ δρόμου· μηδὲ ὑπερδραμὼν ἐν τῷ δαπέδῳ διαρρήξῃ τὸν χαλινόν. λείπει τὸ ὅπως. καὶ τὸ ἰδεῖν ἀντὶ τοῦ ἴδοι. ὁ δὲ νοῦς, ὅπως ἄν τις τοῦτο ἴδοι σωζόμενον τὸν ῥυθμὸν ὁμαλὸν καὶ εὔτακτον κατὰ τὸν δρόμον τῶν ἀνυομένων πημάτων. 785. ἡνιοχεῖτε καὶ διοικεῖτε. 789. Ἀγαμέμνονος δὲ παλαιὸς φόνος μὴ συγχωρήσῃ φόνον τῷ Ὀρέστῃ τεχθῆναι διὰ τὸν φόνον Αἰγίσθου. 790. διὰ τοῦτο τὸ καλῶς ἀναιρεθησόμενον· λέγει δὲ τὸ αἷμα τοῦ Αἰγίσθου. ὦ Ἅιδη.

773. παλίνποινα M. 777. σωζώμενον, corr. in σωζόμενον, M. 779. ἀνώμενον, corr. in ἀνόμενον, M. 780—83. iteravi ephymnium in M neglectum. 784. ἔσω Hermannus. 786. κλῦτε Dindorfius. 788. προφάτοισ M.

στόμιον, εὖ δὸς ἀνιδεῖν δόμον ἀνδρός,
καί νιν ἐλευθερίως
λαμπρῶς ἰδεῖν φιλίοις
ὄμμασι δνοφερᾶς καλύπτρας.
antistr. 2. ξυλλάβοι δ' ἐνδίκως
παῖς ὁ Μαίας ἐπιφορώτατος
πρᾶξιν οὐρίαν θέλων.
πολλὰ δ' ἄλλα φανεῖ χρηΐζων,
κρυπτά. ἄσκοπον δ' ἔπος λέγων
νύκτα πρό τ' ὀμμάτων σκότον φέρει,
καθ' ἡμέραν δ' οὐδὲν ἐμφανέστερος.
[τόδε καλῶς κτάμενον ὦ μέγα ναίων
στόμιον, εὖ δὸς ἀνιδεῖν δόμον ἀνδρός,
καί νιν ἐλευθερίως
λαμπρῶς ἰδεῖν φιλίοις
ὄμμασι δνοφερᾶς καλύπτρας.]
str. 3. καὶ τότ' ἤδη πλοῦτον
δωμάτων λυτήριον,
θῆλυν οὐριοστάταν
δμοῦ κρεκτὸν γοήτων νόμον

791. ἀναβλέψαι. 793. ἀπὸ κοινοῦ τὸ δός. 794. τοῦ σκότους. 796. ὡς ἐπὶ ἀνέμου εἶπεν, ἀντὶ τοῦ ὁ λογικώτατος. 798. τὰ δὲ κρυπτὰ νῦν φανερώσει. θέλων πολλὰ κρυπτὰ εὑρήσει. 799. ἀπροφύλακτον. τὸν Ἑρμῆν δέ φησι· λόγος γάρ ἐστιν. ἀδιάσκοπός ἐστιν ὁ λόγος, τοῦτ' ἔστιν ὁ Ἑρμῆς. ἀδιάγνωστός ἐστι· νύκτα γὰρ καὶ σκότον πρὸ τοῦ προσώπου φέρει. 807. ὅταν ἀπαλλαγῶμεν. τὸν πλοῦτον τῶν δωμάτων ἐλεύθερον τῇ πόλει μεθήσομεν, δμοῦ τε μεθήσομεν τὸν κρεκτὸν γοήτων νόμων, ὅ ἐστι, καὶ τῶν ἀγαθῶν τῇ πόλει μεταδώσομεν, καὶ τὸν Ἀγαμέμνονα ἀκινδύνως θρηνήσομεν. 808. ἐλεύθερον. νῦν γὰρ ὑπὸ τυράννων ἀποκέκλεισται. 809. γεννητικόν. οὐρίως σταθέντα. 810. τὸν τῶν γοήτων, οἳ ὡς (οἵως Bamberger.) ᾄδουσι παριόντες (περιόντες Vict.) τὴν πόλιν.

---

796. ἐπεὶ φορώτατος Emperius. 797. θέλων M. 999. leg. λέγω. 802—806. ephymnium in M omissum repetendum esse intellexit Dindorfius. 807. τότ' ἤδη Blomfieldus: τότε δὴ M. 810. ὁμοῦ, sed litteris ὁμο scriptis in litura, M. fort. ξύνκρεκτον. γοατάν Hermannus. νόμον, rasura factum e νόμων, M.

μεθήσομεν πόλει τάδ' εὖ,
ἐμὸν ἐμὸν κέρδος αὔξεται τόδ', ἄ-
τα δ' ἀποστατεῖ φίλων.
σὺ δὲ θαρσῶν, ὅταν ἥκῃ
μέρος ἔργων, ἐπαΰσας
πατρὸς ἔργῳ, θροούσᾳ
πρὸς σέ, τέκνον, πατρὸς αὐδάν,
καὶ περαίνων ἐπίμομφον ἄταν.
antistr. 3. Περσέως τ' ἐν φρεσὶν
καρδίαν σχεθών,
τοῖς θ' ὑπὸ χθονὸς φίλοις,
τοῖς τ' ἄνωθεν προπράσσων χάριτος
ὀργᾶς λυπρᾶς ἔνδοθεν
φοινίαν ἄταν τιθείς, τὸν αἴτιον δ'
ἐξαπολλὺς μόρου.
[σὺ δὲ θαρσῶν, ὅταν ἥκῃ
μέρος ἔργων, ἐπαΰσας

811. *τὰ καλῶς ἀποβαίνοντα. τὸ ἐμὸν κέρδος ἐστίν, τῶν δὲ περὶ Ὀρέστην καὶ Ἠλέκτραν ἀπαλλαγὴ ἄτης.* 814. *ὦ Ὀρέστα. σὺ δὲ θαρρῶν ἐμοί, τέκνον, θροούσῃ πρὸς σὲ πατρὸς αὐδάν, ὅ ἐστιν, ὡς ἂν εἰ πατὴρ συμβουλευούσῃ* (συμβουλεύσῃ Robort.), *ὅταν ἥκῃ καιρός, ἔργῳ ἐπιβαλοῦ ἐπικαλεσάμενος τὸ εἴδωλον τοῦ πατρός· πρόσεχε δὲ κἀμοὶ συμβουλευούσῃ σοι οἷα ἂν πατήρ. τὸ δὲ ἐπαΰσας πατρὸς ἔργῳ ἀντὶ τοῦ ἐπικαλεσάμενος τὸ εἴδωλον τοῦ πατρός. ὁ καιρὸς τοῦ ἔργου. λείπει ἐπιβαλοῦ.* 818. *κατεργασάμενος τὴν πολλῶν μέμψεων ἀξίαν ἄτην, ὅ ἐστι, τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν. Περσέως δὲ ἀντὶ τοῦ πορθητοῦ, ἢ ἐπεὶ ἀπεστραμμένος ἐκαρατόμησε Μέδουσαν, ἀποστραφείς, φησίν, ὡς ἐκεῖνος· μή πως θεώμενος αἰδεσθῇς τὴν μητέρα.* 823. *ἐν τῇ ψυχῇ. τὴν ἔνδον ἐπὶ τῆς οἰκίας φονίαν ἄτην καταβαλών, ὅ ἐστι τὴν Κλυταιμνήστραν.* 824. *τὸν Αἴγισθον.*

---

811. fort. *πλεῖ τάδ' εὖ.* 812. fort. *ἀμὸν ἀμόν. τόδε* M. 813. *ἀτη* M. 818. *ἐπίμομφον* Robortellus: *ἐπίμομφαν* M. . 819. *τε ἐν* M. *φρεσίν* (*φρασίν*) Ald.: *φρεσσὶν* M. 821. *θ'* Robortellus: *δ'* M. *φίλοις* Hermannus: *φίλοισιν* M. 823. fort. *χάριν*, | *Γοργοῦς λυγρᾶς. λυγρᾶς* Blomfieldus: *λυπρᾶσ* M. 825. *μόρου* Turnebus: *μόρον* M. 826—830. addidi ephymnium in M omissum.

πατρὸς ἔργῳ, θροούσᾳ
πρὸς σέ, τέκνον, πατρὸς αὐδάν,
καὶ περαίνων ἐπίμομφον ἄταν.]

Αἴγισθος. ἥκω μὲν οὐκ ἄκλητος, ἀλλ' ὑπάγγελος·
νέαν φάτιν δὲ πεύθομαι λέγειν τινὰς
ξένους μολόντας οὐδαμῶς ἐφίμερον,
μόρον γ' Ὀρέστου. καὶ τόδ' ἀμφέρειν δόμοις
γένοιτ' ἂν ἄχθος δείματοστάγ' ἐσφόνῳ
τῷ πρόσθεν ἑλκαίνοντι καὶ δεδηγμένῳ.
πῶς ταῦτ' ἀληθῆ καὶ βλέποντα δοξάσω;
ἢ πρὸς γυναικῶν δειματούμενοι λόγοι
πεδάρσιοι θρῴσκουσι, θνῄσκοντες μάτην;
τί τῶνδ' ἂν εἴποις ὥστε δηλῶσαι φρενί;

ΧΟ. ἠκούσαμεν μέν, πυνθάνου δὲ τῶν ξένων
ἔσω παρελθών. οὐδὲν ἀγγέλων σθένος,
ὡς αὐτὸς αὐτὸν ἄνδρα πεύθεσθαι πέρι.

ΑΙ. ἰδεῖν ἐλέγξαι τ' αὖ θέλω τὸν ἄγγελον,
εἴτ' αὐτὸς ἦν θνῄσκοντος ἐγγύθεν παρὼν
εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθών.
οὗτοι φρέν' ἂν κλέψειεν ὠμματωμένην.

ΧΟ. Ζεῦ Ζεῦ, τί λέγω, πόθεν ἄρξωμαι,
τάδ' ἐπευχομένη κἀπιθεάζουσ',
ὑπὸ δ' εὐνοίας
πῶς ἴσον εἰποῦσ' ἀνύσωμαι;

834. ὑπούλως ταῦτά φησι. 835. τῷ τοῦ Ἀγαμέμνονος. 836. ὡς ἐπὶ μαχαίρας, οὐ παρακαλυφθέντι, ἀλλ' ἀειμνήστῳ· ἐν γὰρ τοῖς θρήνοις ἀμύσσουσιν αὐτῶν τὰ στήθη. 839. οὐκ ἀληθῶς ἀποθανόντες. 842. οὐ τοσοῦτον ἰσχύει εἰπεῖν ἄγγελος ὡς ὁ αὐτόπτης. 847. τὴν συνετήν μου φρένα. 848. ταῦτά φησιν ὁ χορὸς εἰσελθόντος τοῦ Αἰγίσθου. 851. τὸ ἀληθές.

834. γ' Portus: δ' M. 839. θνήσκοντεσ M. 841. paragraphus adscripta in M, sed omissa ad 844. 843. αὐτὸν Schuetzius. αὐτῶν Turnebus. πάρα Hermannus. 845. ἦν Turnebus: ἦ' (ἦεν in margine m) θνήκοτοσ M. 847. φρέν' ἂν κλέψειεν Elmsleius: φρένα κλέψειαν M. 849. κἀπιθεάζουσ' Schuetzius: κἀπιθοάζουσα (sed οα in litura) M.

νῦν γὰρ μέλλουσι μιανθεῖσαι
πειραὶ κοπάνων ἀνδροδαΐκτων
ἢ πάνυ θήσειν Ἀγαμεμνονίων
οἴκων ὄλεθρον διὰ παντός,
ἢ πῦρ καὶ φῶς ἐπ' ἐλευθερίᾳ
δαίων ἀρχάς τε πολισσονόμους
ἔξει πατέρων μέγαν ὄλβον.
τοιάνδε πάλην μόνος ὢν ἔφεδρος
δισσοῖς μέλλει θεῖος Ὀρέστης
ἄψειν. εἴη δ' ἐπὶ νίκῃ.

AI. ἔ ἔ, ὀτοτοτοῖ.

XO. ἔα ἔα μάλα·
πῶς ἔχει; πῶς κέκρανται δόμοις;
ἀποσταθῶμεν πράγματος τελουμένου,
ὅπως δοκῶμεν τῶνδ' ἀναίτιαι κακῶν
εἶναι· μάχης γὰρ δὴ κεκύρωται τέλος.

OI. οἴμοι πανοίμοι δεσπότου τελουμένου,
οἴμοι μάλ' αὖθις ἐν τρίτοις προσφθέγμασιν.
Αἴγισθος οὐκέτ' ἔστιν. ἀλλ' ἀνοίξατε
ὅπως τάχιστα, καὶ γυναικείους πύλας
μοχλοῖς χαλᾶτε· καὶ μάλ' ἡβῶντος δὲ δεῖ,
οὐχ ὥστ' ἀρῆξαι διαπεπραγμένῳ· τί γάρ;
ἰοὺ ἰού.
κωφοῖς ἀυτῶ καὶ καθεύδουσιν μάτην
ἄκραντα βάζω. ποῖ Κλυταιμνήστρα; τί δρᾷς;
ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας

853. πειραὶ (παιραὶ cod.) αἱ ἀκμαὶ τῶν ξιφῶν, παρὰ τὸ πείρειν. κοπάνων δὲ τῶν κοπτικῶν ξιφῶν. τῶν συγκοπῶν. 856. πῦρ δαΐδων. 863. φωνῆς ἀκούουσιν ἀναιρουμένου τοῦ Αἰγίσθου. 871. τὰς τῆς Κλυταιμνήστρας. 872. ἡβῶντος ἀνδρὸς δεῖ εἰς τὸ χαλάσαι τὰς πύλας. 873. τῷ σφαγέντι.

---

853. πεῖραι Portus. 858. πατέρων θ' ἕξει Weilius. 860. θεῖος Turnebus: θείοισ M. 862. 863. paragraphi, 865. chori nota adscriptae in M, neglecta 868. omni notatione. 868. πανοίμοι Porsonus: πὰν· οἴμοι M. 873. ὥστ' Porsonus: ὡσ δ' M. διαπεπραγμένῳ schol.: διαπεπραγμένων M. 876. ἐπιξήνου Abreschius.

αὐχὴν πεσεῖσθαι πρὸς δίκην πεπληγμένος.
ΚΛ. τί δ' ἐστὶ χρῆμα; τίνα βοὴν ἵστης δόμοις;
ΟΙ. τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω.
ΚΛ. οἵ 'γώ. ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων.
δόλοις ὀλούμεθ', ὥσπερ οὖν ἐκτείναμεν.
δοίη τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος·
εἰδῶμεν εἰ νικῶμεν, ἢ νικώμεθα.
ἐνταῦθα γὰρ δὴ τοῦδ' ἀφικόμην κακοῦ.
ΟΡ. σὲ καὶ ματεύω· τῷδε δ' ἀρκούντως ἔχει.
ΚΛ. οἵ 'γώ. τέθνηκας, φίλτατ' Αἰγίσθου βία.
ΟΡ. φιλεῖς τὸν ἄνδρα; τοιγὰρ ἐν ταὐτῷ τάφῳ
κείσῃ. θανόντα δ' οὔτι μὴ προδῷς ποτε.
ΚΛ. ἐπίσχες, ὦ παῖ, τόνδε δ' αἴδεσαι, τέκνον,
μαστόν, πρὸς ᾧ σὺ πολλὰ δὴ βρίζων ἅμα
οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα.
ΟΡ. Πυλάδη, τί δράσω; μητέρ' αἰδεσθῶ κτανεῖν;
ΠΥ. ποῦ δαὶ τὰ λοιπὰ Λοξίου μαντεύματα
τὰ πυθόχρηστα, πιστὰ δ' εὐορκώματα;
ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον.
ΟΡ. κρίνω σε νικᾶν, καὶ παραινεῖς μοι καλῶς.
ἕπου, πρὸς αὐτὸν τόνδε σε σφάξαι θέλω·
καὶ ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρός.
τούτῳ θανοῦσα συγκάθευδ', ἐπεὶ φιλεῖς
τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν στυγεῖς.

879. ἀντὶ τοῦ, ὁ τῷ λόγῳ τεθνηκὼς Ὀρέστης ἀπέκτεινε τὸν ζῶντα Αἴγισθον. 886. ἀντὶ τοῦ ὦ Αἴγισθε. 891. τὸ οὖλον. 892. μετεσκεύασται ὁ ἐξάγγελος εἰς Πυλάδην, ἵνα μὴ δ' λέγωσιν. 894. τὰ ὁρκωμόσια ἃ συνωμόσαμεν. 895. πλέον λέγε πάντας ἀνθρώπους ἔχειν τοὺς θεοὺς ἐχθρούς. 897. πρὸς αὐτὸν τὸν Αἴγισθον. πιθανῶς δέ, ἵνα μὴ ἐν φανερῷ ἡ ἀναίρεσις γένηται.

---

877. δίκην b: δίκη M. πεπληγμένης Turnebus. 878—80. 885—887. paragraphis notat M, 889. notatione neglecta. 880. οἵ ἐγὼ M. 882. δ (οἰη in litura) M. 883. εἰ Turnebus: ἢ M. 885. τᾶιδ.... M, τῶιδε δ' m. 886. οἵ ἐγὼ M. 889. δ' αἴδεσαι Sophianus: δήσεται M. 890. ᾧ σὺ Robortellus: ὠκὺ M. 894. τ' Hermannus. 898. κρείσσον' Turnebus: κρέσσον' M.

ΚΛ. ἐγώ σ' ἔθρεψα, σὺν δὲ γηράναι θέλω.
ΟΡ. πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί;
ΚΛ. ἡ Μοῖρα τούτων, ὦ τέκνον, παραιτία.
ΟΡ. καὶ τόνδε τοίνυν Μοῖρ' ἐπόρσυνεν μόρον.
ΚΛ. οὐδὲν σεβίζῃ γενεθλίους ἀράς, τέκνον; 905
ΟΡ. τεκοῦσα γάρ μ' ἔρριψας ἐς τὸ δυστυχές.
ΚΛ. οὔτοι σ' ἀπέρριψ' εἰς δόμους δορυξένους.
ΟΡ. διχῶς ἐπράθην ὢν ἐλευθέρου πατρός.
ΚΛ. ποῦ δῆθ' ὁ τῖμος ὄντιν' ἀντεδεξάμην;
ΟΡ. αἰσχύνομαί σοι τοῦτ' ὀνειδίσαι σαφῶς. 910
ΚΛ. μὴ ἀλλ' εἴφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας.
ΟΡ. μὴ 'λεγχε τὸν πονοῦντ' ἔσω καθημένη.
ΚΛ. ἄλγος γυναιξὶν ἀνδρὸς εἰργεσθαι, τέκνον.
ΟΡ. τρέφει δέ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω.
ΚΛ. κτενεῖν ἔοικας, ὦ τέκνον, τὴν μητέρα. 915
ΟΡ. σύ τοι σεαυτήν, οὐκ ἐγώ, κατακτενεῖς.
ΚΛ. ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας.
ΟΡ. τὰς τοῦ πατρὸς δὲ πῶς φύγω, παρεὶς τάδε;
ΚΛ. ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην.
ΟΡ. πατρὸς γὰρ αἶσα τόνδε σ' ὁρίζει μόρον. 920
ΚΛ. οἵ 'γώ, τεκοῦσα τόνδ' ὄφιν ἐθρεψάμην.
ΟΡ. ἦ κάρτα μάντις οὖξ ὀνειράτων φόβος.
κάνες γ' ὃν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε.
ΧΟ. στένω μὲν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν.

901. ἀπὸ τοῦ γήρημι. 907. οὐκ ἔστιν ἀπορρῖψαι τὸ δορυξένοις ἐνδοῦναι (ἐκδοῦναι Weil.) πρὸς ἀνατροφήν. 910. τὸν Αἴγισθόν φησι. 911. ὅτι Κασάνδραν ἐπέγημεν. 912. ἑτέρῳ συγκοιμωμένη. ἄνδρα ἐν πολέμοις πονοῦντα μὴ θέλε κρίνειν γυνὴ ουσα. 917. τὰς Ἐρινύας. 919. ὅτι μέλλω τελευτᾶν. παροιμίαν εἶναι τοῦτό φασι πρὸς τύμβου (τύμβον Robort.) τε κλαίειν καὶ πρὸς ἄνδρα νήπιον. 924. εὐγνωμόνως ἐλεοῦσι τοὺς περὶ Αἴγισθον.

901. σύν Auratus: νῦν M. 908. αἰσχρῶς Heathius. 909—24. singulis singulae paragraphi adpictae in M, excepto 911, qui caret notatione. 910. σοι Canterus: σου M. 920. τόνδε πορίζει, mutatum in τόνδε σ' ὁρίζει M. τόνδε σοὐρίζει Elmsleius, τόνδ' ἐπουρίζει Dindorfius. 921. οἵ ἐγὼ M. post 922. Clytaemnestrae versum desiderari intellexit Wellauerus. 923. ἔκανες ἴν Hermannus.

ἐπεὶ δὲ πολλῶν αἱμάτων ἐπήκρισεν
τλήμων Ὀρέστης, τοῦθ' ὅμως αἱρούμεθα,
ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν.

(Chorus)

str. 1. ἔμολε μὲν δίκα Πριαμίδαις χρόνῳ,
βαρύδικος ποινά·
ἔμολε δ' ἐς δόμον τὸν Ἀγαμέμνονος
διπλοῦς λέων, διπλοῦς Ἄρης.
ἔλασε δ' ἐς τὸ πᾶν ὁ πυθοχρήστας φυγὰς
θεόθεν εὖ φραδαῖσιν ὡρμημένος.
ἐπολολύξατ' ὦ δεσποσύνων δόμων
ἀναφυγὰς κακῶν καὶ κτεάνων τριβᾶς
ὑπὸ δυοῖν μιαστόροιν,
δυσοίμου τύχας.

antistr. 1. ἔμολε δ' ᾧ μέλει κρυπταδίου μάχας
δολιόφρων ποινά,
ἔθιγε δ' [ἐν] μάχᾳ χερὸς ἐτητύμως
Διὸς κόρα· Δίκαν δέ νιν
προσαγορεύομεν βροτοὶ τυχόντες καλῶς·
ὀλέθριον πνέουσ' ἐν ἐχθροῖς κότον.

925. ἐπ' ἄκρον ἦλθε. 931. οἱ περὶ Ὀρέστην καὶ Πυλάδην. 932. ἤλασε δὲ εἰς τὸ τέλος τοῦ δρόμου, ὅ ἐστιν, ἤνυσε τὸν ἀγῶνα. ἀφίκετο, φησίν, εἰς τὸ τέλος τοῦ ἀγῶνος. ὁ ὑπὸ Πυθοῦς χρησθεὶς Ὀρέστης. 935. ὡς τῶν οἴκων φυγόντων τὰς συντριβὰς τῶν οἴκων. 937. δυσπορεύτου. τὸ δὲ ἑξῆς, τὰς ἀναφυγὰς τῶν κακῶν τὰς ἀπὸ τῆς δυσοίμου τύχης. 938. τῷ Αἰγίσθῳ ἔμολεν ἡ ποινὴ τῷ ἀποκτείναντι δόλῳ τὸν Ἀγαμέμνονα. 940. ἡ δὲ Διὸς θυγάτηρ ἡ Δίκη πάρεστιν ἐν τῇ πρὸς Αἴγισθον μάχῃ καὶ ἐφήψατο τοῦ ξίφους. δικαίως γὰρ Ὀρέστης ἠμύνατο. 943. τὸ ἑξῆς, ἔμολεν ὀλέθριον πνέουσα.

---

928. paragrapho notatus in M. 932. ἔλασε schol.: ἤλακε M. πυθοχρήστας (— ᾱισ sec. Merkel.) M. 933. εὖ φραδαῖσιν Seidlerus: εὐφραδαῖσιν (ἐνφρ. sec. Merkel.) M. 934. ἐπολολύξατ' ὦ Seidlerus: ἐπολολυξάτω M. 935. τριβᾶς Stanleius: τριβὰσ M. 936. δυοῖν b: δοιοῖν M. 938. ᾳ Auratus. 940. ἐν addidit Pauwius. ἐτητύμως Scaliger: ἐτήτυμοσ M. 943. ἐπ' Schuetzius.

ΚΛ. ἐγώ σ' ἔθρεψα, σὺν δὲ γηράναι θέλω.
ΟΡ. πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί;
ΚΛ. ἡ Μοῖρα τούτων, ὦ τέκνον, παραιτία.
ΟΡ. καὶ τόνδε τοίνυν Μοῖρ' ἐπόρσυνεν μόρον.
ΚΛ. οὐδὲν σεβίζῃ γενεθλίους ἀράς, τέκνον; 905
ΟΡ. τεκοῦσα γάρ μ' ἔρριψας ἐς τὸ δυστυχές.
ΚΛ. οὔτοι σ' ἀπέρριψ' εἰς δόμους δορυξένους.
ΟΡ. δίχως ἐπράθην ὢν ἐλευθέρου πατρός.
ΚΛ. ποῦ δῆθ' ὁ τῖμος ὄντιν' ἀντεδεξάμην;
ΟΡ. αἰσχύνομαί σοι τοῦτ' ὀνειδίσαι σαφῶς. 910
ΚΛ. μὴ ἀλλ' εἶφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας.
ΟΡ. μὴ 'λεγχε τὸν πονοῦντ' ἔσω καθημένη.
ΚΛ. ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι, τέκνον.
ΟΡ. τρέφει δέ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω.
ΚΛ. κτενεῖν ἔοικας, ὦ τέκνον, τὴν μητέρα. 915
ΟΡ. σύ τοι σεαυτήν, οὐκ ἐγώ, κατακτενεῖς.
ΚΛ. ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας.
ΟΡ. τὰς τοῦ πατρὸς δὲ πῶς φύγω, παρεὶς τάδε;
ΚΛ. ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην.
ΟΡ. πατρὸς γὰρ αἶσα τόνδε σ' ὁρίζει μόρον. 920
ΚΛ. οἵ 'γώ, τεκοῦσα τόνδ' ὅφιν ἐθρεψάμην.
ΟΡ. ἦ κάρτα μάντις οὖξ ὀνειράτων φόβος.
κάνες γ' ὃν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε.
ΧΟ. στένω μὲν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν.

901. ἀπὸ τοῦ γήρημι. 907. οὐκ ἔστιν ἀπορρῖψαι τὸ δορυξένοις ἐνδοῦναι (ἐκδοῦναι Weil.) πρὸς ἀνατροφήν. 910. τὸν Αἴγισθόν φησι. 911. ὅτι Κασάνδραν ἐπέγημεν. 912. ἑτέρῳ συγκοιμωμένη. ἄνδρα ἐν πολέμοις πονοῦντα μὴ θέλε κρίνειν γυνὴ ουσα. 917. τὰς Ἐρινύας. 919. ὅτι μέλλω τελευτᾶν. παροιμίαν εἶναι τοῦτό φασι πρὸς τύμβου (τύμβον Robort.) τε κλαίειν καὶ πρὸς ἄνδρα νήπιον. 924. εὐγνωμόνως ἐλεοῦσι τοὺς περὶ Αἴγισθον.

901. σύν Auratus: νῦν M. 908. αἰσχρῶς Heathius. 909—24. singulis singulae paragraphi adpictae in M, excepto 911, qui caret notatione. 910. σοι Canterus: σου M. 920. τόνδε πορίζει, mutatum in τόνδε σ' ὁρίζει M. τόνδε σοὶ ρίζει Elmsleius, τόνδ' ἐπορίζει Dindorfius. 921. οἰ ἐγὼ M. post 922. Clytaemnestrae versum desiderari intellexit Wellauerus. 923. ἔκαγες ἴν Hermannus.

ἐπεὶ δὲ πολλῶν αἱμάτων ἐπήκρισεν
τλήμων Ὀρέστης, τοῦθ' ὅμως αἱρούμεθα,
ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν.

(Chorus)

str. 1. ἔμολε μὲν δίκα Πριαμίδαις χρόνῳ,
βαρύδικος ποινά·
ἔμολε δ' ἐς δόμον τὸν Ἀγαμέμνονος
διπλοῦς λέων, διπλοῦς Ἄρης.
ἔλασε δ' ἐς τὸ πᾶν ὁ πυθοχρήστας φυγὰς
θεόθεν εὖ φραδαῖσιν ὡρμημένος.
ἐπολολύξατ' ὦ δεσποσύνων δόμων
ἀναφυγὰς κακῶν καὶ κτεάνων τριβᾶς
ὑπὸ δυοῖν μιαστόροιν,
δυσοίμου τύχας.

antistr. 1. ἔμολε δ' ᾧ μέλει κρυπταδίου μάχας
δολιόφρων ποινά,
ἔθιγε δ' [ἐν] μάχᾳ χερὸς ἐτητύμως
Διὸς κόρα· Δίκαν δέ νιν
προσαγορεύομεν βροτοὶ τυχόντες καλῶς·
ὀλέθριον πνέουσ' ἐν ἐχθροῖς κότον.

925. ἐπ' ἄκρον ἦλθε. 931. οἱ περὶ Ὀρέστην καὶ Πυλάδην. 932. ἤλασε δὲ εἰς τὸ τέλος τοῦ δρόμου, ὅ ἐστιν, ἤνυσε τὸν ἀγῶνα. ἀφίκετο, φησίν, εἰς τὸ τέλος τοῦ ἀγῶνος. ὁ ὑπὸ Πυθοῦς χρησθεὶς Ὀρέστης. 935. ὡς τῶν οἴκων φυγόντων τὰς συντριβὰς τῶν οἴκων. 937. δυσπορεύτου. τὸ δὲ ἑξῆς, τὰς ἀναφυγὰς τῶν κακῶν τὰς ἀπὸ τῆς δυσοίμου τύχης. 938. τῷ Αἰγίσθῳ ἔμολεν ἡ ποινὴ τῷ ἀποκτείναντι δόλῳ τὸν Ἀγαμέμνονα. 940. ἡ δὲ Διὸς θυγάτηρ ἡ Δίκη πάρεστιν ἐν τῇ πρὸς Αἴγισθον μάχῃ καὶ ἐφήψατο τοῦ ξίφους. δικαίως γὰρ Ὀρέστης ἠμύνατο. 943. τὸ ἑξῆς, ἔμολεν ὀλέθριον πνέουσα.

---

928. paragrapho notatus in M. 932. ἤλασε schol.: ἤλακε M. πυθοχρήστας (— ᾶισ sec. Merkel.) M. 933. εὖ φραδαῖσιν Seidlerus: εὐφραδᾶισιν (ἐνφρ. sec. Merkel.) M. 934. ἐπολολύξατ' ὦ Seidlerus: ἐπολολυξάτω M. 935. τριβᾶς Stanleius: τριβὰσ M. 936. δυοῖν b: δοιοῖν M. 938. ᾳ Auratus. 940. ἐν addidit Pauwius. ἐτητύμως Scaliger: ἐτήτυμοσ M. 943. ἐπ' Schuetzius.

[ἐπολολύξατ᾽ ὦ δεσποσύνων δόμων
ἀναφυγὰς κακῶν καὶ κτεάνων τριβᾶς
ὑπὸ δυοῖν μιαστόροιν,
δυσοίμου τύχας.]

str. 2. τάπερ ὁ Λοξίας ὁ Παρνάσσιος,
μέγαν ἔχων μυχὸν χθονὸς ἐπ᾽ ὄχθει
ἄξεν ἀδόλως δολίας
βλαπτομέναν ἐν χρόνοις θεῖσαν ἐποίχεται.
κρατεῖταί πως τὸ θεῖον παρὰ τὸ μὴ
ὑπουργεῖν κακοῖς.
ἄξιον δ᾽ οὐρανοῦχον ἀρχὰν σέβειν.
πάρα τε φῶς ἰδεῖν, μέγα τ᾽ ἀφῃρέθη
ψάλιον οἴκων.
ἄναγε μάν, δόμοι· πολὺν ἄγαν χρόνον
χαμαιπετεῖς ἔκεισθ᾽ ἀεί.

antistr. 2. τάχα δὲ παντελὴς χρόνος ἀμείψεται
πρόθυρα δωμάτων, ὅταν ἀφ᾽ ἑστίας
μύσος πᾶν ἐλαθῇ
καθαρμοῖσιν ἀτᾶν ἐλατηρίοις.
τύχα δ᾽ εὐπροσώπῳ κοίτᾳ τὸ πᾶν

948. ἀντὶ τοῦ καθάπερ. 950. τὴν Κλυταιμνήστραν, τὴν δολίως βλάπτουσαν καὶ ἐπὶ πολὺν χρόνον τὸν οἶκον ἐποίχεται ἡ δίκη. ἐπεξῆλθε τὴν δίκην βλαπτομένην ἐκ πολλοῦ Ὀρέστης. 952. συμβάλλεται οὖν τὸ θεῖον τοῖς μὴ ὑπουργοῦσι τοῖς κακοῖς. 954. τοὺς θεούς, ἢ τὸν Δία. 956. τὸν χαλινόν. 959. ὁ πάντα τελῶν χρόνος τὰ πρόθυρα τῶν οἴκων ἀλλάξει ἀπὸ κατηφείας εἰς λαμπρότητα. ἀλλαγήσεται· οὐχ ὁμοίως ἔσται τοῖς πρώην ἐν τῷ οἴκῳ ἡμῶν. 962. τὸ ἐλαῦνον τοὺς ἀσεβεῖς· ἢ τὸ ἀπελαθῆναι ὀφεῖλον. ἐλατήριον δὲ τὸ καθαρτικὸν φάρμακον. 963. ἡ δὲ τύχη νῦν ἐν εὐόπτῳ κοίτῃ, τοῦτ᾽ ἔστιν ἐν ἀγαθῇ

944—47. ephymnium in M e more neglectum iterandum esse indicavit Verrallins. 951. ἐγχρονισθεῖσαν Hermannus et Ahrens. 955. μέγα-ἀφῃρέθη Stanleius: μέγαν-ἀφῃρέθην M. 956. οἰκίων Ahrens. 957. ἄναγε μάν Porsonus: ἀναγεμὰν M. δόμοι Hermannus: δόμοισ M. 958. χαμαιπετεῖς ἔκεισθ᾽ ἀεί Wellauerus: χαμαιπετεῖσε κεῖσθ᾽ αἰεί M. 960. ἀμφ᾽ M. 961. ἐλαθῇ Kayserus: ἐλάσει M. 962. καθαρμοῖσιν Hermannus: καθαρμοῖσ M. ἀτᾶν ἐλατηρίοις Schuetzius: ἅπαν ἐλατήριον M.

ἰδεῖν ἀκοῦσαι θρεομένοις
μέτοικοι δόμων πεσοῦνται πάλιν.
πάρα τὸ φῶς ἰδεῖν, [μέγα τ' ἀφηρέθη
ψάλιον οἴκων.
ἄναγε μάν, δόμοι· πολὺν ἄγαν χρόνον
χαμαιπετεῖς ἔκεισθ' ἀεί.]

OP. ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα
πατροκτόνους τε δωμάτων πορθήτορας.
σεμνοὶ μὲν ἦσαν ἐν θρόνοις τόθ' ἥμενοι,
φίλοι δὲ καὶ νῦν, ὡς ἐπεικάσαι πάθη
πάρεστιν, ὅρκος τ' ἐμμένει πιστώμασιν.
ξυνώμοσαν μὲν θάνατον ἀθλίῳ πατρὶ
καὶ ξυνθανεῖσθαι· καὶ τάδ' εὔορκως ἔχει.
ἴδεσθε δ' αὖτε, τῶνδ' ἐπήκοοι κακῶν,
τὸ μηχάνημα, δεσμὸν ἀθλίῳ πατρί,
πέδας τε χειροῖν καὶ ποδοῖν ξυνωρίδα.
ἐκτείνατ' αὐτὸ καὶ κύκλῳ παρασταδὸν
στέγαστρον ἀνδρὸς δείξαθ', ὡς ἴδῃ πατήρ,
οὐχ οὑμός, ἀλλ' ὁ πάντ' ἐποπτεύων τάδε
Ἥλιος, ἄναγνα μητρὸς ἔργα τῆς ἐμῆς,
ὡς ἂν παρῇ μοι μάρτυς ἐν δίκῃ ποτέ,
ὡς τόνδ' ἐγὼ μετῆλθον ἐνδίκως μόρον
τὸν μητρός· Αἴγισθου γὰρ οὐ λέγω μόρον·

καταστάσει πρὸς τὸ ἰδεῖν τὰ νῦν γεγονότα καὶ ἑτέρων λεγόντων ἀκοῦσαι. 964. λείπει τὸ ἐστίν. 965. οἱ νῦν τοὺς δόμους οἰκοῦντες πεσοῦνται εἰς τὸ ἔμπαλιν τῆς πρώτης τύχης. τοῦτο δὲ ἀπὸ τῶν κύβων μετήγαγε. 970. ἀνοίγεται ἡ σκηνὴ καὶ ἐπὶ ἐγκυκλήματος (ἐκκυκλήματος Dind.) ὁρᾶται τὰ σώματα· ἃ λέγει διπλῆν τυραννίδα. 975. θάνατον τῷ πατρί. 978. τὸν πέπλον. 980. πρὸς τὸν χορόν. 984. ἦ μοι ἀντωνυμία τὴν οἰκειότητα δηλοῖ. ἐν τῇ κρίσει τῶν Ἐρινύων. 986. Αἴγισθου

---

965. *μέτοικοι δόμων* Scaliger, et sic schol.: *μετοικοδόμων* M. 966—69. addidi reliquam ephymnii partem a librariis neglectam et in M omissam. 970. paragrapho notat M. 973. *δέ* Abreschius: *τε* M. 975. *ἀθλίῳ* Portus: *ἀθλίωσ* M. 980. *αὐτό* Auratus: *αὐτὸν* M. 986. *λέγω* schol.: *ψέγω* M.

ἔχει γὰρ αἰσχυντῆρος, ὡς νόμος, δίκην·
ἥτις δ' ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος,
ἐξ οὗ τέκνων ἤνεγχ' ὑπὸ ζώνην βάρος,
φίλον τέως, νῦν δ' ἐχθρόν, ὡς φαίνει, κακόν, 990
τί σοι δοκεῖ; μύραινά γ' εἴτ' ἔχιδν' ἔφυ
σήπειν θιγοῦσαν ἄλλον οὐ δεδηγμένον
τόλμης ἕκατι κἀνδίκου φρονήματος.
τί νιν προσείπω, κἂν τύχω μάλ' εὐστομῶν;
ἄγρευμα θηρός, ἢ νεκροῦ ποδένδυτον 995
δροίτης κατασκήνωμα; δίκτυον μὲν οὖν.
ἄρκυν δ' ἂν εἴποις καὶ ποδιστῆρας πέπλους.
τοιοῦτον ἂν κτήσαιτο φηλήτης ἀνήρ,
ξένων ἀπαιόλημα κἀργυροστερῆ
βίον νομίζων, τῷδέ τ' ἂν δολώματι 1000
πολλοὺς ἀναιρῶν πολλὰ θερμαίνοι φρενί.
τοιάδ' ἐμοὶ ξύνοικος ἐν δόμοισι μὴ
γένοιτ'· ὀλοίμην πρόσθεν ἐκ θεῶν ἄπαις.
ΧΟ. αἰαῖ [αἰαῖ] μελέων ἔργων·
στυγερῷ θανάτῳ διεπράχθης, 1005
ἒ ἔ,

γὰρ οὐ λέγω μόρον, μητρὸς δέ, ἥτις ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος. 989. τὸ βάρος φίλον πρώην. 992. ὑπερβολή, ὅτι καὶ τὸν μὴ δηχθέντα, ἀλλὰ μόνον ἁψάμενον σήπει. 994. ἀντὶ τοῦ ἐπιτύχω εὐθίκτως κακολογήσας. 995. δίκτυον. 996. παραπέτασμα ὄρους (σοροῦ Stanl.). 997. τοὺς πλέον τῶν ποδῶν καθήκοντας. 999. ἀπάτημα.

---

987. νόμος Portus: νόμου M. 989. ἐξ οὗ Robortellus: ἐκ σοῦ M. υ τέκνων ην ἔχη ὑπὸ ζώνην βάρος litterae alia manu (m?) scriptae sec. Merkelium. ἤνεγχ' Victorius. 991. γ' εἴτ' Hermannus: τ' ἤτ' M. 992. θίγουσαν M. 993. κἀδίκου Turnebus, κἀκδίκου Ahrens. 994—1001. ab hoc loco alienos post 979. Meinekius censuit transferendos, post 1010. Weilius. 994. προσειπὼν καὶ τύχω Weilius. 996. δροίτησ (δροίτασ sec. Merkelium) M. 998. τοιοῦτον ἂν Turnebus: τοιοῦτο μὰν M. φηλήτης Scaliger: φιλήτησ M. 1000. νομίζων Turnebus: νομίζω M. 1003. πρόσθεν Turnebus: πρόσθ' M. 1004. personae nota omissa in M. interiectionem duplicavit Bothius.

μίμνοντι δὲ καὶ πάθος ἀνθεῖ.
ΟΡ. ἔδρασεν ἢ οὐκ ἔδρασε; μαρτυρεῖ δέ μοι
φᾶρος τόδ', ὡς ἔβαψεν Αἰγίσθου ξίφος.
φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται,
πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος.
νῦν αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρὼν
πατροκτόνον θ' ὕφασμα προσφωνῶν τόδε
ἀλγῶ μὲν ἔργα καὶ πάθος γένος τε πᾶν,
ἄζηλα νίκης τῆσδ' ἔχων μιάσματα.
ΧΟ. οὔτις μερόπων ἀσινῆ βίοτον
διὰ πάντ' ἄτιμος ἀμείψεται,
ἔ ἔ,
μόχθος δ' ὃ μὲν αὐτίχ', ὃ δ' ἤξει.
ΟΡ. ἀλλ' ὡς ἂν εἰδῆτ', οὐ γὰρ οἶδ' ὅπῃ τελεῖ,
ὥσπερ ξὺν ἵπποις ἡνιοστρόφου δρόμου
ἐξωτέρω· φέρουσι γὰρ νικώμενον
φρένες δύσαρκτοι· πρὸς δὲ καρδίᾳ φόβος
ᾄδειν ἕτοιμος ἠδ' ὑπορχεῖσθαι κότῳ.
ἕως δ' ἔτ' ἔμφρων εἰμί, κηρύσσω φίλοις,
κτανεῖν τε φημὶ μητέρ' οὐκ ἄνευ δίκης,
πατροκτόνον μίασμα καὶ θεῶν στύγος,
καὶ φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι
τὸν πυθόμαντιν Λοξίαν, χρήσαντ' ἐμοὶ

1006. τῷ τοιαῦτα πράξαντι χρόνῳ πάθος ἀνθεῖ. 1009. τοῦ αἵματος. 1010. ὡς πολυτελοῦς ὄντος τοῦ ἱματίου καὶ ἠφανισμένου τῷ αἵματι. 1016. ἡ διά πρὸς τὸ ἀμείψεται. ἀτιμώρητος. 1018. εἰς τί ἀποβαίνει τὰ κατ' ἐμέ. 1021. δυσχερῶς ἀρχόμενοι (-αι Steph.) καὶ πειθόμενοι (-αι Steph.) 1025. τὴν μητέρα. 1028. καυχῶμαι. 1027. καὶ τὰς ἐπιθυμίας τῆς τόλμης φημὶ τὸν Ἀπόλλωνα χρῆσαί μοι.

1007. paragrapho notat M. ἔδρασε Turnebus: ἔδρασεν M. 1009. κικὶσ, mut. in κηκὶσ, M. 1015. 1018. personarum notis carent in M. 1015. ἀσινεῖ, mut. in ἀσινῆ, M. 1016. ἀμείψει Erfurdtius. 1017. ἐσ (pro ἔ ἔ) M. σ δ' ὃ μὲν αὐτίχ' ὃ δ' ἤξε ab alia manu (m?) scripta in M sec. Merkelium. ἤξει Turnebus. 1018. ἀλλ' ὡς ἂν εἰδῆτ' οὐ γάρ Emperius et Martinus: ἄλλοσ ἂν εἰ δὴ τοῦτ' ἄρ' M. 1019. ἡνιοστροφῶ Stanleius. 1022. ἢ δ' — κρότῳ Emperius.

πράξαντι μὲν ταῦτ' ἐκτὸς αἰτίας κακῆς
εἶναι, παρέντα δ' οὐκ ἐρῶ τὴν ζημίαν·
τόξῳ γὰρ οὔτις πημάτων προσίξεται.
καὶ νῦν ὁρᾶτέ μ', ὡς παρεσκευασμένος
ξὺν τῷδε θαλλῷ καὶ στέφει προσίξομαι
μεσόμφαλόν θ' ἵδρυμα, Λοξίου πέδον,
πυρός τε φέγγος ἄφθιτον κεκλημένον,
φεύγων τόδ' αἷμα κοινόν· οὐδ' ἐφ' ἑστίαν
ἄλλην τραπέσθαι Λοξίας ἐφίετο.
τὰ δ' ἐν χρόνῳ μοι πάντας Ἀργείους λέγω
καὶ μαρτυρεῖν μοι μενέλεως ἐπορσύνθη κακά.
ἐγὼ δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος,
ζῶν καὶ τεθνηκὼς τάσδε κληδόνας λιπών.

ΧΟ. ἀλλ' εὖ τε πράξας μηδ' ἐπιζευχθῇς στόμα
φῆμαι πονηραὶ μηδ' ἐπιγλωσσῶ κακά·
ἠλευθέρωσας πᾶσαν Ἀργείων πόλιν
δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα.

ΟΡ. ἆ ἆ.
δμῳαὶ γυναῖκες, αἵδε Γοργόνων δίκην
φαιοχίτωνες καὶ πεπλεκτανημέναι
πυκνοῖς δράκουσιν· οὐκέτ' ἂν μείναιμ' ἐγώ.

ΧΟ. τίνες σε δόξαι, φίλτατ' ἀνθρώπων πατρί,
στροβοῦσιν; ἴσχε, μὴ φοβοῦ νικῶν πολύ.

ΟΡ. οὐκ εἰσὶ δόξαι τῶνδε πημάτων ἐμοί·
σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες.

1030. τοσαύτη γάρ ἐστιν ὡς μηδὲ τοξότην (τοξότην Vict.) ἐφικέσθαι τοῦ μήκους. 1034. τὸ ἐν Παρνασσῷ.

1029. παρέντι Turnebus. 1030. ἐφίξεται Schuetzius. 1035. ἐφ' ἑστίαν Turnebus: ἐφεστίον M. 1038. ἐκμαρτυρεῖν ᾗ μέλε' ἐπορσύνθη Hermannus. 1039. cf. Agamemn. 1236. 1041. 1045. personarum notis carent in M. 1041. γε — μήτ' Porsonus. ἐπιζευχθῇς Heathius: ἐπιζεύχθη M. 1042. φήμαις πονηραῖς Tyrwhittus, φήμῃ πονηρᾷ Heathius. μήτ' Porsonus. 1043. ἠλευθέρωσας Blomfieldus: ἐλευθερώσασ M. ἀργείων ante corr. b: ἀργείην M. 1045. δμωαὶ M. ποῖαι Hermannus. 1047. δεινοῖς Tzetza in Cramer. anecd. Oxon. 3, 359. ἂν μείναιμ' Tzetza: ἀμμείνοιμ' M. 1048—60. personarum vices paragraphis notat M. 1049. φόβου νικᾶ Porsonus.

ΧΟ. ποταίνιον γὰρ αἷμά σοι χεροῖν ἔτι·
ἐκ τῶνδέ τοι ταραγμὸς ἐς φρένας πίτνει.
ΟΡ. ἄναξ Ἄπολλον, αἵδε πληθύουσι δή,
κἀξ ὀμμάτων στάζουσιν αἷμα δυσφιλές.
ΧΟ. εἰσσ' ὁ καθαρμός· Λοξίου δὲ προσθιγὼν
ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει.
ΟΡ. ὑμεῖς μὲν οὐχ ὁρᾶτε τάσδ', ἐγὼ δ' ὁρῶ·
ἐλαύνομαι δὲ κοὐκέτ' ἂν μείναιμ' ἐγώ.
ΧΟ. ἀλλ' εὐτυχοίης, καί σ' ἐποπτεύων πρόφρων
θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς.
ὅδε τοι μελάθροις τοῖς βασιλείοις
τρίτος αὖ χειμὼν
πνεύσας γονίας ἐτελέσθη.
παιδοβόροι μὲν πρῶτον ὑπῆρξαν
μόχθοι τάλανές τε Θυέστου·
δεύτερον ἀνδρὸς βασίλεια πάθη·
λουτροδάικτος δ' ὤλετ' Ἀχαιῶν
πολέμαρχος ἀνήρ.
νῦν δ' αὖ τρίτος ἦλθέ ποθεν σωτήρ,
ἢ μόρον εἴπω;
ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει
μετακοιμισθὲν μένος ἄτης;

1061. εὐκαίροις συντυχίαις. 1064. γονίας: ἄνεμος, ὅταν ἐξ εὐδίας κινηθῇ χαλεπὸν πνεῦμα.

1054. πληθύουσι Turnebus: πληθύουσαι M. 1056. εἰσω, mut. in εἰσσ' ', M. Λοξίας Auratus. προσθίγων M. 1059. ἂν μείναιμ' Robortellus: ὀμμαίναιμ' M. 1064. πνεύσας Scaliger: πνεούσασ M. Hesychius 1, 442. γονίας· εὐχερής. Αἰσχύλος Ἀγαμέμνονι. 1065. παιδοβόροι Auratus: παιδόμοροι M. subscriptum in M: Αἰσχύ(λου) Χοηφόροι.

ΑΙΣΧΥΛΟΥ ΕΥΜΕΝΙΔΕΣ.

Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις.

Ὀρέστης ἐν Δελφοῖς περιεχόμενος ὑπὸ τῶν Ἐρινύων βουλῇ Ἀπόλλωνος παρεγένετο εἰς Ἀθήνας εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς· ἧς βουλῇ νικήσας κατῆλθεν εἰς Ἄργος. τὰς δὲ Ἐρινύας πραΰνας (πραΰνασα Hermannus) προσηγόρευσεν Εὐμενίδας. παρ᾽ οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

τὰ τοῦ δράματος πρόσωπα·

Πυθιὰς προφῆτις
Ἀπόλλων
Ὀρέστης
Κλυταιμνήστρας εἴδωλον
χορὸς Εὐμενίδων
Ἀθηνᾶ
προπομποί.

προ- Πρῶτον μὲν εὐχῇ τῇδε πρεσβεύω θεῶν
φῆτις. τὴν πρωτόμαντιν Γαῖαν· ἐκ δὲ τῆς Θέμιν,
ἢ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἔζετο
μαντεῖον, ὡς λόγος τις· ἐν δὲ τῷ τρίτῳ
λάχει, θελούσης, οὐδὲ πρὸς βίαν τινός,
Τιτανὶς ἄλλη παῖς χθονὸς καθέζετο
Φοίβη, δίδωσι δ' ἣ γενέθλιον δόσιν
Φοίβῳ· τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον.
λιπὼν δὲ λίμνην Δηλίαν τε χοιράδα,
κέλσας ἐπ' ἀκτὰς ναυπόρους τὰς Παλλάδος,
ἐς τήνδε γαῖαν ἦλθε Παρνησοῦ θ' ἕδρας.
πέμπουσι δ' αὐτὸν καὶ σεβίζουσιν μέγα
κελευθοποιοὶ παῖδες Ἡφαίστου, χθόνα

1. προτιμῶ. 2. Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν Ἀπόλλωνα· διὸ καὶ ταραττῶσαι αὐτὸν ἐζήτει ἡ Γῆ. Ἐπαφρόδιτος ἐν ὑπομνήματι Καλλιμάχου αἰτίων β' φησί· Μελανθοῦς τῆς Δευκαλίωνος καὶ Κηφισοῦ τοῦ ποταμοῦ γίνεται Μέλαινα τοὔνομα, Μελαίνης δὲ καὶ Ποσειδῶνος Δελφός, ἀφ' οὗ οἱ Δελφοί. 3. ἢ τῆς κοινῆς μητρὸς πάντων, ἢ τῆς Θέμιδος. 5. κλήρῳ. 7. ἀντὶ τοῦ ὀπτήριον. θεασαμένη τὸν τῆς ἀδελφῆς ἑαυτῆς Λητοῦς παῖδα δέδωκε συγγενικὴν δόσιν. 8. ἀπόδειξις αὕτη τῆς δωρεᾶς οὐκ ἀχάριστος. 9. τὴν Κύνθον. διὰ δὲ τοῦ χοιράδα σχεδὸν τὴν αἰτίαν φησὶ δι' ἣν ἀπέλιπεν Ἀπόλλων, ἐκκλίνων τὸ εὐτελὲς τοῦ χωρίου. τὴν στρογγύλην. 11. χαριζόμενος Ἀθηναίοις καταχθῆναί φησιν ἐκεῖσε Ἀπόλλωνα κἀκεῖθεν τὴν περιπομπὴν (παραπ. Heyne) αὐτῷ εἶναι. ὁ δὲ Πίνδαρος ἐκ Τανάγρας τῆς Βοιωτίας. 13. οἱ Ἀθηναῖοι. Θησεὺς γὰρ τὴν ὁδὸν καθῆρεν (ἐκάθηρε Robort.) τῶν λῃστῶν· καὶ ὅταν πέμπωσιν εἰς Δελφοὺς θεωρίδα (θεωρίαν Weil.), προ-

7. δίδωσιν M. 11. Παρνησοῦ θ' Robortellus: παρνησοῦσθ' M.

ἀνήμερον τιθέντες ἡμερωμένην.
μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεώς,
Δελφός τε χώρας τῆσδε πρυμνήτης ἄναξ.
τέχνης δέ νιν Ζεὺς ἔνθεον κτίσας φρένα
ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις·
Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρός.
τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεούς.
Παλλὰς προναία δ' ἐν λόγοις πρεσβεύεται.
σέβω δὲ νύμφας, ἔνθα Κωρυκὶς πέτρα
κοίλη, φίλορνις, δαιμόνων ἀναστροφή·
Βρόμιος ἔχει τὸν χῶρον, οὐδ' ἀμνημονῶ,
ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεός,
λαγὼ δίκην Πενθεῖ καταρράψας μόρον·
Πλειστοῦ τε πηγὰς καὶ Ποσειδῶνος κράτος
καλοῦσα καὶ τέλειον ὕψιστον Δία.
ἔπειτα μάντις εἰς θρόνους καθιζάνω.
καὶ νῦν τυχεῖν με τῶν πρὶν εἰσόδων μακρῷ
ἄριστα δοῖεν· κεἰ πάρ' Ἑλλήνων τινές,
ἴτων πάλῳ λαχόντες, ὡς νομίζεται·

ἔρχονται γὰρ (del. Rob.) ἔχοντες πελέκεις ὡς διημερώσοντες τὴν γῆν. 16. καὶ ὁ Δελφὸς λεώς (del. Vict.), ὃς ἐστι τῆς χώρας ἄναξ καὶ κυβερνήτης. 17. κτίσας: ποιήσας. ἰδίωμα δὲ τοῦτο Αἰσχύλου. 21. χὴ Παλλάς, Δελφοί νιν ὅθ' ἱδρύοντο προναίην Καλλίμαχος. 22. ὁ Παρνασσός. 24. διὸ εἶπε δαιμόνων ἀναστροφή. 26. λαγωοῦ δίκην καταπτήξαντι καὶ μὴ ἀνθισταμένῳ. νῦν φησὶν ἐν Παρνασῷ εἶναι τὰ κατὰ Πενθέα, ἐν δὲ ταῖς Ξαντρίαις ἐν Κιθαιρῶνι. 27. τὴν Πυθῶ τὴν πρώην Ποσειδῶνος, ὑπὲρ ἧς Καλαύρειαν ἐδέξατο. Καλλίμαχος· μέσφα Καλαυρείης ἦλθεν εἰς (ἐς Robort.) ἀντίδοσιν. 28. καλοῦσα φροιμιάζομαι. 29. τοῦτό φησιν, ἐπεὶ δραματικὴ ἐστιν ἡ ποίησις· εἰ δὲ ἦν διηγηματική, εἶπεν ἂν ὁ ποιητής· ταῦτα εἰποῦσα εἰς θρόνον ἐκαθέζετο. 32. ἴτων: ἴτωσαν. Ἀττικώτερον.

---

18. leg. τοῖσδε. θρόνοις Turnebus: χρόνοισ M. 19. πατρὸς — Διός Macrobius Saturn. 5, 22. 21. εὐλόγως Hermannus. 23. ἀναστροφή schol. 24: ἀναστροφᾶ M. 27. Πλειστοῦ Stanleius: πλειστουσ M. 31. πάρ' Abreschius: παρ' M.

μαντεύσομαι γὰρ ὡς ἂν ἡγῆται θεός.
ἢ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν
πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου,
ὡς μήτε σωκεῖν μήτε μ' ἀκταίνειν βάσιν·
τρέχω δὲ χερσίν, οὐ ποδωκείᾳ σκελῶν·
δείσασα γὰρ γραῦς οὐδέν, ἀντίπαις μὲν οὖν.
ἐγὼ μὲν ἕρπω πρὸς πολυστεφῆ μυχόν·
ὁρῶ δ' ἐπ' ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ
ἕδραν ἔχοντα προστρόπαιον, αἵματι
στάζοντα χεῖρας καὶ νεοσπαδὲς ξίφος
ἔχοντ' ἐλάας θ' ὑψιγέννητον κλάδον,
λήνει μεγίστῳ σωφρόνως ἐστεμμένον,
ἀργῆτι μαλλῷ· τῇδε γὰρ τρανῶς ἐρῶ.
πρόσθεν δὲ τἀνδρὸς τοῦδε θαυμαστὸς λόχος
εὕδει γυναικῶν ἐν θρόνοισιν ἥμενος.

34. τὰ δεινὰ ἐξέπεμψέ με τοῦ μαντείου. ἰδοῦσα γὰρ Ὀρέστην ἐπὶ τοῦ βωμοῦ καὶ τὰς Ἐρινύας κοιμωμένας ἑξεισι τεταραγμένη τετραποδηδὸν ἐκ τοῦ νεώ. παρ' ὀλίγον ἔρημος ἡ σκηνὴ γίνεται. οὔτε γὰρ ὁ χορός πω πάρεστιν, ἥ τε ἱέρεια εἰσῆλθεν εἰς τὸν ναόν. 36. διὰ τὸ γῆρας. κουφίζειν. σημαίνει δὲ καὶ τὸ γαυριᾶν καὶ ἀτάκτως πηδᾶν. 41. ἱκέτην. 42. ἐμφατικῶς· τοῦτο νεωστὶ αὐθεντηκότα παρίστησι. νεωστὶ ἐσπασμένον. 45. εἰώθασιν, ὅταν ἀσαφές τι εἴπωσιν, οἱ ποιηταὶ ἐπεκδιδάσκειν αὐτό. Ὅμηρος (Il. E. 586) κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεγμόν τε καὶ ὤμους. 47. φαίνεται ἐπὶ σκηνῆς τὸ μαντεῖον. ἡ δὲ προφῆτις πρόεισιν ἐπικλήσεις, ὡς ἔθος, τῶν θεῶν ποιησομένη, ἀπροόπτως τε ἰδοῦσα τὰς Ἐρινύας κύκλῳ τοῦ Ὀρέστου καθευδούσας πάντα μηνύει τοῖς θεαταῖς, οὐχ ὡς διηγουμένη τὰ ὑπὸ τὴν σκηνήν· τοῦτο γὰρ νεωτερικὸν Εὐριπίδειον· ὑπὸ δὲ τῆς ἐκπλήξεως τὰ θορυβήσαντα αὐτὴν καταμηνύουσα φιλοτέχνως. τὰ δὲ πρῶτα εὐχαὶ καὶ ἐπικλήσεις θεῶν, ἵνα ἀπὸ τῶν εὐφημοτέρων ἄρξηται ἡ προφῆτις. οἰκονομικῶς δὲ οὐκ ἐν ἀρχῇ διώκεται Ὀρέστης, ἀλλὰ τοῦτο ἐν μέσῳ τοῦ δράματος κατατάττει, ταμιευόμενος τὰ ἀκμαιότατα ἐν μέσῳ. τῶν Ἐρινύων.

33. μαντεύσομαι K: μαντεύομαι M. 34. paragrapho notat M, διάλειμμα γρ. m. 36. στάσιν M, γρ. βάσιν suprascr. m. 37. ποδωκείᾳ recc.: ποδωκίαι M. 40. θεομυσῆ M. 41. ἔχοντα recc.: ἔχοντι M. 42. νεοσταγές Meinekius. 43. ἐλαίας M. 45. spurius. 46. λόχος recc.: λέχος M.

οὗτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω,
οὐδ' αὖτε Γοργείοισιν εἰκάσω τύποις.
εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας
δεῖπνον φερούσας· ἄπτεροί γε μὴν ἰδεῖν
αὗται, μέλαιναι δ' ἐς τὸ πᾶν βδελύκτροποι·
ῥέγκουσι δ' οὐ πλατοῖσι φυσιάμασιν,
ἐκ δ' ὀμμάτων λείβουσι δυσφιλῆ λίβα·
καὶ κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα
φέρειν δίκαιος οὔτ' ἐς ἀνθρώπων στέγας.
τὸ φῦλον οὐκ ὄπωπα τῆσδ' ὁμιλίας,
οὐδ' ἥτις αἶα τοῦτ' ἐπεύχεται γένος
τρέφουσ' ἀνατεὶ μὴ μεταστένειν πόνον.
τἀντεῦθεν ἤδη τῶνδε δεσπότῃ δόμων
αὐτῷ μελέσθω Λοξίᾳ μεγασθενεῖ·
ἰατρόμαντις δ' ἐστὶ καὶ τερασκόπος
καὶ τοῖσιν ἄλλοις δωμάτων καθάρσιος.
Ἀπόλ- οὗτοι προδώσω· διὰ τέλους δέ σοι φύλαξ
λων. ἐγγὺς παρεστὼς καὶ πρόσω δ' ἀποστατῶν
ἐχθροῖσι τοῖς σοῖς οὐ γενήσομαι πέπων.

48. πρὸς τὸ φοβερὸν τῆς ὄψεως. 49. ἀλλ' οὐδ' Ἅρπυίας αὐτὰς λέγω· εἶδον γὰρ αὐτὰς ἐν γραφῇ πτερωτάς. 52. ἅς τις βδελύξαιτο καὶ ἐντραπείη (l. ἐκτρ.) μισήσας. σκυθρωποί. 54. οἷον αἱματηράν. 55. ὃν ἔχουσι παρακείμενον (περικ. Weil.) ἑαυταῖς. 57. οὐδέποτε τοιοῦτον γένος εἶδον. συνηθείας, συνουσίας, συστήματος. 59. τὸ (τὸν Hermann.) τῆς ἀνατροφῆς. 62. ὥστε εἰ θεραπείας χρεία, ἰατρός ἐστιν, εἴτε μαντείας, τερατοσκόπος, εἴτε καθαρμῶν, καθάρσιος. 63. πόσῳ μᾶλλον τῶν ἰδίων; 64. ἐπιφανεὶς Ἀπόλλων συμβουλεύει Ὀρέστῃ καταλιπεῖν μὲν τὸ μαντεῖον, φυγεῖν δὲ εἰς Ἀθήνας. καὶ δευτέρα δὲ γίνεται φαντασία. στραφέντα γὰρ μηχανήματα ἔνδηλα ποιεῖ τὰ κατὰ τὸ μαντεῖον ὡς ἔχει. καὶ γίνεται ὄψις τραγική· τὸ μὲν ξίφος ἡμαγμένον ἔτι κατέχων Ὀρέστης, αἱ δὲ κύκλῳ φρουροῦσαι αὐτόν. πρὸς Ὀρέστην φησίν· ἀπέστη γὰρ ἡ ἱέρεια. 66. γράφεται πρέπων. οὐχ ὅμοιον· αἱ μὲν γὰρ καθεύδουσιν, ἐγὼ δὲ ἐγρήγορα.

---

53. πλατοῖσι Elmsleius: πλαστοῖσι M. 54. λίβα Burgesius: δία M. 57. τῆσ, corr. in τῆσδ', M. 59. πόνον Arnaldus: πόνων M. 60. fort. τἀνθένδε δ' ἤδη.

καὶ νῦν ἁλούσας τάσδε τὰς μάργους ὁρᾷς
ὕπνῳ πεσοῦσαι δ' αἱ κατάπτυστοι κόραι,
γραῖαι παλαιαὶ παῖδες, αἷς οὐ μίγνυται
θεῶν τις οὐδ' ἄνθρωπος οὐδὲ θήρ ποτε.
κακῶν δ' ἕκατι κἀγένοντ', ἐπεὶ κακὸν
σκότον νέμονται Τάρταρόν θ' ὑπὸ χθονός,
μισήματ' ἀνδρῶν καὶ θεῶν Ὀλυμπίων.
ὅμως δὲ φεῦγε μηδὲ μαλθακὸς γένῃ.
ἐλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς
βεβῶτ' ἂν ἀεὶ τὴν πλανοστιβῆ χθόνα,
ὑπέρ τε πόντον καὶ περιρρύτας πόλεις.
καὶ μὴ πρόκαμνε τόνδε βουκολούμενος
πόνον· μολὼν δὲ Παλλάδος ποτὶ πτόλιν
ἵζου παλαιὸν ἄγκαθεν λαβὼν βρέτας.
κἀκεῖ δικαστὰς τῶνδε καὶ θελκτηρίους
μύθους ἔχοντες μηχανὰς εὑρήσομεν,
ὥστ' ἐς τὸ πᾶν σε τῶνδ' ἀπαλλάξαι πόνων.
καὶ γὰρ κτανεῖν σ' ἔπεισα μητρῷον δέμας.
Ὀρέστης. ἄναξ Ἄπολλον, οἶσθα μὲν τὸ μὴ ἀδικεῖν·
ἐπεὶ δ' ἐπίστᾳ, καὶ τὸ μὴ ἀμελεῖν μάθε.
σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σόν.
ΑΠ. μέμνησο, μὴ φόβος σε νικάτω φρένας.
σὺ δ', αὐτάδελφον αἷμα καὶ κοινοῦ πατρός,
Ἑρμῆ, φύλασσε, κάρτα δ' ὢν ἐπώνυμος
πομπαῖος ἴσθι, τόνδε ποιμαίνων ἐμὸν
ἱκέτην. σέβει τοι Ζεὺς τόδ' ἐκνόμων σέβας,

69. πολιαὶ γάρ· παῖδες διὰ τὸ νέον· ἢ ἐπειδὴ ἄγαμοι καὶ παρθένοι εἰσί. τὸ ἀλλόκοτον δὲ τῆς φύσεως διὰ τῶν ἐναντίων τραγικώτερον διασύρει. 71. ἕνεκεν τοῦ κακοποιεῖν. 75. ἐλάσωσι (ἐλάσουσι Dind.) 78. περιέπων. 80. ταῖς ἀγκάλαις. 86. ἐπίστασαι. 87. τὸ δὲ σὸν σθένος ἀσφαλές ἐστιν εἰς τὸ εὖ ποιεῖν. 90. ὅδιος γὰρ ὁ θεός. 91. φυλάσσων. 92. τὸ τῶν ἱκετῶν σέβισμα καὶ δέημα οὐ μόνον τιμᾷ ὁ Ζεύς,

69. fort. γραῖαι πάλαι κἄπαιδες. 76. βεβῶτ' Stephanus: βεβῶντ' M. 77. πόντον Turnebus: πόντου M. 79. ποτι πτόλιν παλλάδοσ M. 85—87. ante 64. collocandos esse censeo. 85. μη'....δικεῖν M. 86. μη'....μελεῖν M.

ὁρμώμενον βροτοῖσιν εὐπόμπῳ τύχῃ.
Κλυται- εὖδοιτ' ἄν, ὠή, καὶ καθευδουσῶν τί δεῖ;
μνήστρας ἐγὼ δ' ὑφ' ὑμῶν ὧδ' ἀπητιμασμένη
εἴδωλον. ἄλλοισιν ἐν νεκροῖσιν, ὡς μὲν ἔκτανον
ὄνειδος ἐν φθιτοῖσιν οὐκ ἐκλείπεται,
αἰσχρῶς δ' ἁλῶμαι· προὐννέπω δ' ὑμῖν ὅτι
ἔχω μεγίστην αἰτίαν κείνων ὕπο·
παθοῦσα δ' οὕτω δεινὰ πρὸς τῶν φιλτάτων,
οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται,
κατασφαγείσης πρὸς χερῶν μητροκτόνων.
ὅρα δὲ πληγὰς τάσδε καρδίᾳ σέθεν·
εὖδουσα γὰρ φρὴν ὄμμασιν λαμπρύνεται,
ἐν ἡμέρᾳ δὲ μοῖρ' ἀπρόσκοπος βροτῶν.
ἦ πολλὰ μὲν δὴ τῶν ἐμῶν ἐλείξατε,
χοάς τ' ἀοίνους, νηφάλια μειλίγματα,
καὶ νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς
ἔθυον, ὥραν οὐδενὸς κοινὴν θεῶν.

ἀλλὰ καὶ σέβει, ὁρῶν αὐτὸ ὁρμώμενον προσηκούσῃ τύχῃ. 95. λείπει εἰμί. ὑπὲρ ὧν ἐφόνευσα Ἀγαμέμνονα ἀπώσασθε. καὶ οἱ ἐμὲ φονεύσαντες οὐκ ἀτιμάζονται. παιδευτικὰ δὲ ταῦτα. τὸ γὰρ τοὺς ἐναγεῖς καὶ μετὰ θάνατον ὑπὸ νεκρῶν ἀτιμάζεσθαι ἱκανῶς ἔχεται παιδεύσεως. ὁ μὲν Ὀρέστης φυγῇ οἴχεται Ἀθήναζε πυθόμενος, αἱ δὲ Ἐρινύες μόναι καθεύδουσιν ὑπὸ πόνου ἴσως καὶ Ἀπόλλωνος, τοῦ τραγῳδοποιοῦ τοῦτο ἐπιτηδεύσαντος, ἵνα διὰ τούτου ἐμφανῇ (ἐμφαίνῃ Vict.) τὸ ἄγριον αὐτῶν καὶ χαλεπόν. πῶς δὲ διεγείρονται; οὐχ ὑπὸ Ἀπόλλωνος, οὐδὲ ὑφ' ἑαυτῶν, ἀλλ' ἐν ἄλλῃ φαντασίᾳ. ἐφίσταται γὰρ τὸ εἴδωλον Κλυταιμνήστρας καὶ μεμψάμενον ἀνεγείρει, ὥστε ποικίλαις φαντασίαις πεπύκνωται. 99. καὶ σφαγεῖσα αἰτιῶμαι ὑπ' αὐτῶν, τῶν περὶ Ἀγαμέμνονα. 104. ἐν τῷ καθεύδειν ὁ νοῦς ἀκριβέστερον ὁρᾷ, μὴ παραπλανώμενος τῇ θέᾳ. τραγικώτερον δὲ τὸ εἴδωλον Κλυταιμνήστρας σῴζει τὴν σφαγήν. 105. ἡ τῆς φρενὸς μοῖρα οὐ προορᾷ ἐν ἡμέρᾳ. 107. οἶνος γὰρ οὐ σπένδεται Ἐρινύσιν. 109. ἐν ᾗ οὐδεὶς τῶν θεῶν ἐκοινώνει

---

96. ὧν Tyrwhittus. 103. *καρδίαι* M, sed ut *ι* finale utrum scripserit prima manus, an addiderit *m*, dubium sit. 104. 105. ab hoc loco alieni. 105. *μοῖρ' ἀπρόσκοπος* schol.: *μοῖρα πρόσκοποσ* M. 107. *νηφάλια* Robortellus: *νιφάλια* M. 108. *νυκτὶ* (*ι* ex *ὸ* facto) *σεμνὰ* M.

καὶ πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα.
ὃ δ' ἐξαλύξας οἴχεται νεβροῦ δίκην,
καὶ ταῦτα κούφως ἐκ μέσων ἀρκυστάτων
ὤρουσεν, ὑμῖν ἐγκατιλλώψας μέγα.
ἀκούσαθ' ὡς ἔλεξα τῆς ἐμῆς περὶ
ψυχῆς, φρονήσατ', ὦ κατὰ χθονὸς θεαί·
ὄναρ γὰρ ὑμᾶς νῦν Κλυταιμνήστρα καλῶ.

ΧΟ. μυγμός.

ΚΛ. μύζοιτ' ἄν, ἀνὴρ δ' οἴχεται φεύγων πρόσω·
φίλοις γάρ εἰσιν οὐκ ἐμοῖς προσίκτορες.

ΧΟ. μυγμός.

ΚΛ. ἄγαν ὑπνώσσεις κοὐ κατοικτίζεις πάθος·
φονεὺς δ' Ὀρέστης τῆσδε μητρὸς οἴχεται.

ΧΟ. ὠγμός.

ΚΛ. ὤζεις, ὑπνώσσεις· οὐκ ἀναστήσῃ τάχος;
τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά;

ΧΟ. ὠγμός.

ΚΛ. ὕπνος πόνος τε κύριοι συνωμόται
δεινῆς δρακαίνης ἐξεκήραναν μένος.

ΧΟ. μυγμὸς διπλοῦς ὀξύς.
λαβὲ λαβὲ λαβὲ λαβέ, φράζου.

τῆς θυσίας ὑμῖν. ἐν γὰρ τῷ μεσονυκτίῳ μόναις Ἐρινύσιν ἀπάρχονται. ὅτι ταύταις μόναις ἐν νυκτὶ θύουσιν. 111. διὰ τὸ πεφευγέναι ἐκ τοῦ νεώ. 113. χλευάσας, ἐγγελάσας. διὰ δὲ τούτων ἐρεθίζει αὐτάς. 117. παρεπιγραφή. τοῦτο δέ ἐστιν ὃ φησιν ὁ ποιητής (Il. Δ. 20)· αἱ δ' ἐπέμυξαν. τὸ δὲ ἐγείρεσθαι τὰς παρειμένας ὕπνῳ οὐ πιθανόν. κατὰ βραχὺ οὖν ἐκ προσβάσεως τὴν ἔγερσιν ποιήσονται. 124. ὡς παρὰ τὸ αἰ αἰ αἰάζειν, οὕτω παρὰ τὸ ὠ ὠ ὤζειν (ὤιζειν cod.). 125. τί οὖν μέλλεις τὸ σὸν ἔργον ἀνύειν; 127. συνωμοσίαν ποιήσαντες κατεκοίμισαν ὑμᾶς. 128. παρείλοντο. 130. ὀνειροπολοῦσαι διώκειν Ὀρέστην τοῦτό φασιν.

---

112. ἀρκυστάτων Turnebus: ἀρκυσμάτων M. 113. ἐγκατιλλώψας Turnebus: ἐκκατιλλώψασ M. 117—131. personarum vices paragraphis notat M. 118. ἀνὴρ M. 121—123. omissos in margine supplevit *m.* 121. κατοικτίζει Dindorfius. 123. ὠγμός Robortellus: μωγμόσ *m.* 124. ὤιζεισ M. 125. πέπρωται Stanleius.

ΚΛ. ὄναρ διώκεις θῆρα, κλαγγαίνεις δ' ἅπερ
κύων μέριμναν οὔποτ' ἐκλείπων πόνου.
τί δρᾷς; ἀνίστω, μή σε νικάτω πόνος,
μηδ' ἀγνοήσῃς πῆμα μαλθαχθεῖσ' ὕπνῳ.
ἄλγησον ἥπαρ ἐνδίκοις ὀνείδεσιν·
τοῖς σώφροσιν γὰρ ἀντίκεντρα γίγνεται.
εὖ δ' αἱματηρὸν πνεῦμ' ἐπουρίσασα τῷ,
ἀτμῷ κατισχναίνουσα, νηδύος πυρί,
ἕπου, μάραινε δευτέροις διώγμασιν.
ΧΟ. ἔγειρ', ἔγειρε καὶ σὺ τήνδ', ἐγὼ δὲ σέ.
εὕδεις; ἀνίστω, κἀπολακτίσασ' ὕπνον,
ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ.

(Hemichoria)

str. 1. 1. ἰοὺ ἰού, πύπαξ. ἐπάθομεν, φίλαι,
2. ἦ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγώ,
1. ἐπάθομεν πάθος δυσαχές, ὦ πόποι,
ἄφερτον κακόν·
ἐξ ἀρκύων πέπτωκεν οἴχεται θ' ὁ θήρ.
2. ὕπνῳ κρατηθεῖσ' ἄγραν ὤλεσα.

antistr. 1. 1. ἰὼ παῖ Διός, ἐπίκλοπος πέλῃ,
2. νέος δὲ γραίας δαίμονας καθιππάσω·
1. τὸν ἱκέταν σέβων ἄθεον ἄνδρα καὶ
τοκεῦσιν πικρόν,

136. ἴσα μαστίγων. 137. ἐφορμήσασα τῷ Ὀρέστῃ. οἰκεῖον τῷ πνεύματι τὸ ἐπουρίσασα. 138. ἐκλεπτύνουσα. πυρετῷ ἀναλίσκουσα, ὡς δοκεῖν ἀτμοὺς ἀνιέναι ἀπὸ τῆς γαστρὸς αὐτοῦ. 140. ἀναστήσει (l. ἀνίστησιν) αὐτὰς οὐκ ἀθρόως, μιμούμενος ἐμφατικῶς τὴν ἀλήθειαν, ἀλλ' ἐγείρεταί τις πρώτη, ὥστε μὴ ἀθρόως τὸν χορὸν φθέγξασθαι. 142. μάταιον γίνεται. 143. ἀφόρητον κακὸν ἐπάθομεν. 144. κομματικῶς ἕκαστον κατ' ἰδίαν προενεκτέον. αἱ γὰρ διακοπαὶ πρόσφοροι τοῖς πάθεσιν. 145. λείπει δεινά. 150. κατεπολέμησας. 152. συλληπτικῶς.

131. κλαγγάνεις Wakefieldus. 132. ἐκλείπων K: ἐκλιπὼν M. 135. ὀνείδεσιν recc.: ὀνείδεσσιν M. 136. γίνεται M. 137. εὖ δ' K: οὐδ' M. 138. κατισχναίνουσα Robortellus: κατισχαίνουσα M. 140. χορὸς ἐρινύων ἐξ ὧν μία praescriptum in M. 142. ἰδώμεθ' Turnebus: εἰδώμεθ' M. 147. θ' Abreschius: δ' M.

τὸν μητραλοίαν δ' ἐξέκλεψας ὢν θεός.
2. τί τῶνδ' ἐρεῖ τις δικαίως ἔχειν;
str. 2. 1. ἐμοὶ δ' ὄνειδος ἐξ ὀνειράτων μολὸν
ἔτυψεν δίκαν διφρηλάτου
μεσολαβεῖ κέντρῳ
ὑπὸ φρένας, ὑπὸ λοβόν.
2. πάρεστι μαστίκτορος
δαΐου δαμίου
βαρὺ τὸ περίβαρυ κρύος ἔχειν.
antistr. 2. 1. τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοὶ
κρατοῦντες τὸ πᾶν δίκας πλέον
φονολιβῆ θρόνον
περὶ πόδα, περὶ κάρα.
2. πάρεστι γᾶς ὀμφαλὸν
προσδρακεῖν αἱμάτων
βλοσυρὸν ἀρόμενον ἄγος ἔχειν.
str. 3. 1. ἐφεστίῳ δέ, μάντι, σὸν μιάσματι
μυχὸν ἔχρανας αὐτόσσυτος, αὐτόκλητος,
παρὰ νόμον θεῶν βρότεα μὲν τίων,
παλαιγενεῖς δὲ Μοίρας φθίσας.
antistr. 3. 2. κἀμοί γε λυπρὸς καὶ τὸν οὐκ ἐκλύσεται,
ὑπό τε γᾶν φυγὼν οὔποτ' ἐλευθεροῦται,

156. ὡς ἡνίοχος ἔτυψέ με. 158. μέρος τοῦ ἥπατος. 159. λείπει τὸ ὡς. 161. οὐ τὸ τυχόν, ἀλλὰ περισσῶς βαρύ. ἡμᾶς φησι. 163. παρὰ τὸ δίκαιον τὸ πᾶν ἔχοντες. 164. τὸν θρόνον, οὗ Ὀρέστης καθῆστο, πάρεστιν ὁρᾶν φονολιβῆ (φονολειβῆ cod.) ἀπὸ ποδῶν ἕως κεφαλῆς ὅλον. τὸ δὲ γᾶς ὀμφαλόν ἀντὶ τοῦ τὸ (l. τὸν) ἐν Πυθοῖ. διὰ δὲ τούτων ἀποσκευάζειν δοκοῦσι τῆς ἐπικουρίας Ὀρέστου τὸν θεόν. 167. λείπει ὃ καί. ὥστε τὸν ὀφθαλμὸν (ὀμφαλόν Weil.) ἔχειν αἱμάτων ἄγος ἐπαίροντα. 170. αὐτὸς αὑτὸν καλέσας ἐπὶ τῷ μιᾶναι τὸν ναόν. 172. ἡμᾶς, ὅσον ἐπὶ σοί.

---

164. φονολιβῆ Arnaldus: φονολειβῆ M. θρόμβον Wakefieldus. 168. ἀρόμενον Abreschius: αἱρόμενον M. 169. σόν Scholefieldus: σῶι M. 170. μυχὸν Robortellus: μυκὸν M. ἔχρανας Turnebus: ἔχρανάτ' M. 171. παρὲ νόμον c: παρανόμων, sed ω mutato in ο, M. 173. γε Casaubonus: τε M. 174. φυγών Porsonus: φεύγων M.

ποτιτρόπαιος ὢν δ' ἕτερον ἐν κάρᾳ
μιάστορ' εἶσιν οὖ πάσεται.

ΑΠ. ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος
χωρεῖτ', ἀπαλλάσσεσθε μαντικῶν μυχῶν,
μὴ καὶ λαβοῦσα πτηνὸν ἀργηστὴν ὄφιν,
χρυσηλάτου θώμιγγος ἐξορμώμενον,
ἀνῆς ὑπ' ἄλγους μέλαν' ἀπ' ἀνθρώπων ἀφρόν,
ἐμοῦσα θρόμβους οὓς ἀφείλκυσας φόνου.
οὔτοι δόμοισι τοῖσδε χρίμπτεσθαι πρέπει·
ἀλλ' οὗ καρανιστῆρες ὀφθαλμωρύχοι
δίκαι σφαγαί τε σπέρματός τ' ἀποφθοραὶ
παίδων κακοῦται χλοῦνις ἠδ' ἀκρωνία
λευσμός τε καὶ μύζουσιν οἰκτισμὸν πολὺν
ὑπὸ ῥάχιν παγέντες. ἆρ' ἀκούετε
οἵας ἑορτῆς ἔστ' ἀπόπτυστοι θεοῖς
στέργηθρ' ἔχουσαι; πᾶς δ' ὑφηγεῖται τρόπος
μορφῆς. λέοντος ἄντρον αἱματορρόφου

175. προστρόπαιος, ἀντὶ τοῦ ἐναγής. ὢν ἐναγὴς ἐν τῷ κάρᾳ ἑαυτοῦ ἕτερον μιάστορα λήψεται καὶ οἱ ἐξ αὐτοῦ δίκας ἡμῖν δώσουσιν. 179. τραγικώτερον ὄφιν εἶπε τὸ βέλος διὰ τὸν ἰόν, πτηνὸν δὲ διὰ τὸ ἐπτερῶσθαι. τὸ μὲν πρῶτον πρὸς πάσας ὁ λόγος, πρὸς μίαν δὲ ἑκάστην νῦν. 180. νευρᾶς. 181. τὸ αἷμα μέλανα ἀφρὸν εἶπεν, οὐ δήπου τὸ ἔμφυτον αὐτῶν· ἀναίμονες γάρ εἰσιν οἱ θεοί· ἀλλὰ τὸ ἀπ' ἀνθρώπων ἠθροισμένον, ὡς τούτῳ τροφῇ χρωμένων αὐτῶν. 182. τὰς πήξεις τοῦ αἵματος. 184. αἱ ἀποκεφαλίζουσαι. 186. χλοῦνις ἡ ἀκμαία ἀποκοπή, παρὰ τὴν χλόην· ἢ ἐπεὶ χλούνης ὁ σῦς, κάπροι δὲ συνεχῶς εὐνουχίζονται, διὰ τοῦτο τὴν ἀποκοπὴν συϊκὴν εἶπεν, οὐκ ἀνθρωπίνην. ἡ ἐκτομὴ μορίων. 187. κακῶν ἄθροισις, ἢ λιθοβολίας. Ἡρωδιανὸς δὲ τὸ σύστημα καὶ ἄθροισμα. 188. ἔνθα ἀνασκολοπίζονται. 189. ἑορτῆς: εἰρωνικῶς ἀντὶ τοῦ διατριβῆς. 190. ἀντὶ τοῦ διὰ τῆς μορφῆς ὑμῶν ἡ κακία τῶν τρόπων ὑμῶν διαδείκνυται.

---

175. ὢν δ' Porsonus: δ' ὢν M. 176. εἶσιν οὖ K: ἐκείνου M. 184. οὗ Turnebus: οὐ M. καρανιστῆρες Stanleius: καρανητῆρες M. 185. ἀποφθορᾷ Erfurdtius. 187. λευσμός Casaubonus: λευσμόν M. 188. ὑπὸ ῥάχιν Ald.: ὑπορράχιν M.

οἰκεῖν τοιαύτας εἰκός, οὐ χρηστηρίοις
ἐν τοῖσδε πλησίοις τρίβεσθαι μύσος.
χωρεῖτ' ἄνευ βοτῆρος αἰπολούμεναι.
ποίμνης τοιαύτης δ' οὔτις εὐφιλὴς θεῶν.
ΧΟ. ἄναξ Ἄπολλον, ἀντάκουσον ἐν μέρει.
αὐτὸς σὺ τούτων οὐ μεταίτιος πέλῃ,
ἀλλ' εἷς τὸ πᾶν ἔπραξας ὧν παναίτιος.
ΑΠ. πῶς δῆ; τοσοῦτο μῆκος ἔκτεινον λόγου.
ΧΟ. ἔχρησας ὥστε τὸν ξένον μητροκτονεῖν.
ΑΠ. ἔχρησα ποινὰς τοῦ πατρὸς πέμψαι. τί μήν;
ΧΟ. κἄπειθ' ὑπέστης αἵματος δέκτωρ νέου.
ΑΠ. καὶ προστραπέσθαι τούσδ' ἐπέστελλον δόμους.
ΧΟ. καὶ τὰς προπομποὺς δῆτα τάσδε λοιδορεῖς;
ΑΠ. οὐ γὰρ δόμοισι τοῖσδε πρόσφορον μολεῖν.
ΧΟ. ἀλλ' ἔστιν ἡμῖν τοῦτο προστεταγμένον.
ΑΠ. τίς ἦδε τιμή; κόμπασον γέρας καλόν.
ΧΟ. τοὺς μητραλοίας ἐκ δόμων ἐλαύνομεν.
ΑΠ. τί γὰρ γυναικὸς ἥτις ἄνδρα νοσφίσῃ;
ΧΟ. οὐκ ἂν γένοιθ' ὅμαιμος αὐθέντης φόνος.
ΑΠ. ἦ κάρτ' ἄτιμα καὶ παρ' οὐδὲν ἡρκέσω
Ἥρας τελείας καὶ Διὸς πιστώματα·
Κύπρις δ' ἄτιμος τῷδ' ἀπέρριπται λόγῳ,
ὅθεν βροτοῖσι γίγνεται τὰ φίλτατα.
εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μόρσιμος

193. μύσος προστρίβεσθαι. 194. μόναι, ὡς ἀνήμερα θηρία. 197. οὐκ ἐπικοινωνῶν τῇ αἰτίᾳ, ἀλλὰ τοῦ παντὸς σὺ αἴτιος. 201. (202.) ὥστε δέξασθαι τὸν φονέα. 204. ἠθικεύσαντο τὰς διωκτρίας προπομποὺς εἰποῦσαι. 209. τί προστέταχθε ποιεῖν παρὰ (περὶ Herm.) ἀνδροφόνου γυναικός. 210. ὃ τοῦ Ἀγαμέμνονος φόνος οὐκ ἦν αὐθέντης, ὅ ἐστι μιαρός.

---

196. χο(ρὸς) Εὐμενίδ(ων) praescriptum in M. 198. εἷς. Canterus: εἰσ M. ὧν Wakefieldus: ὡσ M. 200. εὐ$^{\mu}$ praefixum in M. 201—211. personarum vices paragraphis notat M, exceptis 209. 210, qui carent notatione. 201. leg. πρᾶξαι. τί μήν Abreschius: τι μήν M. 202. δ' ἕκτωρ M, οἶμαι δέκτωρ m. 205. πρόσφοροι Prienius. 211. ἤρκεσεν et ἠδέσω Wellauerus. 214. γίνεται M. 215. μόρσιμος recc.: μόρσιμοι M.

ὅρκου ᾽στὶ μείζων τῇ δίκῃ φρουρουμένη.
εἰ τοῖσιν οὖν κτείνουσιν ἀλλήλους χαλᾷς
τὸ μὴ γενέσθαι μηδ᾽ ἐποπτεύειν κότῳ,
οὔ φημ᾽ Ὀρέστην σ᾽ ἐνδίκως ἀνδρηλατεῖν.
τὰ μὲν γὰρ οἶδα κάρτα σ᾽ ἐνθυμουμένην,
τὰ δ᾽ ἐμφανῶς πράσσουσαν ἡσυχαιτέραν.
δίκας δὲ Παλλὰς τῶνδ᾽ ἐποπτεύσει θεά.
ΧΟ. τὸν ἄνδρ᾽ ἐκεῖνον οὔ τι μὴ λίπω ποτέ.
ΑΠ. σὺ δ᾽ οὖν δίωκε καὶ πόνον πλέον τίθου.
ΧΟ. τιμὰς σὺ μὴ σύντεμνε τὰς ἐμὰς λόγῳ.
ΑΠ. οὐδ᾽ ἂν δεχοίμην ὥστ᾽ ἔχειν τιμὰς σέθεν.
ΧΟ. μέγας γὰρ ἔμπας παρ Διὸς θρόνοις λέγῃ.
ἐγὼ δ᾽, ἄγει γὰρ αἷμα μητρῷον, δίκας
μέτειμι τόνδε φῶτα κἀκκυνηγετῶ.
ΑΠ. ἐγὼ δ᾽ ἀρήξω τὸν ἱκέτην τε ῥύσομαι·
δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει
τοῦ προστροπαίου μῆνις, ἣν προδῶ σφ᾽ ἑκών.
ΟΡ. ἄνασσ᾽ Ἀθάνα, Λοξίου κελεύσμασιν
ἥκω, δέχου δὲ πρευμενῶς ἀλάστορα,
οὐ προστρόπαιον οὐδ᾽ ἀφοίβαντον χέρα,
ἀλλ᾽ ἀμβλὺν ἤδη προστετριμμένον τε πρὸς
ἄλλοισιν οἴκοις καὶ πορεύμασιν βροτῶν.
ὅμοια χέρσον καὶ θάλασσαν ἐκπερῶν,
σῴζων ἐφετμὰς Λοξίου χρηστηρίους,
πρόσειμι δῶμα καὶ βρέτας τὸ σόν, θεά.

221. ἡσυχαιτέραν: δολιωτέραν. 228. ἡ δίκη τοῦ μητρῴου αἵματος. 232. μή τοί τι θεῶν μήνιμα γένωμαι (Hom. Il. X. 358). 235. ἀκάθαρτον. 236. ἀντὶ τοῦ ἐπελθόντα. 237. ἄλλοις προστριψάμενον τὸ μύσος.

---

217. *εἰ* Canterus: *ἢ* M. 218. fort. *μὴ ᾽ντρέπεσθαι*. 219. Apollinis notam huic versui addit M. *σ᾽* Robortellus: *γ᾽* M. 222. *δὲ Παλλάς* Sophianus: *δ᾽ ἐπάλλας* M. 223. *εὖ*$^{\mu}$ praefixum in M, paragraphis notati 224—27. 223. *λίπω* Porsonus: *λείπω* M. *πώποτε*, corr. in *ποτε*, M. 224. *πλέω* Auratus. 228. *ἄγει — μητρῷον* recc.: *ἄγειν — μητρώων* M. 229. *κἀκκυνηγετῶ* Erfurdtius: *κἀκκυνηγέτης σ* M. 231. *θεοῖς* recc.: *θεοῖσι* M. 232. *ἥν* Porsonus: *εἰ* M. Fort. *προδῷς*.

αὐτοῦ φυλάσσων ἀναμένω τέλος δίκης.
ΧΟ. εἶεν· τόδ' ἐστὶ τἀνδρὸς ἐκφανὲς τέκμαρ.
ἕπου δὲ μηνυτῆρος ἀφθέγκτου φραδαῖς.
τετραυματισμένον γὰρ ὡς κύων νεβρὸν
πρὸς αἷμα καὶ σταλαγμὸν ἐκματεύομεν.
πολλοῖς δὲ μόχθοις ἀνδροκμῆσι φυσιᾷ
σπλάγχνον· χθονὸς γὰρ πᾶς πεποίμανται τόπος,
ὑπέρ τε πόντον ἀπτέροις ποτήμασιν
ἦλθον διώκουσ', οὐδὲν ὕστερα νεώς.
καὶ νῦν ὅδ' ἐνθάδ' ἐστί που καταπτακών.
(Chori partes singulae)
ὀσμὴ βροτείων αἱμάτων με προσγελᾷ·
ὅρα ὅρα μάλ' αὖ, λεύσσετον πάντα, μὴ
λάθῃ φύγδα βὰς ματροφόνος ἀτίτας.
ὅδ' αὖτέ γ' οὖν ἀλκὰν ἔχων περὶ βρέτει
πλεχθεὶς θεᾶς ἀμβρότου
ὑπόδικος θέλει γενέσθαι χερῶν.
τὸ δ' οὐ πάρεστιν· αἷμα μητρῷον χαμαί,
δυσαγκόμιστον, παπαῖ,
τὸ διερὸν πέδοι χύμενον οἴχεται.

243. ταῖς ἐννοίαις. 244. ὡς αὐτόχρημα αἵματος ὄντος Ὀρέστου καὶ μιαίνοντος τὴν γῆν ἧς ἐφάψηται. τετραυματισμένον: τὸ μὲν ἀπορρεῖν τὸ αἷμα παραδοξολογίας ἐστὶ τραγικῆς· ὅρα δὲ μὴ ἐκβαίνει τὴν πίστιν ὁ ἀπὸ Ἄργους εἰς Δελφοὺς ἥκων, εἶτα ἐκεῖθεν εἰς Ἀθήνας καὶ ἔτι αἷμα στάζων ἀπὸ τοῦ ξίφους. φαντασία οὖν ἀμήχανος· ἀλλὰ καὶ συγκέχυται τῇ παραδοξολογίᾳ. 246. μεγαλοκμῆσιν. 247. τὸ ἡμέτερον σπλάγχνον. 248. ὅτι μὴ πτερωτὰς εἰσήγαγεν αὐτάς. 250. καταπτήξας πρὸς τῷ ἀγάλματι. 251. προσσαίνει. 252. τὸ αὐτὸ πρόσωπόν ἐστι. 253. ἀτίτας: ἀτιμώρητος. 255. ἀνθ' ὧν ἡμῖν χρεωστεῖ πρόσφυξ θέλει γενέσθαι τῆς θεοῦ. 257. οὐ πάρεστιν αὐτῷ νικῆσαι ἡμᾶς. 258. τὸ ἅπαξ χυθὲν αἷμα δυσίατον. 259. πᾶν διερὸν ἐκκεχυμένον εἰς τὴν γῆν δυσαγκόμιστον. τοιοῦτο οὖν καὶ τὸ αἷμα. τὸ βρέξαν τὴν γῆν.

241. ἀναμενῶ Stanleius, ἀμμενῶ Dindorfius. 245. ἐκματεύομεν M. 248. πωτήμασιν M. 252. λεύσσετ (vel λεύσσε)..τον (vel τὸν) πάντα M. λεῖσσέ τε πάντα Hermannus. 253. ματροφόνος Hermannus: ὁ ματροφόνος M. 255. dele πλεχθείς. 259. πέδοι Dindorfius: πέδωι M. χύμενον Porsonus: κεχυμένον M.

ἀλλ᾽ ἀντιδοῦναι δεῖ σ᾽ ἀπὸ ζῶντος ῥοφεῖν
ἐρυθρὸν ἐκ μελέων πέλανον· ἀπὸ δὲ σοῦ
βοσκὰν φεροίμαν πώματος δυσπότου.
καὶ ζῶντά σ᾽ ἰσχνάνασ᾽ ἀπάξομαι κάτω,
ἀντιποίνους τίνῃς μητροφόνας δύας.
ὄψει δὲ κεἴ τις ἄλλος ἡλίτεν βροτῶν
ἢ θεὸν ἢ ξένον τιν᾽ ἀσεβῶν
ἢ τοκέας φίλους,
ἔχονθ᾽ ἕκαστον τῆς δίκης ἐπάξια.
μέγας γὰρ Ἅιδης ἐστὶν ἐνθυνος βροτῶν
ἔνερθε χθονός,
δελτογράφῳ δὲ πάντ᾽ ἐπωπᾷ φρενί.

ΟΡ. ἐγὼ διδαχθεὶς ἐν κακοῖς ἐπίσταμαι
πολλοὺς καθαρμούς, καὶ λέγειν ὅπου δίκη
σιγᾶν θ᾽ ὁμοίως· ἐν δὲ τῷδε πράγματι
φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου·
βρίζει γὰρ αἷμα καὶ μαραίνεται χερός,
μητροκτόνον μίασμα δ᾽ ἔκπλυτον πέλει.
ποταίνιον γὰρ ὂν πρὸς ἑστίᾳ θεοῦ
Φοίβου καθαρμοῖς ἠλάθη χοιροκτόνοις.
πολὺς δέ μοι γένοιτ᾽ ἂν ἐξ ἀρχῆς λόγος,

260. καταπίνειν. 261. θρόμβον αἵματος. 269. δικαστής. 271. δελτογράφῳ: ἐφορᾷ δὲ πάντα ἀναγραφόμενος αὐτὰ τῇ ἰδίᾳ δέλτῳ. 272. ἐγὼ διδαχθείς: διδαχθεὶς πολλοὺς καθαρμούς, ὅ ἐστι, τηλικαῦτα ἀψυχήσας (ἀτυχήσας Stephan.), ἃ πολλῶν ἐδεήθη καθαρμῶν. ἄλλως. οἱ ἐναγεῖς οὔτε ἐν ἱερῷ προσῄεσαν οὔτε προσέβλεπον οὐ (οὔτε Dind.) διελέγοντό τινι. καὶ παρ᾽ Εὐριπίδῃ· τί σιγᾷς; μῶν φόνον τιν᾽ εἰργάσω; ἐπεὶ οὖν Ὀρέστης μέλλει διαλέγεσθαι δοκῶν ἔτι ἐναγὴς εἶναι, ἐγώ, φησί, διδαχθεὶς σὺν κακῷ τῷ ἐμαυτοῦ, καὶ οἷον διδασκάλοις χρησάμενος ταῖς ἐμαῖς συμφοραῖς, ἐπίσταμαι καὶ σιγᾶν καὶ λαλεῖν ὅπου δεῖ, ἑκατέρου καιρὸν γινώσκων. 276. κοιμᾶται. 277. ἐκκεκαθαρμένον.

---

262. φεροίμαν βοσκάν Wellauerus. 263. ἰσχνάνασ᾽ Turnebus: ἰχνάνασ᾽ M. 264. τίνῃς recc.: τείνῃσι M. 265. δὲ κεἴ τις ἄλλος Schuetzius: δ᾽ ἐκεῖ τίσ ἄλλον M.

ὅσοις προσῆλθον ἁβλαβεῖ ξυνουσίᾳ.
χρόνος καθαιρεῖ πάντα γηράσκων ὁμοῦ.
καὶ νῦν ἀφ' ἁγνοῦ στόματος εὐφήμως καλῶ
χώρας ἄνασσαν τῆσδ' Ἀθηναίαν ἐμοὶ
μολεῖν ἀρωγόν· κτήσεται δ' ἄνευ δορὸς
αὐτόν τε καὶ γῆν καὶ τὸν Ἀργεῖον λεὼν
πιστὸν δικαίως ἐς τὸ πᾶν τε σύμμαχον.
ἀλλ' εἴτε χώρας ἐν τόποις Λιβυστικοῖς,
Τρίτωνος ἀμφὶ χεῦμα γενεθλίου πόρου,
τίθησιν ὀρθὸν ἢ κατηρεφῆ πόδα,
φίλοις ἀρήγουσ', εἴτε Φλεγραίαν πλάκα
θρασὺς ταγοῦχος ὡς ἀνὴρ ἐπισκοπεῖ,
ἔλθοι, κλύει δὲ καὶ πρόσωθεν ὢν θεός,
ὅπως γένοιτο τῶνδ' ἐμοὶ λυτήριος.

XO. οὗτοι σ' Ἀπόλλων οὐδ' Ἀθηναίας σθένος
ῥύσαιτ' ἂν ὥστε μὴ οὐ παρημελημένον
ἔρρειν, τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν,
ἀναίματον βόσκημα δαιμόνων, σκιάν.
οὐδ' ἀντιφωνεῖς, ἀλλ' ἀποπτύεις λόγους,
ἐμοὶ τραφείς τε καὶ καθιερωμένος;
καὶ ζῶν με δαίσεις οὐδὲ πρὸς βωμῷ σφαγείς·
ὕμνον δ' ἀκούσῃ τόνδε δέσμιον σέθεν.

ἄγε δὴ καὶ χορὸν ἄψωμεν, ἐπεὶ

281. ἐβλάπτοντο γὰρ οἱ μυσαροὶ οἱ (μυσαροῖς Steph.) ξυντυγχάνοντες. 286. λείπει ἐμέ. ὡς τότε συμμαχούντων Ἀργείων Ἀθηναίοις. 289. ὅτι διὰ τοῦτο οἴεται αὐτὴν Τριτογένειαν. 292. ὡς θρασὺς ἡγεμών. ἁρμόττουσα δὲ ἡ εὐχή· δεῖται γὰρ ἐδρανοῦς (ἐνδρανοῦς Dind.) βοηθοῦ. 294. τὸ ἔξῃς, ἔλθοι, ὅπως γένοιτο. 298. ὁ μηδὲ αἷμα σχήσων ἐξ ἡμῶν, ἀλλὰ γενησόμενος σκιά· ῥοφήσομεν γάρ σου τὸ αἷμα. ἢ ἐναίματον, ἀντὶ τοῦ ζῶντά σε νεκρὸν ποιήσομεν. 299. οὐκ ἀποκρίνῃ· ἢ ἀντὶ τοῦ οὐδὲ ἀντιφωνήσεις μοι, ἀλλὰ σοῦ βουλομένου λαλεῖν τὸ φθέγμα σου δεθήσεται.

---

282. ab hoc loco alienum notavit Musgravius. 288. *Λιβυστικῆς* Auratus. 298. *σκιάν* Heathius: *σκιά* M. 301. paragrapho notat et 303. chori notam addit M.

μοῦσαν στυγερὰν
ἀποφαίνεσθαι δεδόκηκεν,
λέξαι τε λάχη τὰ κατ' ἀνθρώπους
ὡς ἐπινωμᾷ στάσις ἁμή.
εὐθυδίκαιοι δ' οἱμεθ' εἶναι·
τοὺς μὲν καθαρὰς χεῖρας προνέμοντας
οὔτις ἐφέρπει μῆνις ἀφ' ἡμῶν,
ἀσινὴς δ' αἰῶνα διοιχνεῖ·
ὅστις δ' ἀλιτὼν ὥσπερ ὅδ' ἀνὴρ
χεῖρας φονίας ἐπικρύπτει,
μάρτυρες ὀρθαὶ τοῖσι θανοῦσιν
παραγιγνόμεναι πράκτορες αἵματος
αὐτῷ τελέως ἐφάνημεν.

(Chorus)

str. 1. μᾶτερ, ἅ μ' ἔτικτες, ὦ μᾶτερ
Νύξ, ἀλαοῖσι καὶ δεδορκόσιν ποινάν,
κλῦθ'. ὁ Λατοῦς γὰρ ἶνίς μ' ἄτιμον τίθησιν,
τόνδ' ἀφαιρούμενος πτῶκα, ματρῷον ἄ-
γνισμα κύριον φόνου.
ἐπὶ δὲ τῷ τεθυμένῳ
τόδε μέλος, παρακοπά,

305. ὡς ἐπὶ νεκρῷ. 306. τοὺς κλήρους ὑμῶν (l. ἡμῶν). ἀπὸ κοινοῦ δὲ τὸ δεδόκηκεν. δεδόκηκεν ἡμῖν λέξαι τινα τρόπον τὰ κατ' ἀνθρώπους λάχη ἐφοδεύομεν. 307. ἐπισκοπεῖ. τὸ σύστημα. 313. τὸν φόνον κρύψαι θέλει. 314. τοῖς ἀναιρεθεῖσι. 317. ἐπεὶ ὑπὲρ τῆς μητρὸς Ὀρέστου ἀγωνίζονται, οἰκείως τὴν μητέρα ἑαυτῶν ὀνομάζουσι. 318. ζῶσι καὶ θανοῦσιν ἔκδικον. 320. τὸν τῷ ἰδίῳ θανάτῳ ἀφαγνιοῦντα τὸν φόνον τῆς μητρός. ἄγνισμα δέ τινες εὐφήμως τὸ μόλυσμα. 322. ἐπὶ Ὀρέστῃ δὲ μέλλοντι θύεσθαι λεχθήσεται ὕμνος ἐξ ἡμῶν ὡς ἐπὶ ἱερείῳ, ὃς αὐτοῦ τὰς φρένας παρακόψει.

---

307. ἁμά Canterus: ἅμα M. 308. εὐθυδίκαιοι δ' Hermannus: εὐθυδίκαι θ' οἱδ' M. εὔχομεθ' εἶναι Donaldsonus. 309. τὸν — προνέμοντ' vel τοὺς μὲν καθαρὰς καθαρῶς — προνέμοντας Hermannus. 310. οὔτις ἐφέρπει μῆνις ἀφ' ἡμῶν Porsonus: οὔτισ ἀφ' ἡμῶν μῆνισ ἐφέρπει M. 312. ἀλιτὼν Auratus: ἀλιτρῶν M. ἀνὴρ M. 315. παραγίνομεναι M. 320. πτῶκα Sophianus: πτάκα M.

παραφορὰ φρενοδαλής,
ὕμνος ἐξ Ἐρινύων,
δέσμιος φρενῶν, ἀφόρ-
μικτος, αὐονὰ βροτοῖς.
antistr. 1. τοῦτο γὰρ λάχος διανταία
Μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν, θνατῶν
τοῖσιν αὐτουργίαις ξύμπασωσιν μάταιοι,
τοῖς ὁμαρτεῖν, ὅφρ' ἂν γᾶν ὑπέλθῃ· θανὼν δ'
οὐκ ἄγαν ἐλεύθερος.
ἐπὶ δὲ τῷ τεθυμένῳ
τόδε μέλος, παρακοπά,
παραφορὰ φρενοδαλής,
ὕμνος ἐξ Ἐρινύων,
δέσμιος φρενῶν, ἀφόρ-
μικτος, αὐονὰ βροτοῖς.
str. 2. γιγνομέναισι λάχῃ τάδ' ἐφ' ἅμιν ἐκράνθη,
ἀθανάτων δ' ἀπέχειν χέρας, οὐδέ τις ἐστὶ
συνδαίτωρ μετάκοινος·
παλλεύκων δὲ πέπλων ἄμοιρος ἄκληρος ἐτύχθην.
δωμάτων γὰρ εἱλόμαν
ἀνατροπάς, ὅταν Ἄρης

324. παρακίνησις τῶν φρενῶν. 326. ὁ δεσμεύων αὐτοῦ τὰς φρένας. ἀφόρμικτος: οὐ γὰρ σὺν ὀργάνοις μουσικοῖς γίνεται οὗτος ὁ ὕμνος. 327. ὁ ξηραίνων τοὺς βροτούς. 328. ἡ διαπαὶξ τιμωρουμένη. 330. αὐτοφονίαις. 331. τούτοις ἡμᾶς ἀκολουθεῖν, ἕως ἀποθάνῃ ὁ τοιοῦτος. 332. λείπει γίνεται ..... ἀλλὰ πάλιν κολάζεται. 333. ἐφύμνιον (ἐφυμνίῳ Dind.) αὐτῷ χρῆται. λέγεται δὲ καὶ μεσόφθεγμα. 339. ἀντὶ τοῦ γέρα. 340. μὴ πλησιάζειν ἡμᾶς τοῖς θεοῖς. 342. οὐδαμοῦ ὅπου ἑορτὴ καὶ ἀμπεχόνη καθαρὰ πάρειμι. 344. ὅταν τις ἐχθρὸς συγγενὴς ὢν τὸν συγγενῆ φονεύσῃ.

---

324. παρα..ορὰ M. φρενοδαλισ, ι in η mutato, M, οἶμαι φρενοδαής m. fort. φρενομανής. 329. θνατῶν Canterus: θανάτων M. 330. τοί νιν — ξυμπατῶσιν Weilius. 333. paragraphus praefixa in M. 335. παράφρονα M. 336. ὕμνοισ M. 340. ἄπ' ἔχειν γέρας Eversius. 341. συνδαίτωρ Turnebus: συνδάτωρ M. 342. paragraphum praefigit M. πανλεύκων M. 343. δωμάτων Ald.: δομάτων M.

τιθασὸς ὢν φίλον ἕλῃ.
ἐπὶ τόν, ὦ, διόμεναι
κρατερὸν ὄνθ' ὁμοίως
μαυροῦμεν ὑφ' αἵματος νέου.
antistr. 2. σπεύδομεν αἶδ' ἀφελεῖν τινὰ τάσδε μερίμνας,
θεῶν δ' ἀτέλειαν ἐμαῖσι λιταῖς ἐπικραίνειν,
μηδ' εἰς ἄγκρισιν ἐλθεῖν·
Ζεὺς γὰρ αἱματοσταγὲς ἀξιόμισον ἔθνος τόδε
ἅς ἀπηξιώσατο, [λέσχας
[ἀνατροπάς, ὅταν Ἄρης
τιθασὸς ὢν φίλον ἕλῃ.
ἐπὶ τόν, ὦ, διόμεναι
κρατερὸν ὄνθ' ὁμοίως
μαυροῦμεν ὑφ' αἵματος νέου.]
str. 3. δόξαι τ' ἀνδρῶν καὶ μάλ' ὑπ' αἰθέρι σεμναὶ
τακόμεναι κατὰ γᾶν μινύθουσιν ἄτιμοι
ἡμετέραις ἐφόδοις μελανείμοσιν ὀρχη-
σμοῖς τ' ἐπιφθόνοις ποδός.
μάλα γὰρ οὖν ἁλομένα
ἀνέκαθεν βαρυπεσῆ
καταφέρω ποδὸς ἀκμάν,
σφαλερὰ τανυδρόμοις
κῶλα, δύσφορον ἄταν.

345. οἰκεῖος, φίλος. 346. διὰ μέσου τὸ ὦ. 348. διὰ τὸ νέον αἷμα. τοῦ νεωστὶ εἰργασμένου ὑπ' αὐτοῦ. 349. τῆς Κλυταιμνήστρας. 350. εὔχομαι τοῖς θεοῖς τελέσαι μου τὸ βούλημα καὶ μὴ εἰς μάχην μοι ἐλθεῖν. 352. τὸ τῶν φονέων. 360. καὶ τοὺς ὑψηλοὺς καθαιροῦμεν. 366. τοῖς τανυδρόμοις αὐτῶν κώλοις ἐπάγουσα τὰ σφαλερά μου κῶλα. ἢ ἀπ' ἄλλης ἀρχῆς, καὶ τοῖς τανυδρόμοις γίνεται σφαλερὰ τὰ κῶλα διὰ τὴν ἐπιοῦσαν αὐτοῖς ἄτην δύσφορον ὑπ' ἐμοῦ. οἷον, καὶ οἱ ταχυδρόμοι οὐ δύνανταί με ἐκφυγεῖν.

---

345. τιθασός c: πίθασος M. φίλον Turnebus: φίλοσ M. 349. σπεύδομεν αἶδ' K: σπευδόμεναι δ' M. τᾶσδε M. 351. εἰς Pauwius: ἐσ M. 352. Ζεὺς αἱμοσταγές Ahrens. 354—58. addidi ephymnium in M neglectum. 362. ἐπιφθόνοις Heathius: ἐπιφόνοισ M. 363. ἁλομένα recc.: ἀλλομένα vel ἀλλωμένα M. 364. ἀνέκαθεν Pearsonus: ἄγκαθεν M.

antistr. 3. πίπτων δ' οὐκ οἶδεν τόδ' ὑπ' ἄφρονι λύμᾳ.
τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσος πεπότηται,
καὶ δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος αὐδᾶται πολύστονος φάτις.
[μάλα γὰρ οὖν ἁλομένα
ἀνέκαθεν βαρυπεσῇ
καταφέρω ποδὸς ἀκμάν,
σφαλερὰ τανυδρόμοις
κῶλα, δύσφορον ἄταν.]
str. 4. μένει γάρ. εὐμήχανοι
δὲ καὶ τέλειοι κακῶν
τε μνήμονες, σεμναὶ
καὶ δυσπαρήγοροι βροτοῖς,
ἄτιμ' ἀτίεται διόμεναι
λάχη θεῶν διχοστατοῦντ' ἀνηλίῳ
λάμπᾳ, δυσοδοπαίπαλα δερκομένοισι
καὶ δυσομμάτοις ὁμῶς.
antistr. 4. τίς οὖν τάδ' οὐχ ἅζεταί
τε καὶ δέδοικεν βροτῶν,
ἐμοῦ κλύων θεσμὸν
τὸν μοιρόκραντον ἐκ θεῶν
δοθέντα τέλεον; ἔπι δέ μοι
γέρας παλαιόν, οὐδ' ἀτιμίας

368. περιφρονῶν (παραφρονῶν Steph.) γὰρ οὐκ αἰσθάνεται τοῦ κακοῦ. 369. σκότος φρενῶν. λείπειν φασὶ διά, δὲ (l. διὰ) μύσος. οὐκ ἔστι δέ· αὐτὸ γὰρ τὸ μύσος κνέφας εἴρηκεν. 371. κακὴ δὲ φήμη περὶ τοῦ οἴκου αὐτοῦ λέγεται. 377. λείπει τὸ ἐσμέν. ἡμεῖς γὰρ εὐμήχανοί ἐσμεν, ἐπιτελεστικαὶ καὶ τῶν κακῶν μνήμονες. 380. οὐ ταχέως παρηγορούμεναι ὑπὸ βροτῶν. 382. ἀφωρισμένα τῶν θεῶν τῷ προσόντι αὐτοῖς σκότει. μεταιρόμεναι λάχη, ὑπὲρ ὧν οὐ τιμώμεθα ὑπὸ θεῶν. 383. δυσπαράβατα καὶ τραχέα ζῶσι καὶ τοῖς θνήσκουσιν. 388. τὸν ὑπὸ Μοιρῶν καὶ θεῶν τετελεσμένον. 389. ἔπεστι.

369. τοῖον Heathius: τοῖον γὰρ M. 372—76. ephymnium in M omissum iteravi. 381. fort. ἄτιμα τίετε. 382. 83. ταναηλίῳ λαμπαι δυσοδοπαίπαλα omissa primum postea addidit *m* (sec. Merkelium). 385. οὐχ ἅζεται Turnebus: οὐχάζεται M. 389—90. ἔτι δέ μοι μένει γέρας Hermannus.

κύρω, καίπερ ὑπὸ χθόνα τάξιν ἔχουσα
καὶ δυσήλιον κνέφας.

ΑΘ. πρόσωθεν ἐξήκουσα κληδόνος βοὴν
ἀπὸ Σκαμάνδρου γῆν καταφθατουμένη,
ἣν δῆτ' Ἀχαιῶν ἄκτορές τε καὶ πρόμοι,
τῶν αἰχμαλώτων χρημάτων λάχος μέγα,
ἔνειμαν αὐτόπρεμνον εἰς τὸ πᾶν ἐμοί,
ἐξαίρετον δώρημα Θησέως τόκοις·
ἔνθεν διώκουσ' ἦλθον ἄτρυτον πόδα,
πτερῶν ἄτερ ῥοιβδοῦσα κόλπον αἰγίδος,
πώλοις ἀκμαίοις τόνδ' ἐπιζεύξασ' ὄχον.
καινὴν δ' ὁρῶσα τήνδ' ὁμιλίαν χθονὸς
ταρβῶ μὲν οὐδέν, θαῦμα δ' ὄμμασιν πάρα.
τίνες ποτ' ἐστέ; πᾶσι δ' ἐς κοινὸν λέγω,
βρέτας τε τοὐμὸν τῷδ' ἐφημένῳ ξένῳ,
ὑμᾶς θ' ὁμοίας οὐδενὶ σπαρτῶν γένει,
οὔτ' ἐν θεαῖσι πρὸς θεῶν ὁρωμένας
οὔτ' οὖν βροτείοις ἐμφερεῖς μορφώμασιν.
λέγειν δ' ἄμορφον ὄντα τοὺς πέλας κακῶς
πρόσω δικαίων ἠδ' ἀποστατεῖ θέμις.
ΧΟ. πεύσῃ τὰ πάντα συντόμως, Διὸς κόρη.
ἡμεῖς γάρ ἐσμεν Νυκτὸς αἰανῆ τέκνα.

393. ἐπὶ ὀχήματος ἔρχεται. 394. Μιτυληναῖοι ἐμάχοντο πρὸς Ἀθηναίους περὶ πόλεως Σιγείου. ἔδοξεν οὖν μονομαχίᾳ λῦσαι τὸν πόλεμον. καὶ ὑπὲρ μὲν Μιτυληναίων ἐπολέμει Πιττακός, ὑπὲρ δὲ Ἀθηναίων Φρύνων. ἡττηθέντος δὲ Φρύνωνος διελύθη τὰ τῆς μάχης. ἔοικεν οὖν παρορμᾶν Ἀθηναίους ὁ Αἰσχύλος εἰς τὸ ἀντέχεσθαι πάλιν Σιγείου, λέγων τὴν θεὸν ἐκεῖθεν ἐληλυθέναι. καταφθάνουσα. 400. ὡς ἁρμένῳ χρωμένη τῇ αἰγίδι. 406. καὶ πρὸς ὑμᾶς. τῶν σπειρομένων. 409. ἄμορφος οὖσα οὐ δυνήσῃ με ἐφ' οἷς εἶπον ἀντιψέξαι. 412. σκοτεινά. ἢ θρηνητικά, ἢ αἰάζειν ποιοῦντα.

---

391. *κύρω* Hermannus: *κυρῶ* M. 394. *γῆν καταφθατουμένη* Stanleius: *τὴν καταφθατουμένην* M. 401. *οὐδ' ἐπιζεύξασ'* Weilius. 402. *καινήν* Canterus: *καὶ νῦν* M. 407. *ὁρωμένας* Stanleius: *ὁρωμέναισ* M.

Ἀραὶ δ' ἐν οἴκοις γῆς ὑπαὶ κεκλήμεθα.
ΑΘ. γένος μὲν οἶδα κληδόνας τ' ἐπωνύμους.
ΧΟ. τιμάς γε μὲν δὴ τὰς ἐμὰς πεύσῃ τάχα.
ΑΘ. μάθοιμ' ἄν, εἰ λέγοι τις ἐμφανῆ λόγον.
ΧΟ. βροτοκτονοῦντας ἐκ δόμων ἐλαύνομεν.
ΑΘ. καὶ τῷ κτανόντι ποῦ τὸ τέρμα τῆς φυγῆς;
ΧΟ. ὅπου τὸ χαίρειν μηδαμοῦ νομίζεται.
ΑΘ. ἦ καὶ τοιαύτας τῷδ' ἐπιρροιζεῖς φυγάς;
ΧΟ. φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο.
ΑΘ. ἄλλης ἀνάγκης οὔτινος τρέων κότον;
ΧΟ. ποῦ γὰρ τοσοῦτο κέντρον ὡς μητροκτονεῖν;
ΑΘ. δυοῖν παρόντοιν ἥμισυς λόγου πάρα.
ΧΟ. ἀλλ' ὅρκον οὐ δέξαιτ' ἄν, οὐ δοῦναι θέλει.
ΑΘ. κλύειν δίκαιος μᾶλλον ἢ πρᾶξαι θέλεις.
ΧΟ. πῶς δή; δίδαξον· τῶν σοφῶν γὰρ οὐ πένῃ.
ΑΘ. ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω.
ΧΟ. ἀλλ' ἐξέλεγχε, κρῖνε δ' εὐθεῖαν δίκην.
ΑΘ. ἦ κἀπ' ἐμοὶ τρέποιτ' ἂν αἰτίας τέλος;
ΧΟ. πῶς δ' οὔ; σέβουσαί γ' ἀξίαν τ' ἐπαξίων.
ΑΘ. τί πρὸς τάδ' εἰπεῖν, ὦ ξέν', ἐν μέρει θέλεις;

414. τὰ ἐπώνυμα οἷς καλεῖσθε. 419. ἐν τῷ Ἅιδῃ. 420. ἐπιβοᾷς, ἐπιβάλλεις. 422. ἐν ἐρωτήσει. μὴ ἐξ ἀνάγκης τοῦτο πεποίηκε; 424. ὑμῖν μὲν κατηγορεῖν, ἐκείνῳ δὲ ἀπολογεῖσθαι· μηδὲ δίκην δικάσῃς πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς. σοῦ καὶ Ὀρέστου. 425. μὴ πρότεινε αὐτῷ ὅρκον καὶ διὰ τούτου θέλε νικᾶν. οὕτως, φησί, φανερόν ἐστι τὸ κατ' αὐτὸν ὡς μήτε αὐτὸν δύνασθαι ὀμόσαι ὅτι οὐκ ἔστι τοιοῦτος μήτε θέλειν ὅρκον ἡμᾶς αἰτῆσαι, εἰ δικαίως αὐτὸν κολάζομεν. 426. θέλεις αὐτὸν ἀπολογήσασθαι· ἢ κατηγορεῖς αὐτοῦ ὡς πράξαντος. 428. οὐκ ὀφείλει ὁ ἀδικῶν ὅρκῳ φεύγειν τὴν κατηγορίαν· ἐπιορκήσει γάρ. 431. ἀξίων οὖσαν γονέων.

---

413. *ἀραί* recc.: *ἀρὰ* M. 415—432. personarum vices ita notantur in M, ut 416. 417. 420. 421. 424. 425. 428. 429 paragraphos habeant adscriptas, 415. 419. 423. 427. 431. *εὐ*$^{\mu}$, 418. 422. 426. 430. 432. *ἀ*$^{\vartheta}$ notas. 418. *ποῦ τό* Arnaldus: *τοῦτο* M. *φυγῆς* Scaliger: *σφαγῆσ* M. 420. *ἐπιρροιζεῖς* Scaliger: *ἐπιρροιζεῖ*.. M. 426. *δίκαιος* Dindorfius: *δικαίουσ*$^{\omega\cdot}$ (*ου* in litura) M.

λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς
τὰς σάς, ἔπειτα τόνδ' ἀμνηθοῦ ψόγον·
εἴπερ πεποιθὼς τῇ δίκῃ βρέτας τόδε
ἦσαι φυλάσσων ἑστίας ἁμῆς πέλας
σεμνὸς προσίκτωρ ἐν τρόποις Ἰξίονος.
τούτοις ἀμείβου πᾶσιν εὐμαθές τί μοι.
OP. ἄνασσ' Ἀθάνα, πρῶτον ἐκ τῶν ὑστάτων
τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα.
οὐκ εἰμὶ προστρόπαιος, οὐδ' ἔχει μύσος
πρὸς χειρὶ τῇμῇ τὸ σὸν ἐφεζομένη βρέτας.
τεκμήριον δὲ τῶνδέ σοι λέξω μέγα·
ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος,
ἔστ' ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου
σφαγαὶ καθαιμάξωσι νεοθήλου βοτοῦ.
πάλαι πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα
οἴκοισι καὶ βοτοῖσι καὶ ῥυτοῖς πόροις.
ταύτην μὲν οὕτω φροντίδ' ἐκποδὼν λέγω·
γένος δὲ τοὐμὸν ὡς ἔχει πεύσῃ τάχα.
Ἀργεῖός εἰμι, πατέρα δ' ἱστορεῖς καλῶς,
Ἀγαμέμνον', ἀνδρῶν ναυβατῶν ἁρμόστορα,
ξὺν ᾧ σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν
ἔθηκας. ἔφθιθ' οὗτος οὐ καλῶς, μολὼν
ἐς οἶκον, ἀλλά νιν κελαινόφρων ἐμὴ
μήτηρ κατέκτα, ποικίλοις ἀγρεύμασιν
κρύψασ', ἃ λουτρῶν ἐξεμαρτύρει φόνον.

434. ἀντὶ τοῦ ἔγκλημα. 436. τῷ ναῷ. 437. ὃν τρόπον κἀκεῖνος προσεκάθητο τῷ ναῷ τοῦ Διὸς καθαρισθησόμενος. πρῶτος γὰρ Ἰξίων φόνον ποιήσας ἐκαθαρίσθη ὑπὸ Διός. 438. ἀποκρίνου μοί τι εὔγνωστον. 441. ἐναγής. 444. τὸν φονέα. 448. καὶ εἰς οἶκον εἰσῆλθον, καὶ ὑδάτων μετέλαβον. 449. τὴν τοῦ μύσους. 452. διάκτορα (διατάκτορα Dind.), βασιλέα. 453. διὰ τούτων φιλοποιεῖται τὴν θεόν. 455. δολιόφρων. 456. τῷ πέπλῳ. 457. ἐκήρυττε τὸν διὰ τῆς ἐπιχύσεως

437. ἐν addidit *m* (sec. Merkelium). 441. 42. ἔχων — ἐφεζόμην Wieselerus. 446. καθαιμάξωσι νεοθήλου Turnebus: καθαιμάξουσιν οθήλου M. 448. βατοῖσι Weilius. 454. οὗτος recc.: οὕτως M. 457. κρύψασ', ἃ Musgravius: κρύψασα M.

κἀγὼ κατελθών, τὸν πρὸ τοῦ φεύγων χρόνον,
ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι,
ἀντικτόνοις ποιναῖσι φιλτάτου πατρός.
καὶ τῶνδε κοινῇ Λοξίας ἐπαίτιος,
ἄλγη προφωνῶν ἀντίκεντρα καρδίᾳ,
εἰ μή τι τῶνδ' ἔρξαιμι τοὺς ἐπαιτίους.
σὺ δ', εἰ δικαίως εἴτε μή, κρῖνον δίκην·
πράξας γὰρ ἐν σοὶ πανταχῇ τάδ' αἰνέσω.
ΑΘ. τὸ πρᾶγμα μεῖζον ἤ τις οἴεται τόδε
βροτὸς δικάζειν· οὐδὲ μὴν ἐμοὶ θέμις
φόνου διαιρεῖν ὀξυμηνίτους δίκας.
ἄλλως τε καὶ σὺ μὲν κατηρτυκὼς ὅμως
ἱκέτης προσῆλθες καθαρὸς ἀβλαβὴς δόμοις.
ὅμως δ' ἄμομφον ὄντα σ' αἱροῦμαι πόλει.
αὗται δ' ἔχουσι μοῖραν οὐκ εὐπέμπελον,
καὶ μὴ τυχοῦσαι πράγματος νικηφόρου,
χώρᾳ μεταῦθις ἰὸς ἐκ φρονημάτων
πέδοι πεσὼν ἄφερτος αἰανὴς νόσος.
τοιαῦτα μὲν τάδ' ἐστίν· ἀμφότερα, μένειν
πέμπειν τε, δυσπήματ' ἀμηχάνως ἐμοί.

τῶν λουτρῶν γενόμενον αὐτῷ φόνον. λέγεται γὰρ μετὰ τὸ φονεῦσαι γυμνὸν ἐξαγαγεῖν καὶ δεῖξαι τοῖς πολίταις. 461. πάντων. τοῦτο δὲ πρὸς τὸ ἄλλης ἀνάγκης οὔτινος τρέων κότον (422). 465. τὰ κατὰ τὴν σὴν κρίσιν ἀποβαίνοντα, ὁποῖα ἂν ᾖ, ἐπαινέσω. 466. εἴ τις οἴεται τὸ πρᾶγμα τόδε βροτὸς δικάζειν, μεῖζον ἢ κατὰ ἀνθρώπους οἴεται, ἐμοὶ δὲ περὶ φόνων δικάζειν οὐχ ὅσιον. 468. φόνους ἐφ' οἷς ταχέως μηνίσουσιν Ἐρινύες. 469. τέλειος τὴν ἡλικίαν. τοῦτο δὲ ἀπὸ τῶν ζῴων. 470. διὰ τούτου ἐλπίδας αὐτῷ χρηστὰς ὑποτίθησιν. 471. δέχομαι ἐν τῇ πόλει. 472. εὐπαραίτητον, εὐχερῆ, εὐάρεστον. δυσάρεστοι φύσει εἰσὶν αὗται. 473. ἀντὶ τοῦ τυχουσῶν. 477. πέμπειν αὐτὰς ἀμηνίτως δυσχερές ἐστιν ἐμοί.

461. *μεταίτιος* Weilius. 464. δ' Pearsonus: τ' M. 466. *ἕ τις* Pearsonus: *εἴτις* M. 467. *βροτὸς*, corr. e *βροτοῖς*, M. 468. *φόνου* Robortellus: *φόνους* M. *ὀξυμηνίτους* Pearsonus: *ὀξυμηνίτου* M. 471. *αἰδοῦμαι* Hermannus. 474. *χώρᾳ μεταῦθις* Wellauerus: *χῶραι μετ' αὖθις* M. 475. *πέδοι* Dindorfius: *πέδῳ* M. 477. *τε* Abreschius: *δὲ* M. *δυσπήμαντ'* Scaliger.

ἐπεὶ δὲ πρᾶγμα δεῦρ' ἐπέσκηψεν τόδε,
φόνων δικαστὰς ὁρκίων αἱρουμένους
θεσμόν, τὸν εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον.
ὑμεῖς δὲ μαρτύριά τε καὶ τεκμήρια
καλεῖσθ' ἀρωγὰ τῆς δίκης ὁρκώματα.
κρίνασα δ' ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα
ἥξω διαιρεῖν τοῦτο πρᾶγμ' ἐτητύμως,
ὅρκον περῶντας μηδὲν ἔκδικον φρεσίν.

str. 1. *XO.* νῦν καταστροφαὶ νέων
θεσμίων, εἰ κρατή-
σει δίκα καὶ βλάβα
τοῦδε μητροκτόνου.
πάντας ἤδη τόδ' ἔργον εὐχερεί-
ᾳ συναρμόσει βροτούς.
πολλὰ δ' ἔτυμα παιδότρωτα
πάθεα προσμένει τοκεῦ-
σιν μεταῦθις ἐν χρόνῳ.

antistr. 1. οὔτε γὰρ βροτοσκόπων
μαινάδων τῶνδ' ἐφέρ-
ψει κότος τις ἐργμάτων·
πάντ' ἐφήσω μόρον.
πεύσεται δ' ἄλλος ἄλλοθεν, προφω-

478. ὡς σκηπτὸς ἐπῆλθεν. 479. οἷον ἐνόρκους δικαστάς. 480. διετέλεσε γὰρ τὸ Ἀρειοπαγιτικὸν συνέδριον. 481. ὑμεῖς δὲ ὅρκους αὐτοὺς αἰτήσατε. 483. βέλτιστα. 485. ὅρκον διδόντας. 486. ἡ μὲν Ἀθηνᾶ ἀπῆλθεν εὐτρεπίσαι δικαστάς, ὁ δὲ Ὀρέστης ἱκετεύων μένει, αἱ δὲ Ἐρινύες φρουροῦσιν αὐτόν. μέλος δὲ οἰκεῖον ᾄδουσι τῇ ἑαυτῶν προαιρέσει. 490. τὸ μητροκτονεῖν. 495. τῶν τοὺς βροτοὺς σκοπούντων. 496. ἡμῶν δηλονότι. 498. πάντ' ἐφήσω μόρον: οὐκέτι τινὰ μὲν ἔννομον ἡγήσομαι μόρον, τινὰ δὲ οὔ, ἀλλὰ πάντα ἐφήσω μόρον, ὅπως τις βούλεται ἀναιρεῖν. οὐ τιμωρήσω τοῖς ἀδικουμένοις, ἀλλὰ συγχωρήσω ἀλλήλους ἀναιρεῖν. 499. πεύσεται δ' ἄλλος: ἀεὶ τὰ ἀλλήλων ἀκούσονται, καὶ οὐ γίνεται κακῶν ἀνάπαυσις.

post 478. orationis hiatum notavit Weilius. 488. *τε καί* Heathius. 490. *εὐχερείᾳ* Turnebus: *εὐχερίαι* M. 493. *προσνεμεῖ* Weilius. 495. *οὐδέ* Elmsleius, *οὔτι* Weilius. 497. *τιν'* Weilius.

νῶν τὰ τῶν πέλας κακά,
λῆξιν ὑπόδοσίν τε μόχθων·
ἄκεά τ᾽ οὐ βέβαια τλά-
μων μάταν παρηγορεῖ.
str. 2. μηδέ τις κικλησκέτω
ξυμφορᾷ τετυμμένος,
τοῦτ᾽ ἔπος θροούμενος·
ὦ δίκα, ὦ θρόνοι τ᾽ Ἐρινύων.
ταῦτά τις τάχ᾽ ἂν πατὴρ
ἢ τεκοῦσα νεοπαθὴς
οἶκτον οἰκτίσαιτ᾽, ἐπει-
δὴ πίτνει δόμος δίκας.
antistr. 2. ἔσθ᾽ ὅπου τὸ δεινὸν εὖ,
καὶ φρενῶν ἐπίσκοπον
δεῖ μένειν καθήμενον.
ξυμφέρει σωφρονεῖν ὑπὸ στένει.
τίς δὲ μηδὲν ἐν φάει
καρδίαν ἀνατρέφων
ἢ πόλις βροτός θ᾽ ὁμοί-
ως ἔτ᾽ ἂν σέβοι δίκαν;
str. 3. μήτ᾽ ἄναρχτον βίον
μήτε δεσποτούμενον

501. διαδοχήν. 503. παθὼν δέ τις μάτην ἑαυτὸν παραμυθεῖται τῇ εἰς ἡμᾶς ἐλπίδι. ἥ, ἕκαστος δὲ τῶν φονέων παρηγορηθήσεται. τλήμων γὰρ ὁ ἀναιδής· ἡ δ᾽ ὧδε τλήμων (Sophocl. Electr. 275). 504. ἡμᾶς δηλονότι. 506. θροῶν. 508. ταῦτα: ἀναιρούμενος πατὴρ ἢ μήτηρ ὑπὸ παιδός. 511. ἐπειδὴ παρόλωλε (ἐπειδήπερ ὄλωλε Vict.) τὸ δίκαιον. 512. οὐ πανταχῇ τὸ δεινὸν ἀπεῖναι φρενῶν δεῖ. 515. ὥστε καθήμενον ὑπὸ στένει σωφρονεῖν. ὡς εἰ ἔλεγεν ὑπὸ τῷ δέει. ἔστι δὲ ἀπ᾽ εὐθείας τῆς τὸ στένος. 516. λαμπρότητι, ὀρθότητι φρενῶν. 521. ἀλλὰ τῶν (τὸν Dind.) ἠρέμα τούτων ἐφαπτόμενον· παρόσον οἱ μὲν παντάπασι τυραννούμενοι κακῶς βιοῦσιν, οἱ δὲ ἄναρχοι πονηρῶς.

502. ἄκεά τ᾽ Schuetzius: ἄκετ᾽ M. 503. τλάμων Pauwius et Fritzschius: τλάμων δέ τις M. 507. ὦ — ὦ Pauwius: ἰὼ — ἰὼ M. 514. δεῖ μένειν anonymus Dobraei: δειμαίνει M. 519. σέβοι M. 520. ἀνάρχετον Wieselerus. 521. δεσποτουμένων Heimsoethius.

αἰνέσῃς.
παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασεν, ἄλλ' ἄλλᾳ δ' ἐφορεύει.
ξύμμετρον δ' ἔπος λέγω,
δυσσεβίας μὲν ὕβρις τέκος ὡς ἐτύμως·
ἐκ δ' ὑγιείας
φρενῶν ὁ πᾶσι φίλος
καὶ πολύευκτος ὄλβος.
antistr. 3. ἐς τὸ πᾶν δέ σοι λέγω,
βωμὸν αἴδεσαι δίκας·
μηδέ νιν
κέρδος ἰδὼν ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς· ποιναὶ γὰρ ἑπέσται.
κύριον μένει τέλος.
πρὸς τάδε τις τοκέων σέβας εὖ προτίων
καὶ ξενοτίμους
δωμάτων ἐπιστροφὰς
αἰδόμενός τις ἔστω.
str. 4. ἑκὼν δ' ἀνάγκας ἄτερ δίκαιος ὢν
οὐκ ἄνολβος ἔσται·
πανώλεθρος [δ'] οὔποτ' ἂν γένοιτο.
τὸν ἀντίτολμον δὲ φαμὶ περαιβάδαν
τὰ πολλὰ παντόφυρτ' ἄνευ δίκης
βιαίως ξὺν χρόνῳ καθήσειν

523. ἄλλα ἄλλως ἐφορᾷ ὁ θεός. ἔσθ' ὅπη δέους. 525. σύντομον. 526. ὕβριν γεννῶσα. οἱ γὰρ ἀρξάμενοι τοῦ θείου καταφρονεῖν ὑβρίζουσι τοὺς ἀνθρώπους. 527. ἐκ δ' ὑγιείας φρενῶν: ἐκ τοῦ ὀρθὰς ἔχειν φρένας. νόσον δὲ φρενῶν τὴν δυσσέβειάν φησιν, ὑγίειαν δ' ἐξ ἧς ἂν εἴη τιμή· ἐξ ἐκείνης δὲ ὕβρις. 530. καθολικῶς λέγω τὸ ἐπιφερόμενον. 532. τὴν δίκην. 540. ὁ χωρὶς ἀνάγκης δίκαιος ὤν. 543. τὸν τὰ ἐναντία τοῖς εἰρημένοις τολμῶντα. ἀντὶ τοῦ τὸν ἄδικον. παραβεβηκότα. 544. πάντοθεν συνηγμένα. 545. ἀπὸ τῶν χειμαζομένων, τροπικῶς. ἀντὶ τοῦ ταπεινωθήσεται.

523. *παντί* Pauwius: ἅπαντι M. 523. 24. ἄλλ' ἄλλᾳ Wellauerus, δ' recc.: ἄλλα ἄλλαι δι' M. 526. *δυσσεβίας* Porsonus: *δυσσεβείασ* M. 538. *ἐπιστροφὰς δωμάτων* Heathius. 540. *ἑκὼν δ'* Wieselerus: *ἑκ τῶνδ'* M. 542. δ' addidit Pauwius.

λαῖφος ὅταν λάβῃ πόνος
θρανομένας κεραίας.
antistr. 4. καλεῖ δ' ἀκούοντας οὐδὲν [ἐν] μέσᾳ
δυσπαλεῖ τε δίνᾳ·
γελᾷ δὲ δαίμων ἐπ' ἀνδρὶ θερμῷ,
τὸν οὔποτ' αὐχοῦντ' ἰδὼν ἀμηχάνοις
δύαις λαπαδνὸν οὐδ' ὑπερθέοντ' ἄκραν·
δι' αἰῶνος δὲ τὸν πρὶν ὄλβον
ἕρματι προσβαλὼν δίκας
ὤλετ' ἄκλαυστος, ᾧστος.

ΑΘ. κήρυσσε, κῆρυξ, καὶ στρατὸν κατειργαθοῦ,
ἥ τ' οὖν διάτορος Τυρσηνικὴ
σάλπιγξ, βροτείου πνεύματος πληρουμένη,
ὑπέρτονον γήρυμα φαινέτω στρατῷ.
πληρουμένου γὰρ τοῦδε βουλευτηρίου
σιγᾶν ἀρήγει καὶ μαθεῖν θεσμοὺς ἐμοὺς
πόλιν τε πᾶσαν εἰς τὸν αἰανῆ χρόνον
καὶ τόνδ', ὅπως ἂν εὖ καταγνωσθῇ δίκη.

546. ἀτυχία. 548. τοὺς θεούς. 550. γελᾷ, φησίν, ὁ δαίμων ἐπὶ τῷ ἀδίκως πάσχοντι, τὸν μηδέποτε προσδοκήσαντα τιμωρεῖσθαι ἰδὼν ἐν μέσῃ τῇ δύῃ ὑπεζευγμένον καὶ χαλινωθέντα. τοῦτο γὰρ δηλοῖ τὸ λέπαδνον. 553. τὸν πολυχρόνιον δὲ ὄλβον ἑαυτοῦ προσκρούσας τῷ βραχεῖ (βράχει Weil.) τῆς δίκης ὤλετο. 556. κληρώσασα Ἀθηνᾶ τοὺς ἀρίστους ἄγει δικάσοντας. καθισάντων δὲ αὐτῶν ἐν μέσῳ στᾶσα κελεύει διὰ τῆς σάλπιγγος καὶ τοῦ κήρυκος σιωπὴν γενέσθαι, ὡς μὴ ἀρκοῦντος μόνου τοῦ κήρυκος. ὅρα δὲ πῶς τὰ νέων ἔθη ἀναχρονίζει. ἃ γὰρ νῦν γίνεται, ταῦτα τὴν Ἀθηνᾶν εἰσήγαγε λέγουσαν. ἐχρῶντο γὰρ τῇ σάλπιγγι ἀνείργειν τὸ πλῆθος θέλοντες. κάτεχε, κώλυε. 561. συμφέρει. 562. διηνεκῆ· παρὰ τὸ αἰεί. 563. τῶν Ἀρειοπαγιτῶν. ἐν περιχωρήματι (παραχορηγήματι Dind.) αὐτῷ εἰσιν οἱ Ἀρεοπαγῖται μηδαμοῦ διαλεγόμενοι.

548. ἐν addidit Abreschius. 549. δυσπαλεῖ τε Turnebus: δυσπαλεῖται M. 550. θερμῷ Triclinius: θερμοεργῶι M. 552. λαπαδνόν Musgravius: λέπαδνον M. 555. ἄϊστος M. 556. κατειργαθοῦ Porsonus: κατεργάθου M. 557. 'εἰτ' M. 563. τῶνδ' schol. et recc. δίκη recc.: δίκηι M.

ΧΟ. ἄναξ Ἄπολλον, ὧν ἔχεις αὐτὸς κράτει.
τί τοῦδε σοὶ μέτεστι πράγματος λέγε.
ΑΠ. καὶ μαρτυρήσων ἦλθον· ἔστι γὰρ δόμων
ἱκέτης ὅδ' ἀνὴρ καὶ δόμων ἐφέστιος
ἐμῶν, φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος·
καὶ ξυνδικήσων αὐτός· αἰτίαν δ' ἔχω
τῆς τοῦδε μητρὸς τοῦ φόνου. σὺ δ' εἴσαγε
ὅπως [τ'] ἐπίστᾳ τήνδε κύρωσον δίκην.
ΑΘ. ὑμῶν ὁ μῦθος, εἰσάγω δὲ τὴν δίκην·
ὁ γὰρ διώκων πρότερος ἐξ ἀρχῆς λέγων
γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος.
ΧΟ. πολλαὶ μέν ἐσμεν, λέξομεν δὲ συντόμως.
ἔπος δ' ἀμείβου πρὸς ἔπος ἐν μέρει τιθείς.
τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας.
ΟΡ. ἔκτεινα· τούτου δ' οὔτις ἄρνησις πέλει.
ΧΟ. ἓν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων.
ΟΡ. οὐ κειμένῳ πω τόνδε κομπάζεις λόγον.
ΧΟ. εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες.

564. ὧν ἐκληρώθης, δηλονότι μαντειῶν. παραφανέντος δ' Ἀπόλλωνος ταῦτά φησιν. 566. ὅτι οὐκ ἔστιν ἐναγής· ἐκάθηρα γὰρ αὐτόν. 569. σύνδικοι λέγονται οἷς ἴσον μέτεστιν ἐν τῇ δίκῃ τῆς αἰτίας. 572. τῶν Ἐρινύων. ὅρα τὸ δικαστήριον. 573. ὁ κατηγορῶν. 575. τοῦτο οὐ πρὸς τὰς τρεῖς, ἀλλὰ πρὸς τὸν χορόν· ιε' γὰρ ἦσαν. 576. ῥητορικῶς πυνθάνονται. εἰ μὲν ὁμολογοίη, ὑπεύθυνος ἔσται· εἰ δὲ ἀρνοῖτο, ἐλεγχθήσεται. καὶ Ἀχιλλεὺς πρὸς τοὺς πρέσβεις· τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας Ἀτρείδης; διὰ γυναῖκα (Hom. Il. *I.* 338 seq.). 579. ἐμπέπτωκας (ἐν πέπτωκας Weil.). ἡ μεταφορὰ δέ ἐστιν ἀπὸ τῶν παλαιόντων, οἳ ἐπὶ τοῖς τρισὶ πτώμασιν ὁρίζουσι τὴν ἧτταν.

---

566. δημων, corr. in δόμων, M. νόμῳ Erfurdtius. 567. ἀνὴρ M. ἐφέστιωσ M. 570. τοῦ φόνου Turnebus: τοῦδε φόνου M. 571. τ' addidit Hermannus. 575. εὐ$^{\mu}$ praescriptum in M. 579—599. sic notat M, ut 579. 583—586. 589. 590. 593. 594. 597. paragraphos habeant additas, εὐ$^{\mu}$ adscriptum sit 581. 587. 591. 595, ὀρ$^{\epsilon}$. 582. 588. 592. 596. 599., omni notatione careat 580.

OP. λέγω· ξιφουλκῷ χειρὶ πρὸς δέρην τεμών.
XO. πρὸς τοῦ δ' ἐπείσθης καὶ τίνος βουλεύμασιν;
OP. τοῖς τοῦδε θεσφάτοισι· μαρτυρεῖ δέ μοι.
XO. ὁ μάντις ἐξηγεῖτό σοι μητροκτονεῖν;
OP. καὶ δεῦρό γ' ἀεὶ τὴν τύχην οὐ μέμφομαι.
XO. ἀλλ' εἴ σε μάρψει ψῆφος, ἄλλ' ἐρεῖς τάχα.
OP. πέποιθ', ἀρωγὰς δ' ἐκ τάφου πέμψει πατήρ.
XO. νεκροῖσί νυν πέπισθι μητέρα κτανών.
OP. δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτοιν.
XO. πῶς δή; δίδαξον τοὺς δικάζοντας τάδε.
OP. ἀνδροκτονοῦσα πατέρ' ἐμὸν κατέκτανεν.
XO. τοιγὰρ σὺ μὲν ζῇς, ἡ δ' ἐλευθέρα φόνῳ.
OP. τί δ' οὐκ ἐκείνην ζῶσαν ἤλαυνες φυγῇ;
XO. οὐκ ἦν ὅμαιμος φωτὸς ὃν κατέκτανεν.
OP. ἐγὼ δὲ μητρὸς τῆς ἐμῆς ἐν αἵματι;
XO. πῶς γάρ σ' ἔθρεψεν ἐντός, ὦ μιαιφόνε,
ζώνης; ἀπεύχῃ μητρὸς αἷμα φίλτατον;
OP. ἤδη σὺ μαρτύρησον. ἐξηγοῦ δέ μοι,

582. πλανᾶται. αἱ μὲν γὰρ τὴν αἰτίαν τοῦ φόνου πυνθάνονται, ὁ δὲ πρὸς τὸ πῶς, ξίφει, φησίν· ὡς τὸ μὴ δι' ἐμὴν ἰότητα (Hom. Il. *O.* 41). 586. τὸ ἀεὶ ἐπὶ τοῦ ἕως τάττουσιν Ἀττικοὶ πολλάκις. δεῦρο μέν μοι τόνδ' αἰεὶ τεῖνον λόγον. ἕως δεῦρο. τὴν πρᾶξιν. 587. ἀντὶ τοῦ ἴσως. 588. ὡς ὑμῖν ἔπεμψεν ἡ μήτηρ, οὕτω βοηθοὺς κἀμοὶ πέμψει ὁ πατήρ. 590. συντυχίας. 591. πανούργως φησί, μὴ ἡμᾶς δίδασκε, ἀλλὰ τοὺς δικαστάς. 592. ἐμὲ κἀκεῖνον ἠδίκησεν. 593. πῶς οὖν λέγεις ὅτι ἠδίκησέ με; πῶς δὲ Ἀγαμέμνονα, ὅπου ἀπέθανε δι' αὐτήν (αὐτόν Weil.); 594. οὐκ, εἰ τέθνηκας (τέθνηκεν Steph.), τούτου αἰτία εἶ σύ; πῶς ἂν ἐδίωκες (l. τί γὰρ οὐ ζῶσαν ἐδίωκες); ὥστε οὐδὲ ἀποθανοῦσα διὰ τὴν σὴν αἰτίαν ἀπέθανεν. 596. ἐγὼ οὖν ὅμαιμός εἰμι τῇ μητρί. 598. ἀπαρνῇ. 599. ὡς ἀπορῶν τῆς ἀποκρίσεως. ἐπεὶ γὰρ ἦλθεν εἰς τὴν διάκρισιν τοῦ δικαίως ἢ μὴ ἀνῃρηκέναι τὴν μητέρα, ἐπὶ τὸν συμβουλεύσαντα θεὸν καταφεύγει. τραγικὸν οὖν καὶ πρέπον, ὁμοειδές τε τὸ πάντα λέγειν.

---

588. πέμψει Scaliger: πέμπει M. 589. πέπεισθε M. 590. δοιοῖν, mut. in δυοῖν, M. μιασμάτοιν Elmsleius: μιασμάτων M. 593. τί γάρ Hermannus. φόνῳ Schuetzius: φόνου M.

λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς
τὰς σάς, ἔπειτα τόνδ' ἀμυναθοῦ ψόγον·
εἴπερ πεποιθὼς τῇ δίκῃ βρέτας τόδε
ἦσαι φυλάσσων ἑστίας ἀμῆς πέλας
σεμνὸς προσίκτωρ ἐν τρόποις Ἰξίονος.
τούτοις ἀμείβου πᾶσιν εὐμαθές τί μοι.
OP. ἄνασσ' Ἀθάνα, πρῶτον ἐκ τῶν ὑστάτων
τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα.
οὐκ εἰμὶ προστρόπαιος, οὐδ' ἔχει μύσος
πρὸς χειρὶ τῇμῇ τὸ σὸν ἐφεζομένη βρέτας.
τεκμήριον δὲ τῶνδέ σοι λέξω μέγα·
ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος,
ἔστ' ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου
σφαγαὶ καθαιμάξωσι νεοθήλου βοτοῦ.
πάλαι πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα
οἴκοισι καὶ βοτοῖσι καὶ ῥυτοῖς πόροις.
ταύτην μὲν οὕτω φροντίδ' ἐκποδὼν λέγω·
γένος δὲ τοὐμὸν ὡς ἔχει πεύσῃ τάχα.
Ἀργεῖός εἰμι, πατέρα δ' ἱστορεῖς καλῶς,
Ἀγαμέμνον', ἀνδρῶν ναυβατῶν ἁρμόστορα,
ξὺν ᾧ σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν
ἔθηκας. ἔφθιθ' οὗτος οὐ καλῶς, μολὼν
ἐς οἶκον, ἀλλά νιν κελαινόφρων ἐμὴ
μήτηρ κατέκτα, ποικίλοις ἀγρεύμασιν
κρύψασ', ἃ λουτρῶν ἐξεμαρτύρει φόνον.

434. ἀντὶ τοῦ ἔγκλημα. 436. τῷ ναῷ. 437. ὃν τρόπον κἀκεῖνος προσεκάθητο τῷ ναῷ τοῦ Διὸς καθαρισθησόμενος. πρῶτος γὰρ Ἰξίων φόνον ποιήσας ἐκαθαρίσθη ὑπὸ Διός. 438. ἀποκρίνου μοί τι εὔγνωστον. 441. ἐναγής. 444. τὸν φονέα. 448. καὶ εἰς οἶκον εἰσῆλθον, καὶ ὑδάτων μετέλαβον. 449. τὴν τοῦ μύσους. 452. διάκτορα (διατάκτορα Dind.), βασιλέα. 453. διὰ τούτων φιλοποιεῖται τὴν θεόν. 455. δολιόφρων. 456. τῷ πέπλῳ. 457. ἐκήρυττε τὸν διὰ τῆς ἐπιχύσεως

437. *ἐν* addidit *m* (sec. Merkelium). 441. 42. *ἔχων — ἐφεζόμην* Wieselerus. 446. *καθαιμάξωσι νεοθήλου* Turnebus: *καθαιμάξουσιν οθήλου* M. 448. *βατοῖσι* Weilius. 454. *οὗτος* recc.: *οὕτωσ* M. 457. *κρύψασ', ἃ* Musgravius: *κρύψασα* M.

κἀγὼ κατελθών, τὸν πρὸ τοῦ φεύγων χρόνον,
ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι,
ἀντικτόνοις ποιναῖσι φιλτάτου πατρός.
καὶ τῶνδε κοινῇ Λοξίας ἐπαίτιος,
ἄλγη προφωνῶν ἀντίκεντρα καρδίᾳ,
εἰ μή τι τῶνδ' ἔρξαιμι τοὺς ἐπαιτίους.
σὺ δ', εἰ δικαίως εἴτε μή, κρῖνον δίκην·
πράξας γὰρ ἐν σοὶ πανταχῇ τάδ' αἰνέσω.
ΑΘ. τὸ πρᾶγμα μεῖζον ἤ τις οἴεται τόδε
βροτὸς δικάζειν· οὐδὲ μὴν ἐμοὶ θέμις
φόνου διαιρεῖν ὀξυμηνίτους δίκας.
ἄλλως τε καὶ σὺ μὲν κατηρτυκὼς ὅμως
ἱκέτης προσῆλθες καθαρὸς ἀβλαβὴς δόμοις.
ὅμως δ' ἄμομφον ὄντα σ' αἱροῦμαι πόλει.
αὗται δ' ἔχουσι μοῖραν οὐκ εὐπέμπελον,
καὶ μὴ τυχοῦσαι πράγματος νικηφόρου,
χώρᾳ μεταῦθις ἰὸς ἐκ φρονημάτων
πέδοι πεσὼν ἄφερτος αἰανὴς νόσος.
τοιαῦτα μὲν τάδ' ἐστίν· ἀμφότερα, μένειν
πέμπειν τε, δυσπήματ' ἀμηχάνως ἐμοί.

τῶν λουτρῶν γενόμενον αὐτῷ φόνον. λέγεται γὰρ μετὰ τὸ φονεῦσαι γυμνὸν ἐξαγαγεῖν καὶ δεῖξαι τοῖς πολίταις. 461. πάντων. τοῦτο δὲ πρὸς τὸ ἄλλης ἀνάγκης οὔτινος τρέων κότον (422). 465. τὰ κατὰ τὴν σὴν κρίσιν ἀποβαίνοντα, ὁποῖα ἂν ᾖ, ἐπαινέσω. 466. εἴ τις οἴεται τὸ πρᾶγμα τόδε βροτὸς δικάζειν, μεῖζον ἢ κατὰ ἀνθρώπους οἴεται, ἐμοὶ δὲ περὶ φόνων δικάζειν οὐχ ὅσιον. 468. φόνους ἐφ' οἷς ταχέως μηνίσουσιν Ἐρινύες. 469. τέλειος τὴν ἡλικίαν. τοῦτο δὲ ἀπὸ τῶν ζῴων. 470. διὰ τούτου ἐλπίδας αὐτῷ χρηστὰς ὑποτίθησιν. 471. δέχομαι ἐν τῇ πόλει. 472. εὐπαραίτητον, εὐχερῆ, εὐάρεστον. δυσάρεστοι φύσει εἰσὶν αὗται. 473. ἀντὶ τοῦ τυχουσῶν. 477. πέμπειν αὐτὰς ἀμηνίτως δυσχερές ἐστιν ἐμοί.

---

461. *μεταίτιος* Weilius. 464. *δ'* Pearsonus: *τ'* M. 466. *ἔ τις* Pearsonus: *εἴτισ* M. 467. *βροτὸσ*, corr. e *βροτοῖσ*, M. 468. *φόνου* Robortellus: *φόνουσ* M. *ὀξυμηνίτουσ* Pearsonus: *ὀξυμηνίτου* M. 471. *αἰδοῦμαι* Hermannus. 474. *χώρᾳ μεταῦθις* Wellauerus: *χῶραι μετ' αὖθισ* M. 475. *πέδοι* Dindorfius: *πέδω* M. 477. *τε* Abreschius: *δὲ* M. *δυσπήματ'* Scaliger.

τοκεύς, τροφὸς δὲ κύματος νεοσπόρου·
τίκτει δ' ὁ θρῴσκων, ἣ δ' ἄπερ ξένῳ ξένη
ἔσωσεν ἔρνος, οἷσι μὴ βλάψῃ θεός.
τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου.
πατὴρ μὲν ἂν γένοιτ' ἄνευ μητρὸς· πέλας
μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διός,
οὐδ' ἐν σκότοισι νηδύος τεθραμμένη,
ἀλλ' οἷον ἔρνος οὔτις ἂν τέκοι θεός.
ἐγὼ δέ, Παλλάς, τἄλλα θ' ὡς ἐπίσταμαι
τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν,
καὶ τόνδ' ἔπεμψα σῶν δόμων ἐφέστιον,
ὅπως γένοιτο πιστὸς εἰς τὸ πᾶν χρόνου,
καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεά,
καὶ τοὺς ἔπειτα, καὶ τάδ' αἰανῶς μένοι
στέργειν τὰ πιστὰ τῶνδε τοὺς ἐπισπόρους.

ΑΘ. ἤδη κελεύω τούσδ' ἀπὸ γνώμης φέρειν
ψῆφον δικαίαν, ὡς ἅλις λελεγμένων;

ΧΟ. ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος·
μένω δ' ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται.

ΑΘ. τί γάρ; πρὸς ὑμῶν πῶς τιθεῖσ' ἄμομφος ὦ;

ΑΠ. ἠκούσαθ' ὧν ἠκούσατ', ἐν δὲ καρδίᾳ
ψῆφον φέροντες ὅρκον αἰδεῖσθε, ξένοι.

ΑΘ. κλύοιτ' ἂν ἤδη θεσμόν, Ἀττικὸς λεώς,
πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ.
ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγέως στρατῷ
αἰεὶ δ' ἑκάστων τοῦτο βουλευτήριον
πάγον δ' Ἄρειον τόνδ' Ἀμαζόνων ἕδραν

649. κυήματος. 650. ὁ σπερμαίνων. ὡς παρακατάθήκην. 653. γεννήσειεν. 657. ὦ Παλλάς. ὅσον δύναμαι. 662. δι' αἰῶνος. 663. ἀπογόνους. 664. ὃ δοκιμάζεται. 668. τί τιθεῖσα μέμψιν παρ' ὑμῶν οὐχ ὑπομενῶ;

650. θρῴσκων M. 653. πατὴρ γὰρ ἄν Meinekius. 663. τὰ πιστά recc.: τ' ἄπιστα M. 668. excidit post hunc alter Minervae versiculus. 669. chori nota praefixa in M. 670. αἰδεῖσθαι M. 671—700. ab hoc loco alieni et post 563. me iudice reponendi. 673. Αἰγέως recc.: αἰγέωι M. 674. leg. ἀσυνδέκαστον. 675. 676. leg. πάγου 'ξ Ἀρείου τοῦδ', Ἀμαζόνων ἕδρας | σκηναῖς, ὅτ' cett.

σκηνάς θ', ὅτ' ἦλθον Θησέως κατὰ φθόνον
στρατηλατοῦσαι, καὶ πόλιν νεόπτολιν
τήνδ' ὑψίπυργον ἀντεπύργωσαν τότε,
Ἄρει δ' ἔθυον, ἔνθεν ἔστ' ἐπώνυμος
πέτρα πάγος τ' Ἄρειος. ἐν δὲ τῷ σέβας
ἀστῶν, φόβος τε συγγενὴς τὸ μὴ ἀδικεῖν
σχήσει τόδ' ἦμαρ καὶ κατ' εὐφρόνην ὁμῶς,
αὐτῶν πολιτῶν μὴ πικαινόντων νόμους.
κακαῖς ἐπιρροαῖσι βορβόρῳ θ' ὕδωρ
λαμπρὸν μιαίνων οὔποθ' εὑρήσεις ποτόν.
τὸ μήτ' ἄναρχον μήτε δεσποτούμενον
ἀστοῖς περιστέλλουσι βουλεύω σέβειν,
καὶ μὴ τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν.
τίς γὰρ δεδοικὼς μηδὲν ἔνδικος βροτῶν;
τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας,
ἔρυμά τε χώρας καὶ πόλεως σωτήριον
ἔχοιτ' ἂν οἷον οὔτις ἀνθρώπων ἔχει
οὔτ' ἐν Σκύθησιν οὔτε Πέλοπος ἐν τόποις.
κερδῶν ἄθικτον τοῦτο βουλευτήριον,
αἰδοῖον, ὀξύθυμον, εὐδόντων ὕπερ
ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι.
ταύτην μὲν ἐξέτειν' ἐμοῖς παραίνεσιν
ἀστοῖσιν εἰς τὸ λοιπόν. ὀρθοῦσθαι δὲ χρὴ
καὶ ψῆφον αἴρειν, καὶ διαγνῶναι δίκην
αἰδουμένους τὸν ὅρκον. εἴρηται λόγος.

ΧΟ. καὶ μὴν βαρεῖαν τήνδ' ὁμιλίαν χθονὸς
ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι.

ΑΠ. κἄγωγε χρησμοὺς τοὺς ἐμούς τε καὶ Διὸς

676. μῆνιν. 677. τὸν Ἄρειον πάγον· ἐν αὐτῷ γὰρ ἐστρατοπέδευσαν. ὅτι πρώτη ἐπὶ Ὀρέστῃ γέγονε δίκη ἐν τῷ Ἀρείῳ πάγῳ. ὅθεν Ἄρειος πάγος ἐκλήθη. 680. ὁ δὲ ἀντὶ τοῦ γάρ. 687. συμβουλεύω τοῖς ἐμοῖς πολίταις δημοκρατεῖσθαι μέν, ὑπὸ φόβον δὲ μὴ εἶναι. 695. ὑπὲρ τῶν ἀποθανόντων τιμωρόν.

678. leg. τῇδ'. 682. τί τ' Grotius, κατ' Weilius. 683. ἐπικαινούντων Stephanus. 686. μήτε recc.: μὴ δὲ M. 687. σεθεν M, σέβειν in margine *m*. 700. αἰδουμένους Canterus: αἰδουμένοισ M. 703. κἄγωγε Porsonus: κἀγὼ τε M.

ταρβεῖν κελεύω μηδ' ἀκαρπώτους κτίσαι.
ΧΟ. ἀλλ' αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις,
μαντεῖα δ' οὐκέθ' ἁγνὰ μαντεύσῃ νέμων.
ΑΠ. ἦ καὶ πατήρ τι σφάλλεται βουλευμάτων
πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος;
ΧΟ. λέγεις· ἐγὼ δὲ μὴ τυχοῦσα τῆς δίκης
βαρεῖα χώρᾳ τῇδ' ὁμιλήσω πάλιν.
ΑΠ. ἀλλ' ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις
θεοῖς ἄτιμος εἶ σύ· νικήσω δ' ἐγώ.
ΧΟ. τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις·
Μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτούς.
ΑΠ. οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν,
ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι;
ΧΟ. σύ τοι παλαιὰς διανομὰς καταφθίσας
οἴνῳ παρηπάτησας ἀρχαίας θεάς.
ΑΠ. σύ τοι τάχ' οὐκ ἔχουσα τῆς δίκης τέλος
ἐμῇ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρύν.
ΧΟ. ἐπεὶ καθιππάζῃ με πρεσβῦτιν νέος,
δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω,
ὡς ἀμφίβουλος οὖσα θυμοῦσθαι πόλει.
ΑΘ. ἐμὸν τόδ' ἔργον, λοισθίαν κρῖναι δίκην·
ψῆφον δ' Ὀρέστῃ τήνδ' ἐγὼ προσθήσομαι.
μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ' ἐγείνατο,
τὸ δ' ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν,
ἅπαντι θυμῷ, κάρτα δ' εἰμὶ τοῦ πατρός.
οὕτω γυναικὸς οὐ προτιμήσω μόρον
ἄνδρα κτανούσης δωμάτων ἐπίσκοπον.

708. καθάρας τὸν πρωτομυσῆ Ἰξίονα. 709. ἐπ' ἀπειλὰς τρέπονται ἀφεῖσαι τὴν δικαιολογίαν. 720. ἐκβάλλεις τὴν ὀργήν, οὐδὲν δυναμένη βλάψαι τοὺς ἐχθρούς. 721. κατατρέχεις. 723. ἀμφιβάλλουσα. τέως γὰρ ἐν ἀμφιβόλῳ ἔχω τὸ ὀργίζεσθαι. 725. ἐγὼ προσθήσω τὴν ἐσχάτην ψῆφον. ἢ ὅτι, ἂν ἴσαι γένωνται, νικᾷ ὁ κατηγορούμενος.

---

706. *νέμων* Hermannus: *μένων* M. 709. 711. et mox 717. 719. solis paragraphis notat M. 717. *διανομάς* schol. Eurip. Alcest. 12: *δαίμονας* M. 723. *ἀμφίβουλος* Turnebus: *ἀμφίβολος* M.

νικᾷ δ' Ὀρέστης, κἂν ἰσόψηφος κριθῇ.
ἐκβάλλεθ' ὡς τάχιστα τευχέων πάλους
ὅσοις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος.
ΟΡ. ὦ Φοῖβ' Ἄπολλον, πῶς ἀγὼν κριθήσεται;
ΧΟ. ὦ Νὺξ μέλαινα μῆτερ, ἆρ' ὁρᾷς τάδε;
ΟΡ. νῦν ἀγχόνης μοι τέρματ', ἢ φάος βλέπειν.
ΧΟ. ἡμῖν γὰρ ἔρρειν, ἢ πρόσω τιμὰς νέμειν.
ΑΠ. πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι,
τὸ μὴ ἀδικεῖν σέβοντες ἐν διαιρέσει.
γνώμης δ' ἀπούσης πῆμα γίγνεται μέγα,
βαλοῦσά τ' οἶκον ψῆφος ὤρθωσεν μία.
ΑΘ. ἀνὴρ ὅδ' ἐκπέφευγεν αἵματος δίκην·
ἴσον γάρ ἐστι τἀρίθμημα τῶν πάλων.
ΟΡ. ὦ Παλλάς, ὦ σώσασα τοὺς ἐμοὺς δόμους,
γαίας πατρῴας ἐστερημένον σύ τοι
κατῴκισάς με· καί τις Ἑλλήνων ἐρεῖ,
Ἀργεῖος ἀνὴρ αὖθις ἔν τε χρήμασιν
οἰκεῖ πατρῴοις, Παλλάδος καὶ Λοξίου
ἕκατι καὶ τοῦ πάντα κραίνοντος τρίτου
σωτῆρος, ὃς πατρῷον αἰδεσθεὶς μόρον
σῴζει με μητρὸς τάσδε συνδίκους ὁρῶν.
ἐγὼ δὲ χώρᾳ τῇδε καὶ τῷ σῷ στρατῷ
τὸ λοιπὸν εἰς ἅπαντα πλειστήρη χρόνον

733. ὁ ἀριθμὸς τῶν Ἀρεοπαγιτῶν λ' καὶ εἷς. 736. νῦν μοι ζωὴ ἢ θανάτου τέλος. 737. ἢ τὰς πρώην ἔχειν τιμάς. 739. διακρίσει τῶν λευκῶν καὶ μελαινῶν. 740. γνώμης, ἀντὶ τοῦ ψήφου. ὁ τρόπος συνεκδοχή, ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον· τὸν γὰρ μέλλοντα βάλλειν ψῆφον δεῖ πρῶτον ἐν γνώμῃ γενέσθαι. 741. ἡ ψῆφος δὲ βαλεῖν τε καὶ ὀρθῶσαι οἶκον δύναται. 743. κἂν ἴσαι δὲ γένωνται αἱ ψῆφοι, ὁ κατηγορούμενος νικᾷ. 750. τοῦ Διός. 751. τὰς συνηγόρους Εὐμενίδας.

---

735. εὐ$^{\mu}$ praescriptum in M, personarum vicibus ad 736. 737. non notatis, 738. paragrapho praeposita. 740. γίνεται M. 742. ὅδ' recc.: ὅγ' M. 745. γαίας Dindorfius: καὶ γῆς M. 747. ἀνὴρ M. 751. σώζει M.

ὁρμωμοτήσας τὴν ἄτειμι πρὸς δόμους
μήτοι τιν' ἄνδρα δεῖρο πρεμνήτην χθονὸς
ἑλθόντ' ἐτοίσιν εἶ κεκασμένον δόρυ.
αὐτοὶ γὰρ ἡμεῖς ὄντες ἐν τέρμοις τότε
τοῖς τἀμὰ παρβαίνουσι τὴν ὁρκώματα
ἀμηχάνοις πράξομεν δυσπραξίαις
ὁδοὺς ἀθύμους καὶ παρόρνιθας πόρους
τιθέντες, ὡς αὐτοῖσι μεταμέλῃ πόνος·
ὀρθουμένων δὲ καὶ πόλιν τὴν Παλλάδος
τιμῶσιν ἀεὶ τήνδε στρμάχῳ δορὶ
αὐτοῖσιν ἡμεῖς ἐσμεν εὐμενέστεροι.
καὶ χαῖρε, καὶ σὺ καὶ πολισσοῦχος λεὼς
πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις,
σωτήριόν τε καὶ δορὸς νικηφόρον.

str. 1. XO. ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.
ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύποτος
ἐν γᾷ τᾷδε, φεῦ,
ἰὸν ἰὸν ἀντιπενθῆ
μεθεῖσα καρδίας σταλαγμὸν χθονὶ
ἄφορον· ἐκ δὲ τοῦ
λειχὴν ἄφυλλος, ἄτεκνος,
ἰὼ δίκα, πέδον ἐπισύμενος
βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.
στενάζω; τί ῥέξω; γένωμαι; δύσοιστα

755. ἄρχοντα, κυβερνήτην. 759. τιμωρησόμεθα. 760. ἀπαισίους. 762. γεννωμένων. 766. τὴν ἐμὴν ἐπικουρίαν. 772. ἰσοπενθῆ, ὅμοια δρῶντα οἷς πέπονθα. 773. μεθεῖσα: ἀντὶ τοῦ μεθήσω, μετοχὴ ἀντὶ ῥήματος· ὡς τὸ καρπῷ βριθομένη (Hom. Il. Θ. 307). ἀντὶ τοῦ βρίθεται. σταλαγμὸν δὲ τὴν κατὰ βραχὺ φθοράν. 774. τὸν εἰς τὴν γῆν φερόμενον. 775. ψίλωσις. ἄκαρπος. 776. τοῦτο διὰ μέσου ὀλοφυρόμεναι ἀναφωνοῦσιν. 778. λείπει ὃ ἢ διαζευκτικός· ἢ τί γένωμαι.

---

758. παρ..βαίνουσι, eraso α, M. 759. παρέξομεν d. fort. ἀμηχάνους παρέξομεν δυσπραξίας. 764. fort. ἀστοῖσιν. ἐσόμεθ' Heathius. 773. 774. χθονιαφόρον M. 775. λιχὴν M. 777. βαλεῖ Turnebus: βαλεῖν M.

πολίταις ἔπαθον,
ἰὼ μεγάλα τοι κόραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.
ΑΘ. ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν.
οὐ γὰρ νενίκησθ', ἀλλ' ἰσόψηφος δίκη
ἐξῆλθ' ἀληθῶς, οὐκ ἀτιμίᾳ σέθεν.
ἀλλ' ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν,
αὐτός θ' ὁ χρήσας αὐτὸς ἦν ὁ μαρτυρῶν,
ὡς ταῦτ' Ὀρέστην δρῶντα μὴ βλάβας ἔχειν.
ὑμεῖς δέ τε τῇδε γῇ βαρὺν κότον
σκήψητε, μὴ θυμοῦσθε, μηδ' ἀκαρπίαν
τεύξητ' ἀφεῖσαι δαιμόνων σταλάγματα,
βρωτῆρας αἰχμὰς σπερμάτων ἀνημέρους.
ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι
ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονὸς
λιπαροθρόνοισιν ἡμένας ἑπ' ἐσχάραις
ἕξειν, ὑπ' ἀστῶν τῶνδε τιμαλφουμένας.
antistr. 1. ΧΟ. ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.
ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος
ἐν γᾷ τᾷδε, φεῦ,
ἰὸν ἰὸν ἀντιπενθῆ
μεθεῖσα καρδίας σταλαγμὸν χθονὶ
ἄφορον· ἐκ δὲ τοῦ
λειχὴν ἄφυλλος, ἄτεκνος,
ἰὼ δίκα, πέδον ἐπισύμενος

779. ὑπὸ τῶν πολιτῶν ἔπαθον. ἔμιξε τῷ θρήνῳ τὴν τιμωρίαν τεχνικῶς. εἰπὼν γὰρ δύσοιστα ἔπαθον ἐπήγαγε πολίταις, ἵνα ᾖ, πολίταις δύσοιστα ὄντα. 780. κόραι Νυκτός. 785. ἔφασκε γὰρ ὁ Ἀπόλλων γνώμῃ Διὸς μαντεύεσθαι. 790. σταλάγματα αἰχμαί εἰσι βιβρώσκουσαι τὰ σπέρματα.

---

782. *πίθεσθε* Turnebus: *πείθεσθε* M. 786. *ὁ χρήσας* Turnebus: *ὁ..θήσας*, correctura factum ex *ὀρθήσας* iudice Duebnero, M. 789. *σκήψητε* Elmsleius: *σκήψησθε* M. 790. *πλευμόνων* Wakefieldus. *γρ. στενάγματα m.* 800. *ἀντιπαθῆ* M. 801. 2. *χθονιαφόρον* M. 803. *λιχὴν* M. 804. *ἐπεσσύμενος* M.

βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.
στενάζω; τί ῥέξω; γένωμαι; δύσοιστα
πολίταις ἔπαθον,
ἰὼ μεγάλα τοι κόραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.
ΑΘ. οὐκ ἔστ' ἄτιμοι, μηδ' ὑπερθύμως ἄγαν
θεαὶ βροτῶν στήσητε δύσκηλον χθόνα.
κἀγὼ πέποιθα Ζηνί, καὶ τί δεῖ λέγειν;
καὶ κλῇδας οἶδα δωμάτων μόνη θεῶν
ἐν ᾧ κεραυνὸς ἐστιν ἐσφραγισμένος·
ἀλλ' οὐδὲν αὐτοῦ δεῖ· σὺ δ' εὐπιθὴς ἐμοὶ
γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα
καρπὸν φέροντα πάντα μὴ πράσσειν καλῶς.
κοίμα κελαινοῦ κύματος πικρὸν μένος,
ὡς σεμνότιμος καὶ ξυνοικήτωρ ἐμοί·
πολλῆς δὲ χώρας τῆσδ' ἔτ' ἀκροθίνια
θύη πρὸ παίδων καὶ γαμηλίου τέλους
ἔχουσ' ἐς αἰεὶ τόνδ' ἐπαινέσεις λόγον.
str. 2. ΧΟ. ἐμὲ παθεῖν τάδε, φεῦ,
ἐμὲ παλαιόφρονα, κατά [τε] γᾶς οἰκεῖν
ἀτίετον, φεῦ, μύσος.
πνέω τοι μένος ἅπαντά τε κότον.
οἶ οἶ δᾶ, φεῦ.
τίς μ' ὑποδύεται πλευρὰς ὀδίνα;
θυμὸν ἄιε, μᾶτερ

805. λείπει ἐμποιήσω. 811. δυσθεράπευτον. 817. τὸν πάντα ποιοῦντα κακῶς πράττειν. 818. κοίμιζε. τὸν θυμόν. 819. λείπει ἐσομένη. 820. ὡς προτέλεια θυόντων Ἀθήνησι ταῖς Ἐρινύσι. 825. ἀνεκδίκητον, τιμωρεῖσθαι μὴ δυναμένην. τὸ δὲ φεῦ διὰ μέσου ἀναφωνεῖ. 826. ὀργὴν καὶ ἅπαντα κότον πνέω. 827. δᾶ: ὦ γῆ, Δωρικῶς· ὅθεν καὶ Δαμάτηρ.

---

805. βαλεῖν M. 811. κτίσητε Linwoodius. 813. δά̓ματος Casaubonus. 815. εὐπιθής Hermannus: εὐπειθὴς M. 820. τῆσδέτ' ἀκροθίνια M. 821. τελοσ M, τέλουσ m. 823. chori nota omissa in M. 824. cf. versum antistrophicum. γᾶς Hermannus: γᾶν M. 828. ὑποδσται M. cf. versum antistrophicum.

Νύξ. ἀπὸ γάρ με τιμᾶν δαναιᾶν θεῶν
δυσπάλαμοι παρ᾽ οὐδὲν ἦραν δόλοι.
ΑΘ. ὀργὰς ξυνοίσω σοι· γεραιτέρα γὰρ εἶ.
καίτοι μὲν σὺ κάρτ᾽ ἐμοῦ σοφωτέρα,
φρονεῖν δὲ κἀμοὶ Ζεὺς ἔδωκεν οὐ κακῶς.
ὑμεῖς δ᾽ ἐς ἀλλόφυλον ἐλθοῦσαι χθόνα
γῆς τῆσδ᾽ ἐρασθήσεσθε· προὐννέπω τάδε.
οὐπιρρέων γὰρ τιμιώτερος χρόνος
ἔσται πολίταις τοῖσδε. καὶ σὺ τιμίαν
ἕδραν ἔχουσα πρὸς δόμοις Ἐρεχθέως
τεύξῃ παρ᾽ ἀνδρῶν καὶ γυναικείων στόλων,
ὅσην παρ᾽ ἄλλων οὔποτ᾽ ἂν σχέθοις βροτῶν.
σὺ δ᾽ ἐν τόποισι τοῖς ἐμοῖσι μὴ βάλῃς
μήθ᾽ αἱματηρὰς θηγάνας, σπλάγχνων βλάβας
νέων, ἀοίνοις ἐμμανεῖς θυμώμασιν,
μήτ᾽ ἐξελοῦσ᾽ ὡς καρδίαν ἀλεκτόρων
ἐν τοῖς ἐμοῖς ἀστοῖσιν ἱδρύσῃς Ἄρη
ἐμφύλιόν τε καὶ πρὸς ἀλλήλους θρασύν.
θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρών,
ἐν ᾧ τις ἔσται δεινὸς εὐκλείας ἔρως·
ἐνοικίου δ᾽ ὄρνιθος οὐ λέγω μάχην.
τοιαῦθ᾽ ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ,

830. τὴν δημοσίαν ὑπὸ θεῶν δεδομένην. 831. οἱ δόλοι γὰρ τῶν θεῶν ὡς οὐδὲν παρῆράν με τῶν δημοσίων τιμῶν. 832. φέρουσα τὰς ὀργάς. 833. διὰ τὸν χρόνον. 835. λείπει ὁ καί. 836. ἀντὶ τοῦ μεγάλοι ἔσονται Ἀθηναῖοι, ὥστε ἐπιθυμῆσαι τῆς ἐξ αὐτῶν τιμῆς. 843. τὰς ἀναλισκούσας τὰ νέα. 844. ὀργαῖς. ὅτι καὶ οἰνωθέντες τρόπον τινὰ γίνονται ἐμμανεῖς. 845. ἀναπτερώσασα. μάχιμον γὰρ τὸ ὄρνεον, τῶν τε ἄλλων ζῴων τὸ συγγενὲς αἰδουμένων μόνος οὐ φείδεται. 848. ὁ Περσικός. οὐ μακράν. 850. τῶν ἐνοικούντων πολιτῶν, ὅ ἐστιν ὁμόφυλον πόλεμον.

---

830. *τιμᾶν δαναιᾶν* L. Dindorfius: *τιμῶν δαμαι...ων* M. 831. *δόλῳ* M. 844. *αἰνουσ* M, *ἀοίνουσ m* sec. Dindorfii auctores, *αἰοίνοισ* M. sec. reliquos. 845. *ἐκζέουσ᾽* Musgravius. 846. *ἐμοῖς* recc.: *ἐμοῖσιν* M. *ἱδρύσῃς Ἄρη* Stephanus: *ἱδρύσηι κάρη* M. 849. *ἐστι* M, *ἔστι m*.

τοκεύς, τροφὸς δὲ κύματος νεοσπόρου·
τίκτει δ' ὁ θρώσκων, ἡ δ' ἅπερ ξένῳ ξένη
ἔσωσεν ἔρνος, οἷσι μὴ βλάψῃ θεός.
τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου.
πατὴρ μὲν ἂν γένοιτ' ἄνευ μητρός· πέλας
μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διός,
οὐδ' ἐν σκότοισι νηδύος τεθραμμένη,
ἀλλ' οἷον ἔρνος οὔτις ἂν τέκοι θεός.
ἐγὼ δέ, Παλλάς, τἄλλα θ' ὡς ἐπίσταμαι
τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν,
καὶ τόνδ' ἔπεμψα σῶν δόμων ἐφέστιον,
ὅπως γένοιτο πιστὸς εἰς τὸ πᾶν χρόνου,
καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεά,
καὶ τοὺς ἔπειτα, καὶ τάδ' αἰανῶς μένοι
στέργειν τὰ πιστὰ τῶνδε τοὺς ἐπισπόρους.
ΑΘ. ἤδη κελεύω τούσδ' ἀπὸ γνώμης φέρειν
ψῆφον δικαίαν, ὡς ἅλις λελεγμένων;
ΧΟ. ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος·
μένω δ' ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται.
ΑΘ. τί γάρ; πρὸς ὑμῶν πῶς τιθεῖσ' ἄμομφος ὦ;
ΑΠ. ἠκούσαθ' ὧν ἠκούσατ', ἐν δὲ καρδίᾳ
ψῆφον φέροντες ὅρκον αἰδεῖσθε, ξένοι.
ΑΘ. κλύοιτ' ἂν ἤδη θεσμόν, Ἀττικὸς λεώς,
πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ.
ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγέως στρατῷ
αἰεὶ δ' ἑκάστων τοῦτο βουλευτήριον
πάγον δ' Ἄρειον τόνδ' Ἀμαζόνων ἕδραν

649. κυήματος. 650. ὁ σπερμαίνων. ὡς παρακατάθήκην. 653. γεννήσειεν. 657. ὦ Παλλάς. ὅσον δύναμαι. 662. δι' αἰῶνος. 663. ἀπογόνους. 664. ὃ δοκιμάζεται. 668. τί τιθεῖσα μέμψιν παρ' ὑμῶν οὐχ ὑπομενῶ;

650. θρώσκων M. 653. πατὴρ γὰρ ἄν Meinekius. 663. τὰ πιστά recc.: τ' ἄπιστα M. 668. excidit post hunc alter Minervae versiculus. 669. chori nota praefixa in M. 670. αἰδεῖσθαι M. 671—700. ab hoc loco alieni et post 563. me iudice reponendi. 673. Αἰγέως recc.: αἰγέωι M. 674. leg. ἀσυνδέκαστον. 675. 676. leg. πάγον 'ξ Ἀρείου τοῦδ', Ἀμαζόνων ἕδρας | σκηναῖς, ὅτ' cett.

σκηνάς θ', ὅτ' ἦλθον Θησέως κατὰ φθόνον
στρατηλατοῦσαι, καὶ πόλιν νεόπτολιν
τήνδ' ὑψίπυργον ἀντεπύργωσαν τότε,
Ἄρει δ' ἔθυον, ἔνθεν ἔστ' ἐπώνυμος
πέτρα πάγος τ' Ἄρειος. ἐν δὲ τῷ σέβας
ἀστῶν, φόβος τε συγγενὴς τὸ μὴ ἀδικεῖν
σχήσει τόδ' ἦμαρ καὶ κατ' εὐφρόνην δμῶς,
αὐτῶν πολιτῶν μὴ πικαινόντων νόμους.
κακαῖς ἐπιρροαῖσι βορβόρῳ θ' ὕδωρ
λαμπρὸν μιαίνων οὔποθ' εὑρήσεις ποτόν.
τὸ μήτ' ἄναρχον μήτε δεσποτούμενον
ἀστοῖς περιστέλλουσι βουλεύω σέβειν,
καὶ μὴ τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν.
τίς γὰρ δεδοικὼς μηδὲν ἔνδικος βροτῶν;
τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας,
ἔρυμά τε χώρας καὶ πόλεως σωτήριον
ἔχοιτ' ἂν οἷον οὔτις ἀνθρώπων ἔχει
οὔτ' ἐν Σκύθῃσιν οὔτε Πέλοπος ἐν τόποις.
κερδῶν ἄθικτον τοῦτο βουλευτήριον,
αἰδοῖον, ὀξύθυμον, εὐδόντων ὕπερ
ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι.
ταύτην μὲν ἐξέτειν' ἐμοῖς παραίνεσιν
ἀστοῖσιν εἰς τὸ λοιπόν. ὀρθοῦσθαι δὲ χρὴ
καὶ ψῆφον αἴρειν, καὶ διαγνῶναι δίκην
αἰδουμένους τὸν ὅρκον. εἴρηται λόγος.

ΧΟ. καὶ μὴν βαρεῖαν τήνδ' ὁμιλίαν χθονὸς
ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι.

ΑΠ. κἄγωγε χρησμοὺς τοὺς ἐμούς τε καὶ Διὸς

676. μῆνιν. 677. τὸν Ἄρειον πάγον· ἐν αὐτῷ γὰρ ἐστρατοπέδευσαν. ὅτι πρώτη ἐπὶ Ὀρέστῃ γέγονε δίκη ἐν τῷ Ἀρείῳ πάγῳ. ὅθεν Ἄρειος πάγος ἐκλήθη. 680. ὁ δέ ἀντὶ τοῦ γάρ. 687. συμβουλεύω τοῖς ἐμοῖς πολίταις δημοκρατεῖσθαι μέν, ὑπὸ φόβον δὲ μὴ εἶναι. 695. ὑπὲρ τῶν ἀποθανόντων τιμωρόν.

678. leg. τῇδ'. 682. τί τ' Grotius, κατ' Weilius. 683. πικαινούντων Stephanus. 686. μήτε recc.: μὴ δὲ M. 687. σεθεν M, σέβειν in margine m. 700. αἰδουμένους Canterus: αἰδουμένοισ M. 703. κἄγωγε Porsonus: κἀγὼ τε M.

ταρβεῖν κελεύω μηδ' ἀκαρπώτους κτίσαι.
ΧΟ. ἀλλ' αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις,
μαντεῖα δ' οὐκέθ' ἁγνὰ μαντεύσῃ νέμων.
ΑΠ. ἦ καὶ πατήρ τι σφάλλεται βουλευμάτων
πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος;
ΧΟ. λέγεις· ἐγὼ δὲ μὴ τυχοῦσα τῆς δίκης
βαρεῖα χώρᾳ τῇδ' ὁμιλήσω πάλιν.
ΑΠ. ἀλλ' ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις
θεοῖς ἄτιμος εἶ σύ· νικήσω δ' ἐγώ.
ΧΟ. τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις·
Μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτούς.
ΑΠ. οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν,
ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι;
ΧΟ. σύ τοι παλαιὰς διανομὰς καταφθίσας
οἴνῳ παρηπάτησας ἀρχαίας θεάς.
ΑΠ. σύ τοι τάχ' οὐκ ἔχουσα τῆς δίκης τέλος
ἐμῇ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρύν.
ΧΟ. ἐπεὶ καθιππάζῃ με πρεσβῦτιν νέος,
δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω,
ὡς ἀμφίβουλος οὖσα θυμοῦσθαι πόλει.
ΑΘ. ἐμὸν τόδ' ἔργον, λοισθίαν κρῖναι δίκην·
ψῆφον δ' Ὀρέστῃ τήνδ' ἐγὼ προσθήσομαι.
μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ' ἐγείνατο,
τὸ δ' ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν,
ἅπαντι θυμῷ, κάρτα δ' εἰμὶ τοῦ πατρός.
οὕτω γυναικὸς οὐ προτιμήσω μόρον
ἄνδρα κτανούσης δωμάτων ἐπίσκοπον.

708. καθάρας τὸν πρωτομυσῆ Ἰξίονα. 709. ἐπ' ἀπειλὰς τρέπονται ἀφεῖσαι τὴν δικαιολογίαν. 720. ἐκβάλλεις τὴν ὀργήν, οὐδὲν δυναμένη βλάψαι τοὺς ἐχθρούς. 721. κατατρέχεις. 723. ἀμφιβάλλουσα. τέως γὰρ ἐν ἀμφιβόλῳ ἔχω τὸ ὀργίζεσθαι. 725. ἐγὼ προσθήσω τὴν ἐσχάτην ψῆφον. ἢ ὅτι, ἂν ἴσαι γένωνται, νικᾷ ὁ κατηγορούμενος.

---

706. *νέμων* Hermannus: *μένων* M. 709. 711. et mox 717. 719. solis paragraphis notat M. 717. *διανομάς* schol. Eurip. Alcest. 12: *δαίμονας* M. 723. *ἀμφίβουλος* Turnebus: *ἀμφίβολος* M.

νικᾷ δ' Ὀρέστης, κἂν ἰσόψηφος κριθῇ.
ἐκβάλλεθ' ὡς τάχιστα τευχέων πάλους
ὅσοις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος.
ΟΡ. ὦ Φοῖβ' Ἄπολλον, πῶς ἀγὼν κριθήσεται;
ΧΟ. ὦ Νὺξ μέλαινα μῆτερ, ἆρ' ὁρᾷς τάδε;
ΟΡ. νῦν ἀγχόνης μοι τέρματ', ἢ φάος βλέπειν.
ΧΟ. ἡμῖν γὰρ ἔρρειν, ἢ πρόσω τιμὰς νέμειν.
ΑΠ. πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι,
τὸ μὴ ἀδικεῖν σέβοντες ἐν διαιρέσει.
γνώμης δ' ἀπούσης πῆμα γίγνεται μέγα,
βαλοῦσά τ' οἶκον ψῆφος ὤρθωσεν μία.
ΑΘ. ἀνὴρ ὅδ' ἐκπέφευγεν αἵματος δίκην·
ἴσον γάρ ἐστι τἀριθμημα τῶν πάλων.
ΟΡ. ὦ Παλλάς, ὦ σώσασα τοὺς ἐμοὺς δόμους,
γαίας πατρῴας ἐστερημένον σύ τοι
κατῴκισάς με· καί τις Ἑλλήνων ἐρεῖ,
Ἀργεῖος ἀνὴρ αὖθις ἔν τε χρήμασιν
οἰκεῖ πατρῴοις, Παλλάδος καὶ Λοξίου
ἕκατι καὶ τοῦ πάντα κραίνοντος τρίτου
σωτῆρος, ὃς πατρῷον αἰδεσθεὶς μόρον
σῴζει με μητρὸς τάσδε συνδίκους ὁρῶν.
ἐγὼ δὲ χώρᾳ τῇδε καὶ τῷ σῷ στρατῷ
τὸ λοιπὸν εἰς ἅπαντα πλειστήρη χρόνον

733. ὁ ἀριθμὸς τῶν Ἀρεοπαγιτῶν λ' καὶ εἷς. 736. νῦν μοι ζωὴ ἢ θανάτου τέλος. 737. ἢ τὰς πρώην ἔχειν τιμάς. 739. διακρίσει τῶν λευκῶν καὶ μελαινῶν. 740. γνώμης, ἀντὶ τοῦ ψήφου. ὁ τρόπος συνεκδοχή, ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον· τὸν γὰρ μέλλοντα βάλλειν ψῆφον δεῖ πρῶτον ἐν γνώμῃ γενέσθαι. 741. ἡ ψῆφος δὲ βαλεῖν τε καὶ ὀρθῶσαι οἶκον δύναται. 743. κἂν ἴσαι δὲ γένωνται αἱ ψῆφοι, ὁ κατηγορούμενος νικᾷ. 750. τοῦ Διός. 751. τὰς συνηγόρους Εὐμενίδας.

---

735. εὐ[μ] praescriptum in M, personarum vicibus ad 736. 737. non notatis, 738. paragrapho praeposita. 740. γίνεται M. 742. ὅδ' recc.: ὅγ' M. 745. γαίας Dindorfius: καὶ γῆς M. 747. ἀνὴρ M. 751. σώζει M.

ὁρκωμοτήσας νῦν ἄπειμι πρὸς δόμους
μήτοι τιν' ἄνδρα δεῦρο πρυμνήτην χθονὸς
ἐλθόντ' ἐποίσειν εὖ κεκασμένον δόρυ.
αὐτοὶ γὰρ ἡμεῖς ὄντες ἐν τάφοις τότε
τοῖς τἀμὰ παρβαίνουσι νῦν ὁρκώματα
ἀμηχάνοις πράξομεν δυσπραξίαις
ὁδοὺς ἀθύμους καὶ παρόρνιθας πόρους
τιθέντες, ὡς αὐτοῖσι μεταμέλῃ πόνος·
ὀρθουμένων δὲ καὶ πόλιν τὴν Παλλάδος
τιμῶσιν ἀεὶ τήνδε συμμάχῳ δορὶ
αὐτοῖσιν ἡμεῖς ἐσμεν εὐμενέστεροι.
καὶ χαῖρε, καὶ σὺ καὶ πολισσοῦχος λεὼς
πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις,
σωτήριόν τε καὶ δορὸς νικηφόρον.

str. 1. ΧΟ. ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.
ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος
ἐν γᾷ τᾷδε, φεῦ,
ἰὸν ἰὸν ἀντιπενθῆ
μεθεῖσα καρδίας σταλαγμὸν χθονὶ
ἄφορον· ἐκ δὲ τοῦ
λειχὴν ἄφυλλος, ἄτεκνος,
ἰὼ δίκα, πέδον ἐπισύμενος
βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.
στενάζω; τί ῥέξω; γένωμαι; δύσοιστα

755. ἄρχοντα, κυβερνήτην. 759. τιμωρησόμεθα. 760. ἀπαισίους. 762. γεννωμένων. 766. τὴν ἐμὴν ἐπικουρίαν. 772. ἰσοπενθῆ, ὅμοια δρῶντα οἷς πέπονθα. 773. μεθεῖσα: ἀντὶ τοῦ μεθήσω, μετοχὴ ἀντὶ ῥήματος· ὡς τὸ καρπῷ βριθομένη (Hom. Il. Θ. 307). ἀντὶ τοῦ βρίθεται. σταλαγμὸν δὲ τὴν κατὰ βραχὺ φθοράν. 774. τὸν εἰς τὴν γῆν φερόμενον. 775. ψίλωσις. ἄκαρπος. 776. τοῦτο διὰ μέσου ὀλοφυρόμεναι ἀναφωνοῦσιν. 778. λείπει ὁ ἤ διαζευκτικός· ἢ τί γένωμαι.

---

758. παρ..βαίνουσι, eraso α, M. 759. παρέξομεν d. fort. ἀμηχάνους παρέξομεν δυσπραξίας. 764. fort. ἀστοῖσιν. ἐσόμεθ' Heathius. 773. 774. χθονιαφόρον M. 775. λιχὴν M. 777. βαλεῖ Turnebus: βαλεῖν M.

πολίταις ἔπαθον,
ἰὼ μεγάλα τοι κόραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.
ΑΘ. ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν.
οὐ γὰρ νενίκησθ', ἀλλ' ἰσόψηφος δίκη
ἐξῆλθ' ἀληθῶς, οὐκ ἀτιμίᾳ σέθεν.
ἀλλ' ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν,
αὐτός θ' ὁ χρήσας αὐτὸς ἦν ὁ μαρτυρῶν,
ὡς ταῦτ' Ὀρέστην δρῶντα μὴ βλάβας ἔχειν.
ὑμεῖς δέ τε τῇδε γῇ βαρὺν κότον
σκήψητε, μὴ θυμοῦσθε, μηδ' ἀκαρπίαν
τεύξητ' ἀφεῖσαι δαιμόνων σταλάγματα,
βρωτῆρας αἰχμὰς σπερμάτων ἀνημέρους.
ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι
ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονὸς
λιπαροθρόνοισιν ἡμένας ἐπ' ἐσχάραις
ἕξειν, ὑπ' ἀστῶν τῶνδε τιμαλφουμένας.
antistr. 1. ΧΟ. ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.
ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος
ἐν γᾷ τᾷδε, φεῦ,
ἰὸν ἰὸν ἀντιπενθῆ
μεθεῖσα καρδίας σταλαγμὸν χθονὶ
ἄφορον· ἐκ δὲ τοῦ
λειχὴν ἄφυλλος, ἄτεκνος,
ἰὼ δίκα, πέδον ἐπισύμενος

779. ὑπὸ τῶν πολιτῶν ἔπαθον. ἔμιξε τῷ θρήνῳ τὴν τιμωρίαν τεχνικῶς. εἰπὼν γὰρ δύσοιστα ἔπαθον ἐπήγαγε πολίταις, ἵνα ᾖ, πολίταις δύσοιστα ὄντα. 780. κόραι Νυκτός. 785. ἔφασκε γὰρ ὁ Ἀπόλλων γνώμῃ Διὸς μαντεύεσθαι. 790. σταλάγματα αἰχμαί εἰσι βιβρώσκουσαι τὰ σπέρματα.

---

782. πίθεσθε Turnebus: πείθεσθε M. 786. ὁ χρήσας Turnebus: ὁ..θήσας, correctura factum ex ὀρθήσας iudice Duebnero, M. 789. σκήψητε Elmsleius: σκήψησθε M. 790. πλευμόνων Wakefieldus. γρ. στενάγματα m. 800. ἀντιπαθῆ M. 801. 2. χθονιαφόρον M. 803. λιχὴν M. 804. ἐπεσσύμενος M.

βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.
στενάζω; τί ῥέξω; γένωμαι; δύσοιστα
πολίταις ἔπαθον,
ἰὼ μεγάλα τοι κόραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.
ΑΘ. οὐκ ἔστ' ἄτιμοι, μηδ' ὑπερθύμως ἄγαν
θεαὶ βροτῶν στήσητε δύσκηλον χθόνα.
κἀγὼ πέποιθα Ζηνί, καὶ τί δεῖ λέγειν;
καὶ κλῆδας οἶδα δωμάτων μόνη θεῶν
ἐν ᾧ κεραυνὸς ἐστιν ἐσφραγισμένος·
ἀλλ' οὐδὲν αὐτοῦ δεῖ· σὺ δ' εὐπιθὴς ἐμοὶ
γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα
καρπὸν φέροντα πάντα μὴ πράσσειν καλῶς.
κοίμα κελαινοῦ κύματος πικρὸν μένος,
ὡς σεμνότιμος καὶ ξυνοικήτωρ ἐμοί·
πολλῆς δὲ χώρας τῆσδ' ἔτ' ἀκροθίνια
θύη πρὸ παίδων καὶ γαμηλίου τέλους
ἔχουσ' ἐς αἰεὶ τόνδ' ἐπαινέσεις λόγον.
str. 2. ΧΟ. ἐμὲ παθεῖν τάδε, φεῦ,
ἐμὲ παλαιόφρονα, κατά [τε] γᾶς οἰκεῖν
ἀτίετον, φεῦ, μύσος.
πνέω τοι μένος ἄπαντά τε κότον.
οἶ οἶ δᾶ, φεῦ.
τίς μ' ὑποδύεται πλευρὰς ὀδίνα;
θυμὸν ἄιε, μᾶτερ

805. λείπει ἐμποιήσω. 811. δυσθεράπευτον. 817. τὸν πάντα ποιοῦντα κακῶς πράττειν. 818. κοίμιζε. τὸν θυμόν. 819. λείπει ἐσομένη. 820. ὡς προτέλεια θυόντων Ἀθήνησι ταῖς Ἐρινύσι. 825. ἀνεκδίκητον, τιμωρεῖσθαι μὴ δυναμένην. τὸ δὲ φεῦ διὰ μέσου ἀναφωνεῖ. 826. ὀργὴν καὶ ἅπαντα κότον πνέω. 827. δᾶ: ὦ γῆ, Δωρικῶς· ὅθεν καὶ Δαμάτηρ.

---

805. βαλεῖν M. 811. κτίσητε Linwoodius. 813. δά̓ματος Casaubonus. 815. εὐπιθὴς Hermannus: εὐπειθὴσ M. 820. τῆσδέτ' ἀκροθίνια M. 821. τελοσ M, τέλουσ *m*. 823. chori nota omissa in M. 824. cf. versum antistrophicum. γᾶς Hermannus: γᾶν M. 828. ὑποδεται M. cf. versum antistrophicum.

Νύξ. ἀπὸ γάρ με τιμᾶν δαναιᾶν θεῶν
δυσπάλαμοι παρ᾽ οὐδὲν ἦραν δόλοι.
ΑΘ. ὀργὰς ξυνοίσω σοι· γεραιτέρα γὰρ εἶ.
καίτοι μὲν σὺ κάρτ᾽ ἐμοῦ σοφωτέρα,
φρονεῖν δὲ κἀμοὶ Ζεὺς ἔδωκεν οὐ κακῶς.
ὑμεῖς δ᾽ ἐς ἀλλόφυλον ἐλθοῦσαι χθόνα
γῆς τῆσδ᾽ ἐρασθήσεσθε· προὐννέπω τάδε.
οὐπιρρέων γὰρ τιμιώτερος χρόνος
ἔσται πολίταις τοῖσδε. καὶ σὺ τιμίαν
ἕδραν ἔχουσα πρὸς δόμοις Ἐρεχθέως
τεύξῃ παρ᾽ ἀνδρῶν καὶ γυναικείων στόλων,
ὅσην παρ᾽ ἄλλων οὔποτ᾽ ἂν σχέθοις βροτῶν.
σὺ δ᾽ ἐν τόποισι τοῖς ἐμοῖσι μὴ βάλῃς
μήθ᾽ αἱματηρὰς θηγάνας, σπλάγχνων βλάβας
νέων, ἀοίνοις ἐμμανεῖς θυμώμασιν,
μήτ᾽ ἐξελοῦσ᾽ ὡς καρδίαν ἀλεκτόρων
ἐν τοῖς ἐμοῖς ἀστοῖσιν ἱδρύσῃς Ἄρη
ἐμφύλιόν τε καὶ πρὸς ἀλλήλους θρασύν.
θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρών,
ἐν ᾧ τις ἔσται δεινὸς εὐκλείας ἔρως·
ἐνοικίου δ᾽ ὄρνιθος οὐ λέγω μάχην.
τοιαῦθ᾽ ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ,

830. *τὴν δημοσίαν ὑπὸ θεῶν δεδομένην.* 831. *οἱ δόλοι γὰρ τῶν θεῶν ὡς οὐδὲν παρῆράν με τῶν δημοσίων τιμῶν.* 832. *φέρουσα τὰς ὀργάς.* 833. *διὰ τὸν χρόνον.* 835. *λείπει ὁ καί.* 836. *ἀντὶ τοῦ μεγάλοι ἔσονται Ἀθηναῖοι, ὥστε ἐπιθυμῆσαι τῆς ἐξ αὐτῶν τιμῆς.* 843. *τὰς ἀναλισκούσας τὰ νέα.* 844. *ὀργαῖς. ὅτι καὶ οἰνωθέντες τρόπον τινὰ γίνονται ἐμμανεῖς.* 845. *ἀναπτερώσασα. μάχιμον γὰρ τὸ ὄρνεον, τῶν τε ἄλλων ζῴων τὸ συγγενὲς αἰδουμένων μόνος οὐ φείδεται.* 848. *ὁ Περσικός. οὐ μακράν.* 850. *τῶν ἐνοικούντων πολιτῶν, ὅ ἐστιν ὁμόφυλον πόλεμον.*

---

830. *τιμᾶν δαναιᾶν* L. Dindorfius: *τιμῶν δαμαί...ων* M. 831. *δόλῳ* M. 844. *ἀινουσ* M, *ἀοίνουσ m* sec. Dindorfii auctores, *αἰολνοισ* M. sec. reliquos. 845. *ἐκζέουσ᾽* Musgravius. 846. *ἐμοῖς* recc.: *ἐμοῖσιν* M. *ἱδρύσῃς Ἄρη* Stephanus: *ἱδρύσηι κάρη* M. 849. *ἐστι* M, *ἔστι m*.

εὖ δρῶσαν, εὖ πάσχουσαν, εὖ τιμωμένην
χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης.
antistr. 2. ΧΟ. ἐμὲ παθεῖν τάδε, φεῦ,
ἐμὲ παλαιόφρονα, κατά τε γᾶς οἰκεῖν
ἀτίετον, φεῦ, μύσος.
πνέω τοι μένος ἅπαντά τε κότον.
οἲ οἲ δᾶ, φεῦ.
τίς μ' ὑποδύεται πλευρὰς ὀδύνα;
θυμὸν ἄιε, μᾶτερ
Νύξ. ἀπὸ γάρ με τιμᾶν δαναιᾶν θεῶν
δυσπάλαμοι παρ' οὐδὲν ἦραν δόλοι.
ΑΘ. οὗτοι καμοῦμαί σοι λέγουσα τἀγαθά,
ὡς μήποτ' εἴπῃς πρὸς νεωτέρας ἐμοῦ
θεὸς παλαιὰ καὶ πολισσούχων βροτῶν
ἄτιμος ἔρρειν τοῦδ' ἀπόξενος πέδου.
ἀλλ' εἰ μὲν ἁγνόν ἐστί σοι Πειθοῦς σέβας,
γλώσσης ἐμῆς μείλιγμα καὶ θελκτήριον,
σὺ δ' οὖν μένοις ἄν· εἰ δὲ μὴ θέλεις μένειν,
οὔ τἂν δικαίως τῆδ' ἐπιρρέποις πόλει
μῆνίν τιν' ἢ κότον τιν' ἢ βλάβην στρατῷ.
ἔξεστι γάρ σοι τῆσδε γαμόρῳ χθονὸς
εἶναι δικαίως ἐς τὸ πᾶν τιμωμένῃ.
ΧΟ. ἄνασσ' Ἀθάνα, τίνα με φῆς ἕξειν ἕδραν;
ΑΘ. πάσης ἀπήμον' οἰζύος· δέχου δὲ σύ.
ΧΟ. καὶ δὴ δέδεγμαι· τίς δέ μοι τιμὴ μένει;
ΑΘ. ὡς μή τιν' οἶκον εὐθενεῖν ἄνευ σέθεν.
ΧΟ. σὺ τοῦτο πράξεις, ὥστε με σθένειν τόσον;

864. τὸ ἑξῆς, πρὸς νεωτέρας ἐμοῦ καὶ πολισσούχων βροτῶν θεὸς παλαιὰ ἄτιμος ἔρρειν. 867. εἰ πείθῃ τῷ μειλίγματι τῆς ἐμῆς γλώσσης, παράμεινον καὶ τῶν καταλεχθέντων ἀγαθῶν μεταλάμβανε· εἰ δὲ μὴ πείθῃ, ἴσθι μὴ βλάψασα πόλιν.

---

855. γᾶν M. 861. τιμᾶν δαμίαν M. 862. δόλῳ M. 869. θέλῃσ M. 872. τῆσδε γαμόρῳ Dobraeus: τῆδεγ' ἀμοίρου M. 874. ἕξειν Elmsleius: ἔχειν M. sequentium 876. 877. 880. 881. 883. 884. solis paragraphis notati in M. 877. εὐθενεῖν Scaliger: εὐσθενεῖν M.

ΑΘ. τῷ γὰρ σέβοντι συμφορὰς ὀρθώσομεν.
ΧΟ. καί μοι πρόπαντος ἐγγύην θήσῃ χρόνου;
ΑΘ. ἔξεστι γάρ μοι μὴ λέγειν ἃ μὴ τελῶ.
ΧΟ. θέλξειν μ' ἔοικας, καὶ μεθίσταμαι κότου.
ΑΘ. τοιγὰρ κατὰ χθὸν' οὖσ' ἐπικτήσῃ φίλους.
ΧΟ. τί οὖν μ' ἄνωγας τῇδ' ἐφυμνῆσαι χθονί;
ΑΘ. ὁποῖα νίκης μὴ κακῆς ἐπίσκοπα,
καὶ ταῦτα γῆθεν ἔκ τε ποντίας δρόσου
ἐξ οὐρανοῦ τε κἀνέμων ἀήματα
εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα·
καρπόν τε γαίας καὶ βοτῶν ἐπίρρυτον
ἀστοῖσιν εὐθενοῦντα μὴ κάμνειν χρόνῳ,
καὶ τῶν βροτείων σπερμάτων σωτηρίαν.
τῶν δυσσεβούντων δ' ἐκφορωτέρα πέλοις.
στέργω γάρ, ἀνδρὸς φιτυποιμένος δίκην,
τὸ τῶν δικαίων τῶνδ' ἀπένθητον γένος.
τοιαῦτα σοῦστι. τῶν ἀρειφάτων δ' ἐγὼ
πρεπτῶν ἀγώνων οὐκ ἀνέξομαι τὸ μὴ οὐ
τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν.
str. 1. ΧΟ. δέξομαι Παλλάδος ξυνοικίαν,
οὐδ' ἀτιμάσω πόλιν,
τὰν καὶ Ζεὺς ὁ παγκρατὴς Ἄρης τε
φρούριον θεῶν νέμει,
ῥυσίβωμον Ἑλλάνων ἄγαλμα δαιμόνων.
ᾗτ' ἐγὼ κατεύχομαι
θεσπίσασα πρευμενῶς
ἐπισσύτους βίου τύχας ὀνησίμους
γαίας ἐξαμβρόσαι
φαιδρὸν ἅλιου σέλας.
ΑΘ. τάδ' ἐγὼ προφρόνως τοῖσδε πολίταις
πράσσω, μεγάλας καὶ δυσαρέστους
δαίμονας αὐτοῦ κατανασσαμένη.
πάντα γὰρ αὗται τὰ κατ' ἀνθρώπους

880. προπαντὸς M. 889. βοτῶν Stanleius: βροτῶν M. 890. εὐθενοῦντας M. 893. φῖτυποιμένος M. 895. paragraphum adpictam habet in M. 897. leg. αὐτόνικον. 906. ἐξαμβρῦσαι Pauwius.

ἔλαχον διέπειν.
ὃ δὲ μὴ κύρσας βαρέων τούτων
οὐκ οἶδεν ὅθεν πληγαὶ βιότου.
τὰ γὰρ ἐκ προτέρων ἀπλακήματά νιν
πρὸς τάσδ' ἀπάγει· σιγῶν [δ'] ὄλεθρος
καὶ μέγα φωνοῦντ'
ἐχθραῖς ὀργαῖς ἀμαθύνει.
antistr. 1. *XO.* δενδροπήμων δὲ μὴ πνέοι βλάβα,
τὰν ἐμὰν χάριν λέγω,
φλογμός [τ'] ὀμματοστερὴς φυτῶν τὸ
μὴ περᾶν ὅρον τόπων,
μηδ' ἄκαρπος αἰανὴς ἐφερπέτω νόσος,
μῆλά τ' εὐθενοῦντα γᾶ
ξὺν διπλοῖσιν ἐμβρύοις
τρέφοι χρόνῳ τεταγμένῳ· γόνος . . . . .
πλουτόχθων ἑρμαίαν
δαιμόνων δόσιν τίοι.
ΑΘ. ἦ τάδ' ἀκούετε, πόλεως φρούριον,
οἷ' ἐπικραίνει; μέγα γὰρ δύναται
πότνι' Ἐρινὺς παρά τ' ἀθανάτοις
τοῖς θ' ὑπὸ γαῖαν, περί τ' ἀνθρώπων
φανερῶς τελέως διαπράσσουσιν
τοῖς μὲν ἀοιδάς, τοῖς δ' αὖ δακρύων
βίον ἀμβλωπὸν παρέχουσαι.
str. 2. *XO.* ἀνδροκμῆτας δ' ἀώ-
ρους ἀπεννέπω τύχας,
νεανίδων τ' ἐπηράτων
ἀνδροτυχεῖς βιότους ὁπόταν, κύρι' ἔχοντες,
θεαί τ' ὦ Μοῖραι

926. τὰ σπέρματα. 929. ὦ Ἀρεοπαγῖται.

---

915. ἀπλακήματα Pauwius: ἀμπλακήματα M. 916. δ' addidit Hermannus. 921. φλογμός τ' Turnebus: φλογμὸς M. 924. εὐθενοῦντα γᾶ Dobraeus: εὐθενοῦντ' ἄγαν M. 925. διπλοῖσιν recc.: διπλοῖσ M. ἐνβρύοισ M. 930. οἷα ἐπικρανεῖ, eraso ι post α, M. 934. δακρύων Ald.: κρύων M. 940. θεαί τ' ὦ Hermannus: θεαὶ τῶν M.

ματροκασιγνῆται,
δαίμονες ὀρθονόμοι,
παντὶ δόμῳ μετάκοινοι,
παντὶ χρόνῳ δ' ἐπιβριθεῖς
ἐνδίκοις ὁμιλίαις,
παντᾶ τιμιώταται θεῶν.
ΑΘ. τάδε τοι χώρᾳ τῇμῇ προφρόνως
ἐπικραινομένων
γάνυμαι· στέργω δ' ὄμματα Πειθοῦς,
ὅτι μοι γλῶσσαν καὶ στόμ' ἐπωπᾷ
πρὸς τάσδ' ἀγρίως ἀπανηναμένας·
ἀλλ' ἐκράτησε Ζεὺς ἀγοραῖος.
νικᾷ δ' ἀγαθῶν
ἔρις ἡμετέρα διὰ παντός.
antistr. 2. ΧΟ. τὰν δ' ἄπληστον κακῶν
μήποτ' ἐν πόλει στάσιν
τᾷδ' ἐπεύχομαι βρέμειν.
μηδὲ πιοῦσα κόνις μέλαν αἷμα πολιτᾶν
δι' ὀργὰν ποινὰς
ἀντιφόνους ἄτας
ἁρπαλίσαι πόλεως.
χάρματα δ' ἀντιδιδοῖεν
κοινοφιλεῖ διανοίᾳ,
καὶ στυγεῖν μιᾷ φρενί.
πολλῶν γὰρ τόδ' ἐν βροτοῖς ἄκος.
ΑΘ. ἆρα φρονοῦσιν γλώσσης ἀγαθῆς
ὁδὸν εὑρίσκει;
ἐκ τῶν φοβερῶν τῶνδε προσώπων
μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις.
τάσδε γὰρ εὔφρονας εὔφρονες ἀεὶ
μέγα τιμῶντες καὶ γῆν καὶ πόλιν
ὀρθοδίκαιον
πρέψετε πάντως διάγοντες.

---

943. *μετάκοινοι* Turnebus: *μέγα κοινοι* M. 946. *πάντᾳ* Canterus: *πάντα* M. 963. *κοινοφιλεῖ* Hermannus: *κοινωφελεῖ* M. 970. *εὔφρονας* Turnebus: *εὐφράνασ* M. 973. *πάντως* Bothius: *πάντεσ* M.

*str.*3. *XO.* [χαίρετε] χαίρετ' ἐν αἰσιμίαισι πλούτου,
χαίρετ' ἀστικὸς λεώς,
ἵκταρ ἥμενοι Διὸς
παρθένου φίλας φίλοι,
σωφρονοῦντες ἐν χρόνῳ.
Παλλάδος δ' ὑπὸ πτεροῖς
ὄντας ἅζεται πατήρ.

ΑΘ. χαίρετε χὑμεῖς· προτέραν δ' ἐμὲ χρὴ
στείχειν θαλάμους ἀποδείξουσαν
πρὸς φῶς ἱερὸν τῶνδε προπομπῶν.
ἴτε καὶ σφαγίων τῶνδ' ὑπὸ σεμνῶν
κατὰ γῆς σύμεναι τὸ μὲν ἀτηρὸν
χώρας κατέχειν, τὸ δὲ κερδαλέον
πέμπειν πόλεως ἐπὶ νίκῃ.
ὑμεῖς δ' ἡγεῖσθε, πολισσοῦχοι
παῖδες Κραναοῦ, ταῖσδε μετοίκοις.
εἴη δ' ἀγαθῶν
ἀγαθὴ διάνοια πολίταις.

*antistr.*3. *XO.* χαίρετε, χαίρετε δ' αὖθις, ἐπεὶ διπλοίζω,
πάντες οἱ κατὰ πτόλιν,
δαίμονές τε καὶ βροτοί,
Παλλάδος πόλιν νέμον-
τες· μετοικίαν δ' ἐμὴν
εὐσεβοῦντες οὔτι μέμ-
ψεσθε συμφορὰς βίου.

ΑΘ. αἰνῶ τε μύθους τῶνδε τῶν κατευγμάτων,
πέμψω τε φέγγει λαμπάδων σελασφόρων
εἰς τοὺς ἔνερθε καὶ κάτω χθονὸς τόπους
ξὺν προσπόλοισιν, αἵτε φρουροῦσιν βρέτας
τοὐμὸν δικαίως. ὄμμα γὰρ πάσης χθονὸς

---

974. *χαίρετε* addidit Turnebus. *ἐν αἰσιμίαισι* Triclinius: *ἐναισιμίαισ* M. 977. *παρθένου* Robortellus: *παρθένουσ* M. 983. *προπομπῶν* Bentleius: *πρόπομπον* M. 984. *φεγγέων* Schoemannus. 985. *ἀτηρόν* Bentleius: *ἀτήριον* M. 986. *χώρᾳ* Paleius. 988. *ὑμεῖς* Turnebus: *ἡμεῖσ* M. 989. *μετοίκοις* Turnebus: *μέτοικοι* M. 992. *ἐπεὶ διπλοίζω* Wieselerus: *ἐπιδιπλοῖζω* M. 997. *εὖ σέβοντες* Turnebus. 999. *τε* Hermannus: *δὲ* M. 1002. *ξυμπροσπόλοισιν* M.

Θησῆδος ἐξίκοιτ' ἂν εὐκλεὴς λόχος
παίδων γυναικῶν καὶ στόλος πρεσβυτίδων 1005
φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασι.
τιμᾶτε, καὶ τὸ φέγγος ὁρμάσθω πυρός,
ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς
τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ.

(Prosequentium caterva)

str. 1. *βᾶτε δόμῳ, μεγάλαι φιλότιμοι* 1010
Νυκτὸς παῖδες ἄπαιδες, ὑπ' εὔφρονι πομπᾷ,

(Praeco)

εὐφαμεῖτε δὲ πανδαμί.

(Caterva)

antistr. 1. *γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοισιν*
τιμαῖς καὶ θυσίαις περισέπται τύχαι τε.

(Praeco)

εὐφαμεῖτε δὲ πανδαμί. 1015

(Caterva)

str. 2. *Ἴλαοι δὲ καὶ εὐθύφρονες γᾷ*
δεῦρ' ἴτε, σεμναί, πυριδάπτῳ
λαμπάδι τερπόμεναι καθ' ὁδόν.

(Praeco)

ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.

1010. *αἱ προπομποί.*

---

post 1005 (immo 1003) hiare orationem statuit Hermannus. Cf. verba argumenti Aristophanis et Harpocrationis p. 89. *Αἰσχύλος ἐν Εὐμενίσιν εἰπὼν τὰ περὶ τὴν κρίσιν τὴν Ὀρέστου φησὶν ὡς ἡ Ἀθηνᾶ πραΰνασα τὰς Ἐρινύας ὥστε μὴ χαλεπῶς ἔχειν πρὸς τὸν Ὀρέστην Εὐμενίδας ὠνόμασεν.* 1007. *τιμᾶται* M. fort. *πρόβατε.* 1010. chori nota praefixa in M. *δόμῳ* Wellauerus: *ἐν δόμοι* M. 1011. *εὔφρονι* L. Dindorfius: *εὐθύφρονι* M. 1012. *πανδαμί* K: *χωρεῖτε* M, quod ex interpretamento textui illatum esse censeo. 1013. 14. fort. *ὠγυγίοις, ὡς | τιμαῖς καὶ θυσίαις περίσεπτα τύχητε.* 1014. *τιμαῖς* Hermannus: *καὶ τιμαῖσ* M. 1018. *λαμπα*, ab alia m. antiqua correctum in *λαμπάδι*, M. *ὁδόν* Boissonadius: *ὁδὸν δ'* M.

(Caterva)

antistr. 2. *σπονδαὶ δ' ἐς τὸ πᾶν ἔνδαιδες οἴκων* 1020
Παλλάδος ἀστοῖς. Ζεὺς [ὁ] πανόπτας
οὕτω Μοῖρά τε συγκατέβα.

(Praeco)

ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.

1020. *μετὰ λαμπάδων.*

1021. *ἀστοῖς Ζεὺς ὁ πανόπτας* Musgravius: *ἀστοῖσι Ζεὺσ παντόπτασ* M. subscriptum in M: *Εὐμενίδες Αἰσχύλου. σὺν θεῷ τέλος.*

ΑΙΣΧΥΛΟΥ ΙΚΕΤΙΔΕΣ.

(Dux chori)

Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως
στόλον ἡμέτερον νάιον ἀρθέντ'
ἀπὸ προστομίων λεπτοψαμάθων
Νείλου. Δίαν δὲ λιποῦσαι
χθόνα σύγχορτον Συρίᾳ φεύγομεν,
οὔτιν' ἐφ' αἵματι δημηλασίαν
ψήφῳ πόλεως γνωσθεῖσαι,
ἀλλ' αὐτογενῆ φυξανορίᾳ
γάμον Αἰγύπτου παίδων ἀσεβῆ τ'
ὀνοταζόμεναι.
Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος
καὶ στασίαρχος τάδε πεσσονομῶν
κύδιστ' ἀχέων ἐπέκρανε,
φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον,

1. ἱκετῶν ἔφορος. 3. *τινὲς τῆς Φάρου Αἰγύπτου· προπάροιθε γάρ ἐστιν. ἄμεινον δὲ τὰ στόμια ἀκούειν, πλεοναζούσης τῆς πρό. διὰ γὰρ τοῦ Ἡρακλεωτικοῦ στομίου τὴν φυγὴν ἐποιήσαντο.* 4. *ὁ δέ ἀντὶ τοῦ γάρ.* 6. *οὔτιν' ἐφ' αἵματι: οὐκ ἐφ' αἵματί τινι καταγνωσθεῖσαι ψήφῳ πόλεως δημοσίᾳ ἡμᾶς ἀπελαυνούσῃ.* 8. *φυξάνορα: γάμον φυγὴν ἀνδρῶν ἡμῖν ἐμποιοῦντα.* (14). *ἀμείνονα τῶν κακῶν ἐψηφίσατο τὴν φυγήν. κακὸν ὁ γάμος, κακὸν δὲ καὶ ἡ φυγή, αἱρετώτερον δὲ τὸ φεύγειν.* 9. *ὃν οὐ σέβομεν ἡμεῖς οὐδὲ τιμῶμεν.* 12. *τῆς συστάσεως ἡμῶν ἄρχων. ὑπτιούτων* (l. *ὑπὸ πεττῶν*) *λογιζόμενος.*

---

2. *νάϊον ἀρθέντ'* Turnebus: *ναῖον ἀρόεντ'* M. 3. *λεπτοψαμάθων* Pauwius: *λεπτομαθῶν* M. 4. *δῖαν* M. *λιποῦσαι* Turnebus: *λειποῦσαι* M. 6. *δημηλασίαν* Auratus: *δημηλασίαι* M. 8. *αὐτογενεῖ φυξανορίᾳ* Bambergerus: *αὐτογένητον φυλαξάνορα* (in margine *γρ. φυξάνορα*) M. 13. *ἀχαιῶν* M. 14. *διὰ κῦμ' ἅλιον* Hesychius 1, 190: *διακυμ... αλέον* M.

κέλσαι δ' Ἄργους γαῖαν, ὅθεν δὴ
γένος ἡμέτερον τῆς οἰστροδόνου
βοὸς ἐξ ἐπαφῆς κἀξ ἐπιπνοίας
Διὸς εὐχόμενον τετέλεσται.
τίν' ἂν οὖν χώραν εὔφρονα μᾶλλον
τῆσδ' ἀφικοίμεθα
σὺν τοῖσδ' ἱκετῶν ἐγχειριδίοις
ἐριόστέπτοισι κλάδοισι;
ων πόλις, ὧν γῆ καὶ λευκὸν ὕδωρ,
ὕπατοί τε θεοί, καὶ βαρύτιμοι
χθόνιοι θήκας κατέχοντες,
καὶ Ζεὺς σωτὴρ τρίτος, οἰκοφύλαξ
ὁσίων ἀνδρῶν, δέξαιθ' ἱκέτην
τὸν θηλυγενῆ στόλον αἰδοίῳ
πνεύματι χώρας· ἀρσενοπληθῆ δ'
ἑσμὸν ὑβριστὴν Αἰγυπτογενῆ,
πρὶν πόδα χέρσῳ τῇδ' ἐν ἀσώδει
θεῖναι, ξὺν ὄχῳ ταχυήρει
πέμψατε πόντονδ'· ἔνθα δὲ λαίλαπι
χειμωνοτύπῳ, βροντῇ στεροπῇ τ'
ὀμβροφόροισίν τ' ἀνέμοις ἀγρίας

21. τοῖς ἱκετηρίοις θαλλοῖς. 22. τοῖς στεφάνοις. 24. οἱ βαρέως τινύμενοι καταχθόνιοι θεοί. τὸ δὲ ὕπατοι ἀπὸ ἄλλης ἀρχῆς. 26. τρίτος οἰκοφύλαξ: ὁ τριτόσπονδος, ἢ ὁ τρίτος τῶν εἰρημένων. εἶπε γάρ, ὕπατοι θεοὶ καὶ χθόνιοι καὶ Ζεὺς σωτὴρ τρίτος. 27. δέξαιθ' ἱκέτην: δέξαιτο ἡμᾶς τῷ τῆς χώρας αἰδεσίμῳ πνεύματι, ὅ ἐστιν, αἰδῶ ἐπιπνεύσας τοῖς ἡμᾶς δεχομένοις Ἀργείοις. 31. πηλώδει. ψαμμώδει. τὴν γὰρ ψάμμον οὕτως φασίν, ὡς ὁ ποιητής (Il. Φ. 319—321). εἰλύσω ψαμάθοις, τόσην οἱ ἄσιν. 33. τὸ ἑξῆς οὕτως, πέμψατε πόντονδε, ἔνθα ἀντήσαντες λαίλαπι χειμωνοτύπῳ, βροντῇ, στεροπῇ τε, ὀμβροφόροισί τε ἀνέμοις ἀγρίας ἁλός, ὤλοιντο (ὄλοιντο Vict.).

15. κέλσαι Sophianus: κεασαι M. 16. οἰστροδόνου Turnebus: οἰστροδόμου M. 17. ἐπι...νοίας, eraso ut videtur π, M. 19. τίν' ἐν οὖν Burgesius: τίνα...οὖν M. 22. ἐριοστέπτοισι Scaliger: ἱεροστέπτοισι M. 29. 30. δ' ἑσμόν Turnebus: δεσμὸν M. 33. ἔνθα δέ Robortellus: ἐνθάδε M. 35. ὀμβροφόροισι M.

ἁλὸς ἀντήσαντες ὅλοιντο,
πρίν ποτε λέκτρων, ὧν Θέμις εἴργει,
σφετεριξάμενοι πατραδέλφειαν
τήνδ' ἀεκόντων ἐπιβῆναι.

(Chorus)

str. 1. νῦν δ' ἐπικεκλομένα
Δῖον πόρτιν ὑπερ-
πόντιον τιμάορ', Ἶνιν
ἀνθονομούσας προγόνου βοὸς ἐξ ἐπιπνοίας
Ζηνὸς ἔφαψιν· ἐπωνυμίᾳ δ' ἐπε-
κραίνετο μόρσιμος αἰὼν
εὐλόγως, Ἔπαφόν τ' ἐγέννασε·

antistr. 1. ὅντ' ἐπιλεξαμένα,
νῦν ἐν ποιονόμοις
ματρὸς ἀρχαίας τόποις τῶν
πρόσθε πόνων μνασαμένα, τά τε νῦν ἐπιδείξω
πιστὰ τεκμήρια τά τ' ἀνόμοια οἶδ' ἄ-
ελπτά περ ὄντα φανεῖται.
γνώσεται δὲ λόγους τις ἐν μάκει.

str. 2. εἰ δὲ κυρεῖ τις πέλας οἰωνοπόλων

37. ὧν τὸ δίκαιον ἡμᾶς εἴργει, διὰ τὸ μὴ θανατωθῆναι τὸν πατέρα. 38. ἀνεψιῶν τῶν ἐκ τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτῶν. 41. τὸν Ἔπαφον. ἐπικαλούμεθα τὸν Ἶνιν τῆς βοὸς τὴν ἐπαφὴν τὴν ἐξ ἐπιπνοίας τοῦ Διός. 42. τιμάορα: βοηθόν. 43. τὴν ἐξ ἐρωτικῆς διαθέσεως· ἐπέπνευσε γὰρ αὐτῷ ὁ ἔρως. 44. τῇ δὲ ἐπωνυμίᾳ ἐβεβαιοῦτο ὁ εὔμοιρος αὐτοῦ βίος· ὡς γὰρ τῆς γονῆς ἐφήψατο Ζεύς, οὕτως καὶ τῆς τύχης. 47. ἐπικαλουμένη. 48. ἐν Ἄργει, οὗ ἐνέμετο ἡ Ἰώ. 50. τῆς Ἰοῦς τοὺς πόνους ἐγὼ διηγουμένη. 51. τὸ ἐξῆς· ὃν ἐπικαλουμένη νῦν ἐν Ἄργει δείξω πιστὰ τεκμήρια, ὡς οὐ ξένος ὢν ἐλεύσεται, ἀλλ' εἰς προγόνων γῆν. 53. προϊόντος τοῦ λόγου. 54. τῶν φωνὰς οἰωνῶν γινωσκόντων.

---

38. *σφετεριξάμενοι* Hermannus: *σφετεριξάμενον* M. *πατραδέλφειαν* Pauwius: *πατραδελφίαν* M. 39. *ἀκόντων* Hermannus. 40. *ἐπικεκλομένα* Turnebus: *ἐπικεκλόμεναι* M. 42. *Ἶνιν* Hermannus: *Ἶνίν τ'* M. 43. *ἀνθονομούσας* Porsonus: *ανθονόμουστᾶσ* M, suprascripto *οσ*. *ἐπιπνοίας* Robortellus: *ἐπιπνοίαισ* M. 46. *δ' ἐγέννασεν·* | *ὅντ'* Porsonus: *δὲ ἐγέννασε ε*|*όντ'*, corr. in *δὲ γέννασ ε*|*όντ'*, M. 51. *τά τ'* in litura duarum litterarum additum in M. *γαιονόμοισι δ'* Hermannus.

ἔγγαιος οἶκτον οἰκτρὸν ἀίων,
δοξάσει τις ἀκούειν ὄπα τᾶς Τηρεΐας
μήτιδος οἰκτρᾶς ἀλόχου
κιρκηλάτου τ' ἀηδόνος,
antistr. 2. ἅτ' ἀπὸ χώρων ποταμῶν τ' ἐργομένα
πενθεῖ νέον οἶκτον ἠθέων·
ξυντίθησι δὲ παιδὸς μόρον, ὡς αὐτοφόνως
ὤλετο πρὸς χειρὸς ἔθεν
δυσμάτορος κότου τυχών.
str. 3. τὼς καὶ ἐγὼ φιλόδυρτος Ἰαονίοισι νόμοισι
δάπτω τὰν ἁπαλὰν νειλοθερῆ παρειὰν
ἀπειρόδακρύν τε καρδίαν.
γοεδνὰ δ' ἀνθεμίζομαι
δειμαίνουσα φίλους, τᾶσδε φυγᾶς
Ἀερίας ἀπὸ γᾶς
εἴ τις ἐστὶ κηδεμών.
antistr. 3. ἀλλά, θεοὶ γενέται, κλύετ' εὖ τὸ δίκαιον ἰδόντες,
ἢ καὶ μὴ τέλεον δόντες ἔχειν παρ' αἶσαν,
ὕβριν δ' ἐτύμως στυγοῦντες
πέλοιτ' ἂν ἔνδικοι γάμοις.

56. πλεονάζει τὸ τίς. Τηρείας μήτιδος: κατὰ παράφρασιν (περίφρασιν Dind.) τοῦ Τηρέως. 58. τῆς ὑπὸ κίρκων ἐλαυνομένης. 59. διωκομένη. 60. ἠθέων: τῶν συνήθων τόπων. 64. ἀντὶ τοῦ φωνῇ Ἑλληνικῇ. 65. τὴν ἐν τῷ Νείλῳ θερισθεῖσαν, ὅ ἐστι βλαστήσασαν ἐν Αἰγύπτῳ. ἀπὸ τῶν σταχύων δὲ ἡ μεταφορά. 67. γόεδνα: τῶν γόων τὸ ἄνθος ἀποτρέπομαι (ἀποδρέπομαι Robort.). 69. ἀερίας ἀπὸ γᾶς: σκοτεινῆς· μέλαινα γάρ ἐστιν. ἢ ὅτι ταπεινὴ καὶ τοῖς ἀπὸ θαλάσσης ὡς ὑπόγειος φαίνεται. 71. ἀλλὰ θεοί: ἀλλ' ὦ γενέται θεοὶ καλῶς τὸ δίκαιον ὁρῶντες. καὶ Ἡσίοδος (Opp. 9)· κλῦθι ἰδὼν ἀΐων τε. 72. τὴν τῶν Αἰγυπτιαδῶν. 74. ἐπὶ τοῖς νενομισμένοις καὶ δόξασιν ἡμῖν.

---

56. ἀκούειν Heathius: ἀκούων M. 58. κιρκηλάτας Hermannus. ἀηδόνος Turnebus: ἀηδονῆσ M. 59. ἅτ' ἀπὸ Victorius: ἃ τοπο, priore o ex α facto, M. 62. ἔθεν Porsonus: ἔο ἐν M. 64. φιλόδυρτος Heathius: φιλοδύρτοισ M. 65. εἰλοθερῆ Bothius. 71. γενέται Pauwius: οἱ γενέται M. 72. ηκαι M. leg. ἔχειν περ αἶσαν. 73. ἐτύμως b: ἑτοίμωσ M. στυγοῦντες Turnebus: στυγόντεσ M.

ἔστι δὲ κἀκ πολέμου τειρομένοις
βωμὸς ἀρῆς φυγάσιν
ῥῦμα, δαιμόνων σέβας.
str. 4. εἰθείη Διὸς εὖ παναλη-
θῶς. Διὸς ἵμερος οὐκ
εὐθήρατος ἐτύχθη.
παντᾶ τοι φλεγέθει
κἀν σκότῳ μελαίνᾳ
ξὺν τύχᾳ μερόπεσσι λαοῖς.
antistr. 4. πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώ-
τῳ, κορυφᾷ Διὸς εἰ
κρανθῇ πρᾶγμα τέλειον.
δαυλοὶ γὰρ πραπίδων
δάσκιοί τε τείνου-
σιν πόροι κατιδεῖν ἄφραστοι.
str. 5. ἰάπτει δ' ἐλπίδων ἀφ' ὑψιπύρ-
γων πανώλεις βροτούς,
βίαν δ' οὔτιν' ἐξοπλίζει
τὰν ἄποινον δαιμονίων

75. ἔστι δὲ κἀκ π^{o}: καὶ τοῖς ἐκ πολέμου δὲ τειρομένοις καὶ φεύγουσιν ὁ βωμὸς διὰ τὸ τῶν δαιμόνων σέβας ῥῦμα τῆς βλάβης ἐστίν. ἢ οὕτως· καὶ τοῖς ὑπὸ πολέμου τειρομένοις καὶ τετραμμένοις εἰς φυγὴν ὁ βωμὸς Ἄρης ἐστίν· ὑπερμαχεῖ γὰρ αὐτῶν καὶ οὐδὲν πάσχουσι διὰ τὸ σέβας τῶν θεῶν. 79. γνωμικῶς παρὰ τὸ ἀνὴρ δέ κεν οὔτι Διὸς νόον εἰρύσσαιτο (Hom. Il. Θ. 143). 81. πάντα τοι φλεγέθει: ἐν παντὶ τόπῳ λάμπει, κἂν διὰ σκότου χωρῇ. τοῖς μὲν ἀνθρώποις οὐκ εὐσύνοπτός ἐστιν, ἀλλὰ μέλαινά τις αὐτοῖς (αὐτοὺς Vict.) κατέχει συντυχία. 84. εἰ δέ τι ἀνυσθῇ τῷ νεύματι τοῦ Διός, ἀσφαλῶς πίπτει καὶ εὐσχημόνως. τὸ γὰρ ἐπὶ νώτῳ πίπτειν τοὺς παλαιστὰς ἄσχημόν ἐστιν. εὐσχημόνως. ἀσχημόνως. ἀσφαλῶς ἀποβαίνει. 87. 88. πυκνοὶ γάρ εἰσιν οἱ τῶν πραπίδων αὐτοῦ τοῦ Διὸς πόροι. 91. τοὺς τοῦ ὀλέσθαι ἀξίους, ὅ ἐστι κακούς.

---

75. *πολέμου* Robortellus: *πτολέμου* M. 76. *ἀρῆς* b et schol.: *ἄρησ* M. 81. *πάνται* M. 82. 83. *μέλαιναι ξυντύχαι* M. 89. *τίνουσι* M sec. Merkelium. 89. *κατιδεῖν* Robortellus: *κατειδεῖν* M. 90. *δ' ἐλπίδων* Hermannus: *δὲ ἐπϊδὼν* M. 93. *πᾶν ἄπονον* Wellauerus.

ἥμενον ἄνω φρόνημά πως
αὐτόθεν ἐξέπραξεν ἔμ-
πας ἑδράνων ἀφ' ἁγνῶν.
antistr. 5. ἰδέσθω δ' εἰς ὕβριν βρότειον, οἷ-
α νεάζει πυθμὴν
δι' ἁμὸν γάμον τεθαλὼς
δυσπαραβούλοισι φρεσίν,
καὶ διάνοιαν μαινόλιν
κέντρον ἔχων ἄφυκτον, ἄ-
ταν δ' ἀπάτᾳ μεταγνούς.

str. 1. τοιαῦτα πάθεα μέλεα θρεομένα δ' ἐγὰ
λιγέα βαρέα δακρυοπετῆ,
ἰὴ ἰή,
ἰηλέμοισιν ἐμπρεπῆ
ζῶσα γόοις με τιμῶ.
ἱλέομαι μὲν Ἄπίαν βοῦνιν,
καρβᾶνα δ' αὐδὰν
εὖ, γᾶ, κοννεῖς.
πολλάκι δ' ἐμπίτνω ξὺν λακίδι

94. ἥμενον ἄνω φρόνημα: τὸ δὲ φρόνημα αὐτοῦ ἐπὶ τῶν ἁγνῶν ἑδρασμάτων ἐφήμενον ἐξέπραξε τὸν σκοπὸν ἑαυτοῦ αὐτόθεν ἀπὸ τῶν ἁγνῶν ἑδρασμάτων, ὅ ἐστι τοῦ οὐρανοῦ. ἢ τὸ ἄνω ἱδρυμένον, ἢ τὸ ἑδραῖον. 98. πυθμήν: αὐτὸς ὁ Αἴγυπτος. 99. τὸ θάλος: ἡ ῥίζα τῶν πεντήκοντα παίδων, ὅ ἐστιν αὐτὸς ὁ Αἴγυπτος. 101. οὐ φύλλοις, ἀλλὰ τῇ ἀνοίᾳ τῶν παίδων ἑαυτοῦ καὶ διάνοιαν μαινόλιν ἔχων, ὅπερ ἐστὶ κέντρον ἄφυκτον. 103. τῇ ἀπατητικῇ. 105. δακρυοπετῆ: παρασκευαστικὰ τοῦ πίπτειν τὰ δάκρυα τῶν ἀκουόντων. 108. ἱλάσκομαι. τὴν γῆν κατὰ βαρβάρους. 110. ὡς (ὦ Dind.) γῆ νοεῖς καὶ τὴν βάρβαρον φωνήν.

---

96. ἀφ' anonymus Spanhemii: ἐφ' M. 97. ἑσ M. 99. τεθαλάς Bothius: τὸ θάλοσ M. 100. δυσπαραβούλοισιν M. leg. φρασίν. 101. μαινόλιν Turnebus: μενόλιν M. 102. 103. ἅταν Ald.: ἅται (ι in litura) M. ἀπάται (ι in litura) M. 104. δ' ἐγά Engerus: λέγων M. 106. post ἐμπρέπῃ (ἐμπρεπῆ Turnebus) separato versu θρεομένη μέλη addit M. delevit Porsonus. 107. ζῶσα το οισ με τιμᾶι margo M. 108. ἱλέομαι Turnebus: ἱλέωμαι M. 110. εὖ, γᾶ, κοννεῖς Boissonadius: εὐακοννεῖσ M.

λίνοισιν ἢ Σιδονίᾳ καλύπτρᾳ.
antistr. 1. Θεοῖς δ' ἐναγέα τέλεα πελομένων καλῶς
ἐπίδρομ' ὁπόθι θάνατος ἀπῇ.
ἰὼ ἰώ,
ἰὼ δυσάγκριτοι πόνοι.
ποῖ τόδε κῦμ' ἀπάξει;
ἱλέομαι μὲν Ἀπίαν βοῦνιν,
καρβᾶνα δ' αὐδὰν
εὖ, γᾶ, κοννεῖς.
πολλάκι δ' ἐμπίτνω ξὺν λακίδι
λίνοισιν ἢ Σιδονίᾳ καλύπτρᾳ.
str. 2. πλάτα μὲν οὖν λινορραφής
τε δόμος ἅλα στέγων δορὸς
ἀχείματόν μ' ἔπεμπε σὺν πνοαῖς·
οὐδὲ μέμφομαι· τελευ-
τὰς δ' ἐν χρόνῳ
πατὴρ ὁ παντόπτας
πρευμενεῖς κτίσειεν,
σπέρμα σεμνᾶς μέγα ματρὸς
εὐνὰς ἀνδρῶν, ἔ ἔ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.

112. τῷ κεφαλοδέσμῳ. 113. Θεοῖς δ' ἐναγέα: ὅπου δὲ θάνατος ἀπῇ, ἐκεῖ τῶν ἀνθρώπων εὐπραγούντων τιμαὶ τοῖς θεοῖς ἐπιτρέχουσιν. ἐναγέα δέ, ἐναγίσματα. 115. δυσδιάγνωστοι. 116. ἡμᾶς. 120. τῷ διασχισμῷ ἐμπίπτω. 122. λινορραφὴς δόμος δορός: ἡ ναῦς. παρόσον τρυπῶντες τὰς ναῦς σπάρτοις αὐτὰς συνέρραπτον. καὶ τὸ παρ' Ὁμήρῳ (Od. ξ. 383) νῆας ἀκειόμενον τὸ συρράπτοντες (l. — α) δηλοῖ. ὅθεν καὶ ἀκεστρίας τὰς ῥαπτρίας φασί. 123. τὴν θάλατταν εἴργων. 126. ἴσως οὖν πρὸς τὴν ἀρχὴν ἔσται καὶ τὸ τέλος. 129. ὁ Ἔπαφος. 131. λείπει τὸ δοίη.

---

112. ῆι M. σι..δονίαι, eraso ν, M. 114. ἐπίδρομ' ὁπόθι Hermannus: ἐπιδρόμωπόθι M. ἀπῇ schol.: ὅπηι M. 117. ἱλέωμαι M. 119. εὐγακόννισ M. 120. ἐνπιτνῶ M. 121. ἀίνοισιν ἢ σι..δονίαι, eraso ν, M. 124. ἀχείματον Turnebus: ἀχίματον M. σὺν πνοαῖς Porsonus: συμπνοιαῖσ M. 125. τελευτάς Burgesius: τελευτᾶσ M. 131. ἀδάματον Bothius: ἀδάμαντον M.

antistr. 2. θέλουσα δ' αὖ θέλουσαν ἁ-
γνά μ' ἐπιδέτω Διὸς κόρα,
ἔχουσα σέμν' ἐνώπι' ἀσφαλές·
παντὶ δὲ σθένει διωγ-
μοῖσι δ' ἀσφαλέας
ἀδμήτας ἀδμήτα
ῥύσιος γενέσθω,
σπέρμα σεμνᾶς μέγα ματρὸς
εὐνὰς ἀνδρῶν, ἢ ἔ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.
str. 3. εἰ δὲ μή, μελανθὲς
ἡλιόκτυπον γένος
τὸν γάιον, τὸν πολυξενώτατον
Ζῆνα τῶν κεκμηκότων
ἱξόμεσθα σὺν κλάδοις
ἀρτάναις θανοῦσαι,
μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων.
ἆ Ζήν, Ἰοῦς ἰὼ
μῆνις μάστειρ' ἐκ θεῶν.
κοννῶ δ' ἅταν γαμετᾶς
οὐρανόνικον. χαλεποῦ γὰρ ἐκ
πνεύματος εἶσι χειμών.
antistr. 3. καὶ τότ' οὐ δικαίοις

132. θέλουσάν με εἶναι ἁγνήν. 134. ἀσφαλῶς ἐπιδέτω με. 138. ἀντὶ τοῦ ῥυσάσθω ἡ παρθένος ἡμᾶς τὰς παρθένους. 142. εἰ δὲ μὴ ῥύσεται. 144. τὸν καταχθόνιον Ἅιδην. 149. ὦ Ζεῦ, ἡ παρὰ τῶν θεῶν μῆνις κατὰ Ἰοῦς ὠδῆς ἐστὶ καὶ μαστιγωτική. 152. τὴν τῆς Ἥρας τῆς ἐν ἀνδρὶ (ἀνδρείᾳ Dind.) νικώσης πάντας τοὺς ἐν οὐρανῷ θεούς. καὶ ἐφ' ἡμᾶς οὖν ἔφθασεν ἡ μῆνις τῆς Ἥρας. πρὸς τὸ ἄνω τοῦτο τὸν πολυξενώτατον Ζῆνα τῶν κεκμηκότων ἱξόμεσθα— χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμών. τὰ δ' ἄλλα διὰ μέσου ἀναπεφώνηται. 154. καὶ τότ' οὐ δικαίοις: τὸ ἑξῆς,

135. σθένει Heathius: σθένουσι M. 141. ἀδάμαντον M. 142. δέ Turnebus: δὴ M. 143. ἡλιόκτυπον Wellauerus: ἡ διόκτυπον M. 144. τὸν γάϊον Wellauerus: τὸνταιον M. 149. ἀζηνιουσιω M. 151. 152. γαμετᾶς οὐρανόνικον Victorius: γαμετουρανόνεικον M.

Ζεὺς ἐνέξεται λόγοις,
τὸν τᾶς βοὸς παῖδ' ἀτιμάσας, τὸν αὐ-
τός ποτ' ἔκτισεν γόνῳ,
νῦν ἔχων παλίντροπον
ὄψιν ἐν λιταῖσιν·
ὑψόθεν δ' εὖ κλύοι καλούμενος.
[*ἆ Ζήν, Ἰοῦς ἰὼ*
μῆνις μάστειρ' ἐκ θεῶν.
κοννῶ δ' ἅταν γαμετᾶς
οὐρανόνικον. χαλεποῦ γὰρ ἐκ
πνεύματος εἶσι χειμών.]

ΔΑ. παῖδες, φρονεῖν χρή· σὺν φρονοῦντι δ' ἥκετε
πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρί.
καὶ τἀπὶ χέρσου νῦν προμηθίαν λαβὼν
αἰνῶ φυλάξαι τἄμ' ἔπη δελτουμένας.
ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ,
σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι·
ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον
λεύσσω, ξὺν ἵπποις καμπύλοις τ' ὀχήμασιν.
τάχ' ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται
ὀπτῆρες εἶεν ἀγγέλων πεπυσμένοι.
ἀλλ' εἴτ' ἀπήμων εἴτε καὶ τεθηγμένος
ὠμῇ ξὺν ὀργῇ τόνδ' ἐπόρνυται στόλον,
ἄμεινόν ἐστι παντὸς εἵνεκ', ὦ κόραι,
πάγον προσίζειν τῶνδ' ἀγωνίων θεῶν.

καὶ τότ' οὐ δικαίοις ἐνεύξεται Ζεὺς λόγοις, νῦν ἔχων παλίντροπον ὄψιν λιταῖς. οὐκ εὐαπολόγητος ἔσται, φησίν, ὅταν ἡμᾶς παρίδῃ ἀπολλυμένους (— *ας* Vict.). 167. *ἐξάρχῳ.* 168. *ὡς τὰ ἐν θαλάσσῃ.* 169. *ἀπογραφουμένας* (*ἀπογραφομένας* Robort.). 177. *τὸν πρὸς ἡμᾶς στόλον μετὰ ὁρμῆς ποιεῖται.* 179. *στρογγύλα γάρ ἐστι τὰ ἱερεῖα καὶ γωνίας οὐκ ἔχοντα.*

155. *ἐνέξεται* Porsonus: *ἐνεύξεται* M. 161—165. ephymnium in M neglectum iterandum esse intellexit Canterus. 166. *προ*^{ε} praescriptum in M. *ἥκετε* Porsonus: *ἵκετε* M. 168. *προμήθειαν* M. *λαβών* Wordsworthius: *λαβεῖν* M. 176. *τεθηγμένος* Pearsonus: *τεθειμένος* M. 179. *τόνδ'* Turnebus.

κρεῖσσον δὲ πύργου βωμός, ἄρρηκτον σάκος.
ἀλλ' ὡς τάχιστα βᾶτε, καὶ λευκοστεφεῖς
ἱκετηρίας, ἀγάλματ' αἰδοίου Διός,
σεμνῶς ἔχουσαι διὰ χερῶν εὐωνύμων,
αἰδοῖα καὶ γοεδνὰ καὶ τὰ χρέα ἔπη
ξένους ἀμείβεσθ', ὡς ἐπήλυδας πρέπει,
τορῶς λέγουσαι τάσδ' ἀναιμάκτους φυγάς.
φθογγῇ δ' ἐπέσθω πρῶτα μὲν τὸ μὴ θρασύ,
τὸ μὴ μάταιον δ' ἐκ μετώπου σωφρονῶν
ἴτω προσώπων ὄμματος παρ' ἡσύχου.
καὶ μὴ πρόλεσχος μηδ' ἐφολκὸς ἐν λόγῳ
γένῃ· τὸ τῇδε κάρτ' ἐπίφθονον γένος.
μέμνησο δ' εἴκειν· χρεῖος εἶ ξένη φυγάς.
θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας.

ΧΟ. πάτερ, φρονούντως πρὸς φρονοῦντας ἐννέπεις.
φυλάξομαι δὲ τάσδε μεμνῆσθαι σέθεν
κεδνὰς ἐφετμάς· Ζεὺς δὲ γεννήτωρ ἴδοι.

ΔΑ. μή νυν σχόλαζε, μηχανῆς δ' ἔστω κράτος.

ΧΟ. θέλοιμ' ἂν ἤδη σοὶ πέλας θρόνους ἔχειν.

ΧΟ. ὦ Ζεῦ, κόπων οἴκτιρε μὴ ἀπολωλότας.

ΔΑ. ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος

ΧΟ. κείνου θέλοντος εὖ τελευτήσει τάδε.

ΔΑ. καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε.

181. λευκοῖς ἐρίοις ἐστεμμένας. 183. ὅ ἐστιν ἀντέχεσθε τῇ δεξιᾷ τῶν ἀγαλμάτων, τῇ ἀριστερᾷ τοὺς κλάδους κατέχουσαι. 190. πολλὰ προοιμιάζου. μήτε προτέρα κατάρχου τοῦ λόγου μήτε ἀμειβομένη μακρολόγει. 192. ἐπικουρίας χρῄζεις. 196. ὁ ἔφορος τοῦ γένους. 198. ὡς αὐτοῦ ἤδη καθεσθέντος. 199. μὴ μετὰ τὸ ἀπολέσαι οἰκτειρήσεις ἡμᾶς. 202. τὸν ἥλιον· ἐξανίστησι γὰρ ἡμᾶς ὡς ὁ ἀλεκτρυών.

---

180. *κρείσσων*, sed *ω* mutato in *ο*, M. 182. *ἱκτηρίας* Victorius. 183. *εὐωνύμων* Scaliger: *συνωνύμων* M. 184. *γόεδνα* Turnebus: *γοειδηα* M. *καὶ ζαχρεῖ' ἔπη* Bambergerus. 187. *φθογγῇ* Porsonus: *φθογγὴ* M. 188. *ἐκ σεσωφρονισμένων* Dindorfius. 192. *εἶ ξένη* Sophianus: *εἶξεν ἡ* M. 194. paragraphus praefixa in M, omissa deinde omni notatione usque ad vs. 236. *πρὸς φρονοῦσαν* Dindorfius. 195. *φυλάξομεν* Turnebus. 197. fort. *ἔστω τάχος*. post 198. excidit unus Danai versiculus. 199. *ἆ* Victorius: *ἰὰ* M. *οἴκτειρε* M. 202. *κικλήσκετε* Robortellus: *κικλίσκεται* M.

ΧΟ. καλοῦμεν αὐγὰς ἡλίου σωτηρίους.
ΔΑ. ἁγνόν τ' Ἀπόλλω φυγάδ' ἀπ' οὐρανοῦ θεόν.
ΧΟ. εἰδὼς ἂν αἶσαν τήνδε συγγνοίη βροτοῖς.
ΔΑ. συγγνοῖτο δῆτα καὶ παρασταίη πρόφρων.
ΧΟ. τίν' οὖν κικλήσκω τῶνδε δαιμόνων ἔτι;
ΔΑ. ὁρῶ τριαιναν τήνδε, σημεῖον θεοῦ.
ΧΟ. ἀλλ' εὖ τ' ἔπεμψεν εὖ τε δεξάσθω χθονί.
ΔΑ. Ἑρμῆς ὁδ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις.
ΧΟ. ἐλευθέροις νυν ἐσθλὰ κηρυκευέτω.
ΔΑ. πάντων δ' ἀνάκτων τῶνδε κοινοβωμίαν
σέβεσθ', ἐν ἁγνῷ δ' ἑσμὸς ὡς πελειάδων
ἴζεσθε κίρκων τῶν ὁμοπτέρων φόβῳ,
ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων γένος.
ὄρνιθος ὄρνις πῶς ἂν ἀγνεύοι φαγών;
πῶς δ' ἂν γαμῶν ἄκουσαν ἄκοντος πάρα
ἁγνὸς γένοιτ' ἄν; οὐδὲ μὴ 'ν Ἅιδου θανὼν
φύγῃ ματαίων αἰτίας πράξας τάδε·
κἀκεῖ δικάζει τἀμπλακήμαθ', ὡς λόγος,
Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας.
σκοπεῖτε κἀμείβεσθε τόνδε τὸν τρόπον,
ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾷ τόδε.
ΒΑ. ποδαπὸν ὅμιλον τόνδ' ἀνελληνόστολον
πέπλοισι βαρβάροισι καὶ πυκνώμασι

206. συγγένοιτο. 208. ἐν γραφῇ. τοῦ Ποσειδῶνος. 210. ὡς τῶν Αἰγυπτίων ἄλλως αὐτῶν (αὐτὸν Robort.) γραφόντων. 215. τῶν συγγενῶν ὑμῖν. τοῦ ὁμογενοῦς. 217. παρὰ πατρὸς ἄκοντος. 221. μεθ' ἃς οὐκ ἔστιν ἄλλη τιμωρία. 224. τὸν οὐχ Ἕλληνα κατὰ στολήν.

---

205. συγγνώῃ Robortellus: εὐγνώῃ M. 206. συγγνοῖτο Victorius: σύγνοιτο M. 207. κικλίσκω M. 213. δ' ἑσμός Auratus: δεσμὸσ M. 214. ἴζεσθε κίρκων Robortellus: ἴζεσθαι κρέκω (in marg. ἐξεσθε κέρκω) M. 216. ἂν ἀγνεύοι Plutarchus Romul. 9. et quaestt. Rom. 93. p. 286: ἀναινεύοι M. 217. γαμῶν Robortellus: γάμων M. 218. μὴ 'ν Turnebus: μὴν M. 219. ματαίων Schuetzius: μάταιον M. 220. τἀμπλακήμαθ', ὡς Canterus: ταπλα ἐν μαβωσ M. 222. τρόπον Stanleius: τόπον M. 224. ἀνελληνόστολον Bothius: ἀνέλληνα στόλον M. 225. πυκάσμασιν anonymus Burgesii.

χλίοντα προσφωνοῦμεν; οὐ γὰρ Ἀργολὶς
ἐσθὴς γυναικῶν οὐδ' ἀφ' Ἑλλάδος τόπων.
ὅπως δὲ χώραν οὔτε κηρύκων ὕπο,
ἀπρόξενοί τε, νόσφιν ἡγητῶν, μολεῖν
ἔτλητ' ἀτρέστως, τοῦτο θαυμαστὸν πέλει.
κλάδοι γε μὲν δὴ κατὰ νόμους ἀφικτόρων
κεῖνται παρ' ὑμῖν πρὸς θεοῖς ἀγωνίοις·
μόνον τόδ' Ἑλλὰς χθὼν συνοίσεται στόχῳ.
καὶ τἄλλα πόλλ' ἐπεικάσαι δίκαιον ἦν,
εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν.

ΧΟ. εἴρηκας ἀμφὶ κόσμον ἀψευδῆ λόγον.
ἐγὼ δὲ πρός σε πότερον ὡς ἔτην λέγω
ἢ τηρὸν ἥερου ῥάβδον, ἢ πόλεως ἀγόν;

ΒΑ. πρὸς ταῦτ' ἀμείβου καὶ λέγ' εὐθαρσὴς ἐμοί.
τοῦ γηγενοῦς γάρ εἰμ' ἐγὼ Παλαίχθονος
ἶνις Πελασγός, τῆσδε γῆς ἀρχηγέτης.
ἐμοῦ δ' ἄνακτος εὐλόγως ἐπώνυμον
γένος Πελασγῶν τήνδε καρποῦται χθόνα.
καὶ πᾶσαν αἶαν, ἧς δι' ἀγνὸς ἔρχεται
Στρυμών, τὸ πρὸς δύνοντος ἡλίου κρατῶ.
ὁρίζομαι δὲ τήν τε Περραίβων χθόνα
Πίνδου τε τἀπέκεινα, Παιόνων πέλας,

226. τρυφῶντα. 228. μὴ ἐπικηρυκευσάμεναι. 229. πρέσβεων. 231. Ἑλληνικῶν ἱκετῶν. 233. συμφωνήσει. 235. ἔμελλον ἂν στοχασμῷ τὰ καθ' ὑμᾶς λέγειν, εἰ μὴ φωνὴν εἴχετε. 236. περὶ τοῦ κόσμου ἡμῶν, ὅτι βάρβαρος. 237. νῦν δημότην. 238. φύλακα. 240. Παλαίχθων ὄνομα κύριον. 244. ἀντὶ τοῦ καὶ πάσης αἴας. 245. τοῦ πρὸς δυσμὰς μέρους Στρυμόνος κρατῶ. Στρυμὼν δὲ ποταμὸς Θρᾴκης.

---

226. προσφωνοῦμεν οὐ Robortellus: προσφωνουμένου M. 227. ἀπ' M. 228. οὔτε Hermannus: οὐδὲ M. 230. ἀτρέστως Sophianus: ἀκρέστως M. 234. κἄτ' ἄλλα Wellauerus. 236. paragrapho notat M. 238. ἤτηρον (corr. in ἢ τηρὸν) ἥερου ῥάβδον M, οἶμαι ἢ ἑρμοῦ ῥάβδον π. 239. paragrapho notat M. λέγ' εὐθαρσής Turnebus: λέγετ' εὐθαρσεῖσ M. 241. Πελασγός Canterus: πελασγοῦ M. 244. αἶαν, ἧς δι' ἀγνός Wordsworthius: αἰδνησ διάλγοσ M. 245. τὸ, corr. in τοῦ, M (in margine τό). 246. τήν τε Stanleius: τῆνδε M.

ὄρη τε Δωδωναῖα· συντέμνει δ'· ὅρος
ὑγρᾶς θαλάσσης· τῶνδε τἀπὶ τάδε κρατῶ.
αὐτῆς δὲ χώρας Ἄπίας πέδον τόδε
πάλαι κέκληται φωτὸς ἰατροῦ χάριν.
Ἄπις γὰρ ἐλθὼν ἐκ πέρας Ναυπακτίας
ἰατρόμαντις παῖς Ἀπόλλωνος χθόνα
τήνδ' ἐκκαθαίρει κνωδάλων βροτοφθόρων,
τὰ δὴ παλαιῶν αἱμάτων μιάσμασιν
χρανθεῖσ' ἀνῆκε γαῖα μηνείται ἄκη,
δρακονθόμιλον δυσμενῆ ξυνοικίαν.
τούτων ἄκη τομαῖα καὶ λυτήρια
πράξας ἀμέμπτως Ἄπις Ἀργεία χθονὶ
μνήμην τότ' ἀντίμισθον ηὗρετ' ἐν λιταῖς.
ἔχουσα δ' ἤδη τἀπ' ἐμοῦ τεκμήρια
γένος τ' ἂν ἐξεύχοιο καὶ λέγοις πρόσω.
μακράν γε μὲν δὴ ῥῆσιν οὐ στέργει πόλις.

XO. βραχὺς τορός θ' ὁ μῦθος, Ἀργεῖαι γένος
ἐξευχόμεσθα, σπέρματ' εὐτέκνου βοός·
καὶ ταῦτ' ἀληθῆ πάντα προσφύσω λόγῳ.

BA. ἄπιστα μυθεῖσθ', ὦ ξέναι, κλύειν ἐμοί,
ὅπως τόδ' ὑμῖν ἐστιν Ἀργεῖον γένος.
Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι
γυναιξίν ἐστε κοὐδαμῶς ἐγχωρίαις.

248. ὁ δὲ ὅρος ὁ ἡμέτερος τἀπὶ Δωδώνην ἔχει ἕως τῆς θαλάσσης· καὶ ἐπέκεινα δὲ τῶνδε κρατῶ. 252. τοῦ πέρατος. ἀνεχρόνισε δέ· τῶν γὰρ Ἡρακλειδῶν ναυσὶ διαβάντων εἰς Ἄργος οὕτως ἐκλήθη Ναύπακτος. 255. ὡς τῶν πολιτῶν αὐτοκτονησάντων. 257. τί ἀνῆκε; δρακόντων πλῆθος. 260. ἀντὶ τοῦ περιεποιήσατο. 266. ἀντὶ τοῦ ἀποδείξω.

249. *τἀπὶ τάδε* Canterus: *τ' απειτα δὲ* M. 255. *δή* Turnebus: *δὲ* M. 256. *χρανθεῖσ'* Robortellus: *χρανθεὶσ* M. *μηνίσασ' ἄχη* Martinus. 257. *δρακονθόμιλον* Wellauerus: *δράκο..νθ' ὅμιλο..ν* M. 259. *ἀμέμπτως Ἄπις* Turnebus: *μεμπτῶσ ἄπεισ'* M. 260. *ποτ' ἀντίμισθον* Turnebus: *ποντανπνεισθον* M. *εὗρετ* M. 261. *ἔχουσα δ'* Heimsoethius: *ἔχον δ' ἂν* (*γρ. ἔχουσαν* in marg.) M. 262. *γένος τ'* Robortellus: *γένοιτ'* M. *λέγοις πρόσω* Robortellus: *λέγοι προσωσ* M. 263. *γε μὲν δὴ ῥῆσιν* Sophianus: *γέ μιν δηρίσιν* M. 264. personae nota omissa in M. 267. paragrapho notat M. *ἄπιστα* Ald.: *ἄπειστα* M. 268. *ποθ'* Meinekius. 270. *γυναιξίν* Turnebus: *γυναιξὶ δ'* M.

καὶ Νεῖλος ἂν θρέψειε τοιοῦτον φυτόν,
Κύπριος χαρακτὴρ τ᾽ ἐν γυναικείοις τύποις
εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων·
Ἰνδάς τ᾽ ἀκούων νομάδας ἱπποβάμοσιν
εἶναι καμήλοις ἀστραβιζούσας, χθόνα
παρ᾽ Αἰθίοψιν ἀστυγειτονουμένας.
καὶ τὰς ἀνάνδρους κρεοβόρους δ᾽ Ἀμαζόνας,
εἰ τοξοτευχεῖς ἦτε, κάρτ᾽ ἂν ἤχασα
ὑμᾶς. διδαχθεὶς [δ᾽] ἂν τόδ᾽ εἰδείην πλέον,
ὅπως γένεθλον σπέρμα τ᾽ Ἀργεῖον τὸ σόν.

ΧΟ. κληδοῦχον Ἥρας φασὶ δωμάτων ποτὲ
Ἰὼ γενέσθαι τῇδ᾽ ἐν Ἀργείᾳ χθονί.

ΒΑ. ἦν ὡς μάλιστα, καὶ φάτις πολλὴ κρατεῖ.

ΒΑ. μὴ καὶ λόγος τις Ζῆνα μιχθῆναι βροτῷ;

ΧΟ. καὶ κρυπτά γ᾽ Ἥρας ταῦτα παλλαγμάτων.

ΒΑ. πῶς οὖν τελευτᾷ βασιλέων νείκη τάδε;

ΧΟ. βοῦν τὴν γυναῖκ᾽ ἔθηκεν Ἀργεία θεός.

ΒΑ. οὐκοῦν πελάζει Ζεὺς ἐπ᾽ εὐκραίρῳ βοΐ;

ΧΟ. φασίν, πρέποντα βουθόρῳ ταύρῳ δέμας.

ΒΑ. τί δῆτα πρὸς ταῦτ᾽ ἄλοχος ἰσχυρὰ Διός;

ΧΟ. τὸν πάνθ᾽ ὁρῶντα φύλακ᾽ ἐπέστησεν βοΐ.

272. καὶ γυναῖκες ἂν Κύπριαι ἀνδράσι μιγεῖσαι τέκοιεν καθ᾽ ὑμᾶς. 274. ἵπποις ἐοικυίαις κατὰ τὸ τάχος. 275. καμήλοις νωτοφορουμέναις (l. — ας) κατὰ τὴν χθόνα. ἀστράβη δὲ λέγεται ἡ νωτοφόρος ἡμίονος. 277. λείπει εἶναι. 281. ἴέρειαν. 285. αἱ περιπλοκαί. 286. τὰ νείκη Διὸς καὶ Ἥρας εἰς τί κατέληξαν; 287. τὴν διὰ τὴν (Ἥραν add. Weil.) γενομένην ὑπὸ Διὸς μεταμόρφωσιν τῆς Ἰοῦς τῇ θεᾷ προσῆψας (l. προσῆψεν).

---

271. θρέψειεν M. 272. κύπρισ, mut. in κύπριοσ, M. 274. Ἰνδάς Bothius: ἰνδούσ M. ἀκούω Robortellus. ἱπποβάμοσιν Turnebus: ἱπποβάμοισιν M. 275. ἀστραβιζούσα..σ M. 277. κρεοβόρους anonymus Butleri: κρεοβρότουσ M. 279. δ᾽ addidit Abreschius. 281—322. nullae personarum notae in M. 282. τῇδ᾽ ἐν Sophianus: τῇ ἰδεῖν M. 283. ἦν Hermannus: ἦν M. post hunc versum excidere chori ducis verba. 287. βοῦν τήν Canterus: βού..την M. 288. ἔτ᾽ Schuetzius. 289. πρέποντα Turnebus: πρέποντασ M. 290. δῆτα Victorius: δὴ M. πρὸς ταῦτ᾽ ἄλοχος Robortellus: προσταῦτα λόχοισ M. ἰσχυρὰ Διός Pauwius: χυραδιοσ M. 291. τὸ πᾶνθ᾽ M.

ΒΑ. ποῖον πανόπτην οἰοβουκόλον λέγεις;
ΧΟ. Ἄργον, τὸν Ἑρμῆς παῖδα γῆς κατέκτανε.
ΒΑ. τί οὖν ἔτευξε δ' ἄλλο δυσπότμῳ βοΐ;
ΧΟ. βοηλάτην μύωπα, κινητήριον.
ΒΑ. οἶστρον καλοῦσιν αὐτὸν οἱ Νείλου πέλας.
ΧΟ. τοιγάρ νιν ἐκ γῆς ἤλασεν μακρῷ δρόμῳ.
ΒΑ. καὶ ταῦτ' ἔλεξας πάντα συγκόλλως ἐμοί.
ΧΟ. καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο.
ΧΟ. καὶ Ζεύς γ' ἐφάπτωρ χειρὶ φιτύει γόνον.
ΒΑ. τίς οὖν ὁ Λῖος πόρτις εὔχεται βοός;
ΧΟ. Ἔπαφος ἀληθῶς ῥυσίων ἐπώνυμος.
ΧΟ. Λιβύη, μέγιστον γῆς καρπουμένη.
ΒΑ. τίν' οὖν ἔτ' ἄλλον τῆσδε βλαστημὸν λέγεις;
ΧΟ. Βῆλον δίπαιδα, πατέρα τοῦδ' ἐμοῦ πατρός.
ΒΑ. τὸ πάνσοφον νῦν ὄνομα τοῦτό μοι φράσον.
ΧΟ. Δαναός, ἀδελφὸς δ' ἐστὶ πεντηκοντάπαις.
ΒΑ. καὶ τοῦδ' ἄνοιγε τοὔνομ' ἀφθόνῳ λόγῳ.
ΧΟ. Αἴγυπτος. εἰδὼς δ' ἁμὸν ἀρχαῖον γένος
πράσσοις ἂν ὡς Ἀργεῖον ἀντήσας στόλον.
ΒΑ. δοκεῖτε [δή] μοι τῆσδε κοινωνεῖν χθονὸς
τἀρχαῖον. ἀλλὰ πῶς πατρῷα δώματα
λιπεῖν ἔτλητε; τίς κατέσκηψεν τύχη;
ΧΟ. ἄναξ Πελασγῶν, αἰόλ' ἀνθρώπων κακά.
πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταὐτὸν πτερόν.

297. δὶς αὐτὴν ἤλασε μακρῷ δρόμῳ. 298. συγκόλλως: συμφώνως. 304. ὁ Εὐριπίδης πέντε φησὶ παῖδας εἶναι Βήλου, Αἴγυπτον, Δαναόν, Φοίνικα, Φινέα, Ἀγήνορα. 306. τοῦ πατρός σου.

---

294. ἔτευξεν ἄλλο Turnebus. 296. Ἰνάχου Hermannus. πέλας Turnebus: πέδας (οἶμαι παῖδες in margine) M. 297. γῆς Canterus: τῆσ M. post 299 excidit regis versiculus, item post 302. 300. φιτύει Scaliger: φυτεύει M. 301. τίς Stanleius: τί M. 303. γῆς πέδον καρπουμένη Krusius. 307. ἀδελφὸς δ' ἐστί Scaliger: δ' ἀδελφόσ ἐστιν M. πεντηκοντάπαις Heathius: πεντηκοστόπαισ M. 308. τοῦδ' ἄνοιγε Porsonus: τοῦ δαναοίγε M. 309. εἰδὼς δ' Turnebus: δ' εἰδὼσ δ' M. 310. ἀνστήσασ, adscripto ἀντήσασ, M. 311. δή addidit Turnebus. 313. λειπεῖν ante corr. M. 315. δ' ἴδοις Turnebus: δείδοισ M. πτερόν idem: πότερον M.

ἐπεὶ τίς ηὔχει τήνδ' ἀνέλπιστον φυγήν,
κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς τὸ πρίν,
ἔχθει μεταπτοιοῦσαν εὐναίων γάμων;
ΒΑ. τί φῆς ἱκνεῖσθαι τῶνδ' ἀγωνίων θεῶν,
λευκοστεφεῖς ἔχουσα νεοδρέπτους κλάδους;
ΧΟ. ὡς μὴ γένωμαι δμωὶς Αἰγύπτου γένει.
ΒΑ. πότερα κατ' ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις;
ΧΟ. τίς δ' ἂν φίλους ὤνοιτο τοὺς κεκτημένους;
ΒΑ. σθένος μὲν οὕτως μεῖζον αὔξεται βροτοῖς.
ΧΟ. καὶ δυστυχούντων τ' εὐμαρὴς ἀπαλλαγή.
ΒΑ. πῶς οὖν πρὸς ὑμᾶς εὐσεβὴς ἐγὼ πέλω;
ΧΟ. αἰτοῦσι μὴ 'κδῶς παισὶν Αἰγύπτου πάλιν.
ΒΑ. βαρέα σύ γ' εἶπας, πόλεμον αἴρεσθαι νέον.
ΧΟ. ἀλλ' ἡ δίκη γε ξυμμάχων ὑπερστατεῖ.
ΒΑ. εἴπερ γ' ἀπ' ἀρχῆς πραγμάτων κοινωνὸς ἦν.
ΧΟ. αἰδοῦ σὺ πρύμναν πόλεος ὧδ' ἐστεμμένην.
ΒΑ. πέφρικα λεύσσων τάσδ' ἕδρας κατασκίους.
ΧΟ. βαρύς γε μέντοι Ζηνὸς ἱκεσίου κότος.

(Chorus)

str. 1. Παλαίχθονος τέκος, κλῦθί μου
πρόφρονι καρδίᾳ, Πελασγῶν ἄναξ.
ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον,

319. διὰ τί λέγεις ἐληλυθέναι. 322. ἢ ὅτι ἀθέμιτος γάμος; ᾤετο γὰρ αὐτὰς ἐκδεδόσθαι ἤδη ἄλλοις ἀνδράσιν. 323. κατ' ἔχθραν δηλονότι. τίς γὰρ τοὺς ἄνδρας δεσπότας ὤνοιτο (ὔνοιτο Dind.); 330. συνέπρασσον ὑμῖν, εἰ ἀρχὴν προφάσεως εἶχον. 332. τοῖς θαλλοῖς ἱκετηρίων κλάδων πεπληρωμένας.

316. ἐπή τισ M sec. Merkel., ἐπεί τισ sec. reliquos. 317. κέλσειν Robortellus: κέλσειεν M. 318. ἔχθει μεταπτοιοῦσαν Turnebus: ἔχει μετὰ πτοίουσαν M. 320. νεοδρέπτοισ κλάδοισ ante correcturam M. 322. paragraphus praefixa in M, item 326—331. 341. Versui 334 adscripta chori nota. 325. γ' Turnebus. 327. 'κδούς Schuetzius. 328. αἴρασθαι M sec. Merkelium, 'αἴρεισθαι M, non certo ει et ut supra accentus deletus sit, quem primae syllabae m. sec. adiecit' Herm. 330. κοινωνόσ Sophianus: κοινὸσ, sed ὸσ in litura, M. 331. πόλεοσ et ἐστεμμένην Turnebus: πόλεωσ et ἐστεμμένη M. 332. πέφρικα λεύσσων τάσδ' ἕδρασ Robortellus et Victorius: πέφυκα λεύσων τὰσδέδρα M. 334. τόκοσ, corr. in τέκοσ, M. 336. με τάν Victorius: μέγαν M. ἱκέτην ante corr. (ἱκϊέτν Merkel.) M.

λυκοδίωκτον ὡς δάμαλιν ἀμπέτραις
ἠλιβάτοις, ἵν' ἀλκᾷ πίσυνος μέμυκε
φράζουσα βοτῆρι μόχθους.
ΒΑ. ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον
νέον θ' ὅμιλον τῶνδ' ἀγωνίων θεῶν.
εἴη δ' ἄνατον πρᾶγμα τοῦτ' ἀστοξένων,
μηδ' ἐξ ἀέλπτων κἀπρομηθήτων πόλει
νεῖκος γένηται· τῶν γὰρ οὐ δεῖται πόλις.
antistr. 1. ΧΟ. ἴδοιτο δῆτ' ἄνατον φυγὰν
ἱκεσία Θέμις Διὸς κλαρίου.
σὺ δὲ παρ' ὀψιγόνου μάθε γεραφρόνων·
ποτιτρόπαιον αἰδόμενος οὖν περ
ἱεροδόκα θεῶν λήμματ' ἀπ' ἀνδρὸς ἁγνοῦ.
ΒΑ. οὗτοι κάθησθε δωμάτων ἐφέστιοι
ἐμῶν. τὸ κοινὸν δ' εἰ μιαίνεται πόλις,
ξυνῇ μελέσθω λαὸς ἐκπονεῖν ἄκη.
ἐγὼ δ' ἂν οὐ κραίνοιμ' ὑπόσχεσιν πάρος,
ἀστοῖς δὲ πᾶσι τῶνδε κοινώσας πέρι.
str. 2. ΧΟ. σύ τοι πόλις, σὺ δὲ τὸ δήμιον,
πρύτανις ἄκριτος ὤν,
κρατύνεις βωμόν, ἑστίαν χθονός,

338. γῆ (τῇ M. Schmidt) τοῦ ὄρους. 339. τῷ ἑαυτῆς βοτῆρι σημαίνουσα τοὺς διωγμούς. 340. ὁρῶ ὅμιλον θεῶν ἐστεμμένων ἱκετηρίαις. 342. τῶν νῦν μὲν ξένων, πρώην δὲ συνημμένων τῷ ἄστει. 345. τὴν μὴ ἐπὶ βλάβῃ τινὸς γεγονυῖαν. 346. παντάπασι κληροῦντος καὶ κραίνοντος. 347. παρ' ἐμοῦ τῆς νεωτέρας ὁ γέρων. 348. οὐ πτωχεύσεις. 349. οἱ θεοὶ δέχονται τὰ ἀπὸ ἀνδρὸς ἁγνοῦ ἱερά. 350. οὐ πρὸς τὴν ἑστίαν τῶν ἐμῶν δωμάτων· ἀντὶ τοῦ οὐκ ἰδίᾳ πρὸς ἐμὲ ποιεῖσθε τὰς ἱκεσίας, ἀλλὰ πρὸς πᾶσαν τὴν πόλιν. 351. εἰ δὲ τὸ κοινὸν μιαίνεται, ὅ ἐστιν ἡ πόλις. 356. ἀνυπεύθυνος.

337. λυκοδίωκτον Hermannus: λευκόδικτον M. 338. ἠλιβάτοις ἵν' Valckenaerius: ἠλιβάτοισιν M. 341. νεόνθ' Bambergerus, τόνδ' Hermannus. 345. χ praefixum in M. δῆτ' ἄνατον Pauwius: δῆτα τὰν ἄνατον M. 349. λήμματ' Turnebus: λήματ' M. 350. paragrapho notat M. 352. ἐκπονεῖν Turnebus: ἐκπνοεῖν M. 353. πάρος Sophianus: παρακρος M. 354. ἀστοῖς et τῶνδε Scaliger: ἀστῶν et τοῖσδε M. 355. paragraphus praefixa in M.

μονοψήφοισι νεύμασιν σέθεν,
μονοσκήπτροισι δ' ἐν θρόνοις χρέος
πᾶν ἐπικραίνεις· ἄγος φυλάσσου.
ΒΑ. ἄγος μὲν εἴη τοῖς ἐμοῖς παλιγκότοις,
ὑμῖν δ' ἀρήγειν οὐκ ἔχω βλάβης ἄτερ·
οὐδ' αὖ τόδ' εὔφρον, τάσδ ἀτιμάσαι λιτάς.
ἀμηχανῶ δὲ καὶ φόβος μ' ἔχει φρένας
δρᾶσαί τε μὴ δρᾶσαί τε καὶ τύχην ἑλεῖν.
antistr. 2. ΧΟ. τὸν ὕψόθεν σκοπὸν ἐπισκόπει,
φύλακα πολυπόνων
βροτῶν, οἳ τοῖς πέλας προσήμενοι
δίκας οὐ τυγχάνουσιν ἐννόμου.
μένει τοι Ζηνὸς ἱκταίου κότος
δυσπαραθέλκτοις παθόντος οἴκτοις.
ΒΑ. εἶ τοι κρατοῦσι παῖδες Αἰγύπτου σέθεν,
νόμῳ πόλεως φάσκοντες ἐγγύτατα γένους
εἶναι, τίς ἂν τοῖσδ' ἀντιωθῆναι θέλοι;
δεῖ τοί σε φεύγειν κατὰ νόμους τοὺς οἴκοθεν,
ὡς οὐκ ἔχουσι κῦρος οὐδὲν ἀμφὶ σοῦ.
str. 3. ΧΟ. μή τί ποτ' οὖν γενοίμαν ὑποχείριος
κράτεσιν ἀρσένων. ὕπαστρον δέ τοι

361. ἐχθροῖς. 365. καὶ τοῦ συμφέροντος ἐπιτυχεῖν. 367. τὸν ξένιον καὶ ἱκέσιον Δία τὸν φύλακα τῶν ἀτυχούντων, οἵτινες τοῖς πέλας προσιζάνοντες οὐ μεταλαμβάνουσι τῆς δίκης, ἀλλ' ὑπερορῶνται. 370. τοῖς θρήνοις τῶν πασχόντων συμμαχεῖ ὁ τοῦ Διὸς χόλος. 378. τὴν δὲ τοῦ γάμου μηχανὴν ὀριοῦμαι τοῖς ἄστροις· ἀντὶ τοῦ μηχανήσομαι φεύγειν δι' ὁδοῦ μακρᾶς τὸν γάμον. οἱ γὰρ μακρὰν ὁδὸν φεύγοντες δι' ἄστρων σημαίνεσθαι ἔλεγον (ἐλέγοντο Weil.).

---

359. θρόνοις Sophianus et Pauwius: χρόνοισι M. 360. ἄγος Robortellus: ἄλγος M. 361. paragrapho notatur in M. 365. μὴ δρᾶσαί τε Robortellus: μηδράσητε M. 366. paragrapho notatus in M. ἐπισκόπει Robortellus: ἐπισκοπεῖ M. 371. δυσπαράθελκτος Schuetzius: ὦ δυσπαρθέλκτοισ (δυσπαρθενήτοισ in margine) M. δυσπαραθέλκτους Weilius. 372. personae nota deest in M. 374. τίς Victorius: τίσδ' M. θέλει οἱ M. 375. leg. δεῖ τοί σ' ἐφευρεῖν. 376. ἔχουσιν M. 377—421. personarum vices paragraphis notatae in M. 377. ὑποχείριος Robortellus: ὑποχέριοσ M.

μῆχαρ ὁρίζομαι γάμου δύσφρονος
φυγαί. ξύμμαχον δ' ἑλόμενος δίκαν
κρῖνε σέβας τὸ πρὸς Θεῶν.
ΒΑ. οὐκ εὔκριτον τὸ κρῖμα· μή μ' αἱροῦ κριτήν.
εἶπον δὲ καὶ πρίν, οὐκ ἄνευ δήμου τάδε
πράξαιμ' ἄν, οὐδέ περ κρατῶν, καὶ μήποτε
εἴπῃ λεώς, εἴ πού τι καὶ μὴ τοῖον τύχοι·
ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν.
antistr. 3. *ΧΟ.* ἀμφοτέρους ὁμαίμων τάδ' ἐπισκοπεῖ
Ζεὺς ἑτερορρεπής, νέμων εἰκότως
ἄδικα μὲν κακοῖς, ὅσια δ' ἐννόμοις.
τί τῶνδ' ἐξ ἴσου ῥεπομένων μεταλ-
γεῖς τὸ δίκαιον ἔρξαι;
ΒΑ. δεῖ τοι βαθείας φροντίδος σωτηρίου,
δίκην κολυμβητῆρος ἐς βυθὸν μολεῖν
δεδορκὸς ὄμμα, μηδ' ἄγαν ὠνωμένον,
ὅπως ἄνατα ταῦτα πρῶτα μὲν πόλει,
αὐτοῖσί θ' ἡμῖν ἐκτελευτήσει καλῶς,
καὶ μήτε δῆρις ῥυσίων ἐφάψεται
μήτ' ἐν Θεῶν ἕδραισιν ὦδ' ἱδρυμένας
ἐκδόντες ὑμᾶς τὸν πανώλεθρον Θεὸν
βαρὺν ξύνοικον θησόμεσθ' ἀλάστορα,
ὃς οὐδ' ἐν Ἅιδου τὸν θανόντ' ἐλευθεροῖ.
μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου;
str. 4. *ΧΟ.* φρόντισον καὶ γενοῦ πανδίκως
εὐσεβὴς πρόξενος,
τὰν φυγάδα μὴ προδῷς,

388. αὐτὸς ἐπεξηγήσατο τί ἐστιν ἑτερορρεπής. 390. εἰ ὁ Ζεὺς τὸ ἴσον φυλάττει, τί ἀπορεῖς συμμαχῆσαι τῷ Διί; 392. δεῖ δὴ εἰς βυθὸν μολεῖν φροντίδος βαθείας σωτηρίου, δίκην κολυμβητῆρος. τοῦτο δὲ τοῖς σπογγοτόμοις συμβαίνει, τὸ πόρρωθεν σκοπεῖν καὶ περιβλέπεσθαι. 397. ἀντὶ τοῦ ἱκετίδων.

---

385. *τύχοι* Porsonus: *τυχθῇ* M. 386. *ἐπήλυδας* Robortellus: *εἰπήλυδασ* M. 394. *ὠνωμένον* Porsonus: *ὠνωμένων* M. 400. *θησόμεσθ'* Victorius: *θησόμεθ'* M. 401. *ὃς οὐδ' ἐν* Victorius: *ὡς οὐδὲν* M. 402. *δοκεῖ δεῖν* Turnebus: *δοκεῖν δεῖ* M.

τὰν ἔκαθεν ἐκβολαῖς
δυσθέοις ὀρμέναν·
antistr. 4. μηδ' ἴδῃς μ' ἐξ ἑδρᾶν πολυθέων
ῥυσιασθεῖσαν, ὦ
πᾶν κράτος ἔχων χθονός.
γνῶθι δ' ὕβριν ἀνέρων,
καὶ φύλαξαι κότον.
str. 5. μή τι τλῇς τὰν ἱκέτιν εἰσιδεῖν
ἀπὸ βρετέων βίᾳ δίκας ἀγομέναν
ἱππηδὸν ἀμπύκων
πολυμίτων πέπλων τ' ἐπιλαβὰς ἐμῶν.
antistr. 5. ἴσθι γάρ, παισὶ τάδε καὶ δόμοις,
ὁπότερ' ἂν κτίσῃς, μένει δορὶ τίνειν
ὁμοίαν θέμιν.
τάδε φράσαι δίκαια Διόθεν κράτη.
ΒΑ. καὶ δὴ πέφρασμαι· δεῦρο δ' ἐξοκέλλεται·
ἢ τοῖσιν ἢ τοῖς πόλεμον αἴρεσθαι μέγαν
πᾶσ' ἔστ' ἀνάγκη· καὶ γεγόμφωται σκάφος
στρέβλαισι ναυτικαῖσιν ὡς προσηγμένον.
ἄνευ δὲ λύπης οὐδαμοῦ καταστροφή.
καὶ χρημάτων μὲν ἐκ δόμων πορθουμένων
ἄτην γε μείζω καὶ μέγ' ἐμπλήσας γόμου
γένοιτ' ἂν ἄλλα κτησίου Διὸς χάριν·

407. διωγμοῖς ἀθέοις. 412. τὸν τοῦ Διός. 414. παρὰ βούλησιν τῆς δίκης. 415. ὡς ἵππον τῆς ἄμπυκος ἑλκομένην. 416. τὰς ἐπιλήψεις τῶν πέπλων μου. 417. λείπει ὅτι. ἀπὸ κοινοῦ τὸ μὴ τλαίης ἰδεῖν. 419. δίκαιόν ἐστιν ἀποδιδόναι ὁμοίαν δίκην· αἶκε πάθῃ τά κ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο (Hesiod. fr. 217 G.). 421. οὕτως ἀποβαίνει. 422. ἢ τοῖς θεοῖς, ἢ τοῖς Αἰγυπτιάδαις. 427. τοῦ Διὸς ἐμπιμπλῶντος καὶ γεμίζοντος ἄτης τὸν γόμον.

---

407. ὀρμέναν Pauwius: ὀρομέναν M. 413. τλῇς τάν Pauwius: τ' ἀαῖσταν (in margine οἶμαι μήτι τλαίησ τὰν ἱκέτιν m) M. 416. πολυμίτων Turnebus: πολυμήτων M. 418. μένει δορὶ τίνειν Boissonadius: μενει δρεικτείνειν M. 419. ὁμοίαν Klausenus. 426. χρήμασι, sed adscripto in margine χρημάτων, M.

καὶ γλῶσσα τοξεύσασα μὴ τὰ καίρια,
γένοιτο μύθου μῦθος ἂν Θελκτήριος,
ἀλγεινὰ θυμοῦ κάρτα κινητήρια.
ὅπως δ' ὅμαιμον αἷμα μὴ γενήσεται,
δεῖ κάρτα θύειν καὶ πεσεῖν χρηστήρια
θεοῖσι πολλοῖς πολλά, πημονῆς ἄκη.
ἦ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι·
θέλω δ' ἄιδρις μᾶλλον ἢ σοφὸς κακῶν
εἶναι· γένοιτο δ' εὖ παρὰ γνώμην ἐμήν.
ΧΟ. πολλῶν ἄκουσον τέρματ' αἰδοίων λόγων.
ΒΑ. ἤκουσα, καὶ λέγοις ἄν· οὔ με φεύξεται.
ΧΟ. ἔχω στρόβους ζώνας τε, συλλαβὰς πέπλων.
ΒΑ. τύχαν γυναικῶν ταῦτα συμπρεπῆ πέλοι.
ΧΟ. ἐκ τῶνδε τοίνυν, ἴσθι, μηχανὴ καλή.
ΒΑ. λέξον· τίν' αὐδὴν τήνδε γηρύσασ' ἔσῃ;
ΧΟ. εἰ μή τι πιστὸν τῷδ' ὑποστήσεις στόλῳ
ΒΑ. τί σοι περαίνει μηχανὴ συζωμάτων;
ΧΟ. νέοις πίναξι βρέτεα κοσμῆσαι τάδε.
ΒΑ. αἰνιγματῶδες τοὔπος· ἀλλ' ἁπλῶς φράσον.
ΧΟ. ἐκ τῶνδ' ὅπως τάχιστ' ἀπάγξασθαι θεῶν.
ΒΑ. ἤκουσα μαστικτῆρα καρδίας λόγον.
ΧΟ. ξυνῆκας· ὠμμάτωσα γὰρ σαφέστερον.
ΒΑ. καὶ μὴν πολλαχῇ γε δυσπάλαιστα πράγματα,

429. ἀντὶ τοῦ γλώσσης τοξευσάσης, ὅ ἐστιν εἰπούσης. 434. τῆς προσδοκωμένης πημονῆς ἄκη. 435. καὶ τοῦτο ποιῶν ἐκτὸς ἔσομαι τοῦ νείκους θεοῖς ὑπηρετῶν. 436. μάντις ἀποβαίην φαῦλος. 440. τὰς στροφὰς τῶν ζωνῶν. 446. καινοῖς ἀναθήμασι τὰ ἀγάλματα τῶν θεῶν κοσμήσω. λέγει δὲ ὅτι μετεωρήσω ἐμαυτὸν τῇ ἀγχονῇ. 448. ἐξήρτημαι τῶν θεῶν. 449. ἤκουσα λόγον καρδίας δηκτικόν. 451. δυσμεταχείριστα. ἀπὸ κοινοῦ τὸ ἤκουσα.

---

430. *Θελκτήριος* Turnebus: *Θελκτηρίοισ* M. 432. *ὁμαίμων*, corr. in *ὁμαῖμον*, M. 438. persona non notata in M, item 441. 442. 445. 451, paragraphi additae 439. 440. 443. 444. 446—50. 440. *στρόφους* Spanhemius. 441. *τύχῃ* et *πέλει* Turnebus. 442. *καλή* Turnebus: *καλεῖ* M. 443. *λέξον* M. *γηρύσασ'* K: *γηρυθεὶσ* M. 444. *ὑποστήσεις* Wellauerus: *ὑποστήσει* M. 446. *πίναξιν* M. 447. *ἀλλ' ἁπλῶς* Abreschius: *ὀλλὰ πῶσ* M. 449. *μαστικτῆρα* Auratus: *μακιστῆρα* M.

κακῶν δὲ πλῆθος ποταμὸς ὡς ἐπέρχεται·
ἄτης δ' ἄβυσσον πέλαγος οὐ μάλ' εὔπορον
τόδ' ἐσβέβηκα, κοὐδαμοῦ λιμὴν κακῶν.
εἰ μὲν γὰρ ὑμῖν μὴ τόδ' ἐκπράξω χρέος,
μίασμ' ἔλεξας οὐχ ὑπερτοξεύσιμον·
εἰ δ' αὖθ' ὁμαίμοις παισὶν Αἰγύπτου σέθεν
σταθεὶς πρὸ τειχέων διὰ μάχης ἥξω τέλους,
πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρόν,
ἄνδρας γυναικῶν εἵνεχ' αἱμάξαι πέδον;
ὅμως δ' ἀνάγκη Ζηνὸς αἰδεῖσθαι κότον
ἱκτῆρος· ὕψιστος γὰρ ἐν βροτοῖς φόβος.
σὺ μέν, πάτερ γεραιὲ τῶνδε παρθένων,
κλάδους τε τούτους αἶψ' ἐν ἀγκάλαις λαβὼν
βωμοὺς ἐπ' ἄλλους δαιμόνων ἐγχωρίων
θές, ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ
πάντες πολῖται, μηδ' ἀπορριφθῇ λόγος
ἐμοῦ· κατ' ἀρχῆς γὰρ φιλαίτιος λεώς.
καὶ γὰρ τάχ' ἄν τις οἰκτίσας ἰδὼν τάδε
ὕβριν μὲν ἐχθήρειεν ἄρσενος στόλου,
ὑμῖν δ' ἂν εἴη δῆμος εὐμενέστερος·
τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει.
ΔΑ. πολλῶν τάδ' ἡμῖν ἐστιν ἠξιωμένα,
αἰδοῖον εὑρεθέντα πρόξενον λαβεῖν.
ὀπάονας δὲ φράστοράς τ' ἐγχωρίων
ξύμπεμψον, ὡς ἂν τῶν πολισσούχων θεῶν
βωμοὺς προνάους καὶ πολισσούχους ἕδρας

456. ἀνυπέρβλητον. 459. τὸ πτῶμα τῶν σωμάτων. 462. ὁ τούτου φόβος μέγας ἐστὶν ἐν βροτοῖς. 468. τοὺς γὰρ ἄρχοντας ἐν ταῖς τοιαύταις περιστάσεσιν εἴωθεν αἰτιᾶσθαι ὁ λαός. 472. ὡς καὶ πρὸς τὸν εὖ ἔχοντα ὁ φθόνος ἕρπει. 475. τοὺς φράσοντας.

---

454. *ἐσβέβηκα* Turnebus et Schuetzius: *ἐσέβηκα* M. 457. *ὁμαίμοις* Turnebus: *ὁμαίμουσ* M. 460. *οὕνεχ'* M. 463. paragraphus adpicta in M. 464. *γε* Auratus. 467. *ψόγος* Coningtonus. 469. *οἰκτίσας ἰδών* Linwoodius et Hermannus: *οἰκτοσ εἰσιδὼν* M. 470. *στόλον* ante corr. M. 473. deest personae nota in M. 474. *εὑρεθέντα* Porsonus: *εὖ ῥέοντα* M. *πρόξενον* Canterus: *προσξένον* M.

εὕρωμεν, ἀσφάλεια δ' ἥ δι' ἄστεως
στείχουσι· μορφῆς δ' οὐχ ὁμόστολος φύσις.
Νεῖλος γὰρ οὐχ ὅμοιον Ἰνάχῳ γένος
τρέφει. φύλαξαι μὴ θράσος τέκῃ φόβον·
καὶ δὴ φίλον τις ἔκταν' ἀγνοίας ὕπο.
ΒΑ. στείχοιτ' ἄν, ἄνδρες· εὖ γὰρ ὁ ξένος λέγει·
ἡγεῖσθε βωμοὺς ἀστικούς, θεῶν ἕδρας·
καὶ ξυμβόλοισιν οὐ πολυστομεῖν χρεὼν
ναύτην ἄγοντας τόνδ' ἐφέστιον θεῶν.
ΧΟ. τούτῳ μὲν εἶπας, καὶ τεταγμένος κλοι·
ἐγὼ δὲ πῶς δρῶ; ποῦ θράσος νέμεις ἐμοί;
ΒΑ. κλάδους μὲν αὐτοῦ λεῖπε, σημεῖον πόνου.
ΧΟ. καὶ δή σφε λείπω, χειρὶ καὶ λόγοις σέθεν.
ΒΑ. λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε.
ΧΟ. καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με;
ΒΑ. οὗτοι πτερωτῶν ἁρπαγαῖς [σ'] ἐκδώσομεν.
ΧΟ. ἀλλ' εἰ δρακόντων δυσφρόνων ἐχθίοσιν;
ΒΑ. εὔφημον εἴη τοὔπος εὐφημουμένῃ.
ΧΟ. οὗτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενός.
ΒΑ. ἀεὶ δ' ἀνάκτων ἐστὶ δεῖμ' ἐξαίσιον.
ΧΟ. σὺ καὶ λέγων εὔφραινε καὶ πράσσων φρένα.
ΒΑ. ἀλλ' οὔτι δαρὸν χρόνον ἐρημώσει πατήρ.
ἐγὼ δὲ λαοὺς συγκαλῶν ἐγχωρίους
πιστω, τὸ κοινὸν ὡς ἂν εὐμενὲς τιθῶ.

479. οὐχ ὅμοιοι τοῖς ἐγχωρίοις ἐσμέν, ὥστε λαθεῖν. 481. μὴ θαρρήσας μόνος ἀπελθεῖν φοβηθῶ ὑπό τινος. 484. τοὺς κατὰ τὰς ἕδρας τῶν θεῶν. 485. τοῖς συντυγχάνουσι. 488. ἀντὶ τοῦ παραγενομένης μου τὸ θράσος νέμεις. 492. τὸ πᾶσι βατὸν καὶ μὴ ἱερόν. 493. πτερωτῶν: δρακόντων.

478. ἀσφάλεια δ' ἥ δι' Turnebus: ἀσφαλείασ δὲ δι' M. ἄστεωσ M. 483. paragraphus adposita in M, item 487. 489. 484. ἀστικούς Turnebus: ἀστίκτουσ M. 485. ξυμβολοῦσιν Hermannus. 489. paragraphum additam habet M, omissa deinde omni notatione versuum 490—499. 490. χειρία λόγοις Valckenaerius. 491. ἐπιστρέφου Robortellus: ἐπιστρέφω M. 492. ἂν ἄλσοσ M. 493. ἁρπαγαῖς Turnebus: ἅρπαγεσ M. σ' addidit Porsonus. 497. ἀεὶ γυναικῶν Linwoodius et Meinekius. 498. φρένα Heathius: φρενί M. 501—3. in textu omissos in margine supplevit alia manus (*m*?). 501. στείχω Weilius.

καὶ σὸν διδάξω πατέρα ποῖα χρὴ λέγειν.
πρὸς ταῦτα μίμνε καὶ θεοὺς ἐγχωρίους
λιταῖς παραιτοῦ· τῶν σ' ἔρως ἔχει τυχεῖν.
ἐγὼ δὲ ταῦτα πορσυνῶν ἐλεύσομαι·
πειθὼ δ' ἕποιτο καὶ τύχη πρακτήριος.

str. 1. XO. ἄναξ ἀνάκτων, μακάρων
μακάρτατε καὶ τελέων
τελειότατον κράτος, ὄλβιε Ζεῦ,
πιθοῦ τε καὶ γενέσθω
ἄλευσον ἀνδρῶν ὕβριν εὖ στυγήσας·
λίμνᾳ δ' ἔμβαλε πορφυροειδεῖ
τὰν μελανόζυγ' ἄταν.
antistr. 1. τὸ πρὸς γυναικῶν ἐπιδὼν
παλαίφατον ἀμέτερον
γένος φιλίας προγόνου γυναικὸς
νέωσον εὔφρον' αἶνον,
γενοῦ πολυμνῆστορ ἔφαπτορ Ἰοῦς·
Διὸς γάρ τοι γένος εὐχόμεθ' εἶναι
γᾶς ἀπὸ τᾶσδ' ἔνοικοι.
str. 2. παλαιὸν δ' εἰς ἴχνος μετέσταν
ματέρος ἀνθονόμους ἐπωπάς,
λειμῶνα βούχιλον, ἔνθεν Ἰὼ
οἴστρῳ ἐρεσσομένα
φεύγει ἀμαρτίνοος,

511. καταπόντωσον αὐτὴν τὴν ὕβριν. ἀντὶ τοῦ δικαίως. 513. τὴν ναῦν ἐν ᾗ βλαβήσονται. 515. πολυβόητον. 517. ἀνανέωσον τὴν φήμην ὅτι σοῦ ἐσμεν. 518. πολλὴν μνήμην ἔχων γενοῦ ἐφάπτωρ τῆς Ἰοῦς. 519. τῆς δίας Αἰγύπτου, τῆς τοῦ Διὸς ἱερᾶς γῆς. 521. εἰς Ἄργος. 522. κατανομάς. 523. ἔνθα ἐχιλοῦτο ἡ βοῦς καὶ ἤσθιεν. 524. ἐλαυνομένη. 525. ἀντὶ τοῦ μανεῖσα.

---

502. ποῖα corrector in c: τοῖα M. 505. πορσυνῶν Heathius: πορσύνων M. 507. χ praefixum in M. 510. πιθοῦ Stanleius: πείθου M. καὶ γένει σῷ Lobeckius. 518. πολυμνῆστορ Hermannus: πολυμνήστωρ M. ἔφαπτορ Porsonus: ἐφάπτωρ M.

πολλὰ βροτῶν διαμειβομένα
φῦλα, διχῇ δ' ἀντίπορον
γαῖαν ἐν αἴσᾳ διατέμνουσα πόρον
κυματίαν ὁρίζει.
antistr. 2. ἰάπτει δ' Ἀσίδος δι' αἴας
μηλοβότου Φρυγίας διαμπάξ,
περᾷ δὲ Τεύθραντος ἄστυ Μυσῶν
Λύδιά τε γύαλα
καὶ δι' ὀρῶν Κιλίκων
Παμφύλων τε διορνυμένα
τὰν ποταμοὺς ἀενάους
καὶ βαθύπλουτον χθόνα καὶ τᾶς Ἀφροδίτης πολύπυρον αἶαν.
str. 3. ἱκνεῖται δ' εἰσικνουμένου βέλει
βουκόλου πτερόεντος
Ἄϊον πάμβοτον ἄλσος,
λειμῶνα χιονόβοσκον, ὅντ' ἐπέρχεται
Τυφῶ μένος ὕδωρ τὸ Νείλου νόσοις ἄθικτον,
μαινομένα πόνοις ἀτίμοις ὀδύναις τε κεντροδαλήτοις θυΐας Ἥρας.
antistr. 3. βροτοὶ δ' οἳ γᾶς τότ' ἦσαν ἔννομοι
χλωρῷ δείματι θυμὸν

527. Ἀσίαν καὶ Εὐρώπην. 528. ἐν εἱμαρμένῃ. 529. τὸν Βόσπορον. 530. λείπει ὁ καί. 533. Φοινίκην· ἣν ἱερὰν Ἀφροδίτης φησὶ διὰ Βίβλον καὶ Λίβανον. 539. ἱκνεῖται δὲ δῖον πάμβοτον ἄλσος, τοῦ οἴστρου τῷ κέντρῳ αὐτὴν διατρυπῶντος. 540. τοῦ μύωπος. 541. τὴν Αἴγυπτον. 542. φασὶ γὰρ λυομένης χιόνος παρὰ Ἰνδοῖς πληροῦσθαι αὐτόν. 543. λέγεται γὰρ ὃ ἀὴρ κουφότερος εἶναι. ἐπεξηγήσατο δὲ τί ἐστι τὸ μένος τοῦ Τυφῶ, εἰπὼν τὸ ὕδωρ τοῦ Νείλου. 547. οἰκήτορες.

526. πόλλ' ἀνδρῶν Meinekius. 530. δ' Ἀσίδος Turnebus: βασίδος M. 532. Μυσῶν Turnebus: μουσῶν M. 533. Λύδια Turnebus: λύγια M. τ' ἄγ γύαλα Hermannus. 535. τε Heathius: τε γένη M. 536. γᾶς Hermannus. ποταμούς b: ποταμοὺς δ' M. 537. τὰν Ἀφροδίτας Hermannus. 539. εἰσίκνουμένου, sed ut ου finale sit in litura, M. 545. 46. κεντροδαλήτισι Erfurdtius, θυιάς Heathius. 548. δείματι Robortellus: δείματι M.

πάλλοντ' ὄψιν ἀήθη,
βοτὸν ἐσορῶντες δυσχερὲς μιξόμβροτον,
τὰν μὲν βοός, τὰν δ' αὖ γυναικός· τέρας δ'
καὶ τότε δὴ τίς ἦν ὁ θέλ- [ἐθάμβουν.
ξας πολύπλαγκτον ἀθλίαν
οἰστροδόνητον Ἰώ;
str. 4. Ζεὺς αἰῶνος κρέων ἀπαύστου
. . . . . .
βίᾳ δ' ἀπημάντῳ σθένει
καὶ θείαις ἐπιπνοίαις
παύεται, δακρύων δ' απο-
στάζει πένθιμον αἰδῶ.
λαβοῦσα δ' ἕρμα Διὸν ἀψευδεῖ λόγῳ
γείνατο παῖδ' ἀμεμφῆ,
antistr. 4. δι' αἰῶνος μακροῦ πάνολβον·
ἔνθεν πᾶσα βοᾷ χθών·
φυσίζοον γένος τόδε
Ζηνός ἐστιν ἀληθῶς.
τίς γὰρ ἂν κατέπαυσεν Ἥ-
ρας νόσους ἐπιβούλους;
Διὸς τόδ' ἔργον· καὶ τόδ' ἂν γένος λέγων
ἐξ Ἐπάφου κυρήσαις.
str. 5. πίν' ἂν θεῶν ἐνδικωτέροισιν
κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις;
..... πατὴρ φυτουργὸς αὐτόχειρ ἄναξ
γένους παλαιόφρων μέγας

549. ὄψιν ἀήθη ὁρῶντες. 550. τερατῶδες. 552. ὡς ἐν ἐρωτήσει. θεραπεύσας. 556. λείπει ὁ καί. 558. 559. ἐννοοῦσα ὃ πέπονθεν. 560. τὸ βάρος. καθὼς ἡ φήμη βούλεται. 564. τὸ γένος τῆς Ἰοῦς. 568. καὶ τὸ γένος ἡμῶν ἐξ Ἐπάφου λέγων εἶναι τῆς ἀληθείας κυρήσεις καὶ οὐ ψεύσῃ. 572. αὐτὸς ὁ πατὴρ φυτουργὸς τοῦ γένους, ὁ τῇ ἑαυτοῦ χειρὶ θεραπεύσας τὴν Ἰώ.

---

551. δ' ἐθάμβουν Turnebus: δὲ θαμβοῦν M. 552. τότε Canterus: τόδε M. 555. δι' αἰῶνος Hermannus. κρεῶν (κραίνων in margine) M. 564. τόδε Porsonus: τὸ δὴ M.

τέκτων, τὸ πᾶν μῆχαρ οὔριος Ζεύς.
antistr. 5. ὑπ' ἀρχᾶς δ' οὔτινος θοάζων
τὸ μεῖον κρεισσόνων κρατύνει·
οὔτινος ἄνωθεν ἡμένου σέβει κάτω.
πάρεστι δ' ἔργον ὡς ἔπος
σπεῦσαί τι τῶν βούλιος φέρει φρήν.

ΔΑ. θαρσεῖτε, παῖδες, εὖ τὰ τῶν ἐγχωρίων·
δήμου δέδοκται παντελῆ ψηφίσματα.
ΧΟ. ὦ χαῖρε πρέσβυ, φίλτατ' ἀγγέλων ἐμοί.
ἐνόσπερ ἡμῖν ποῖ κεκύρωται τέλος,
δήμου κρατοῦσα χεὶρ θ' ὅπῃ πληθύνεται.
ΔΑ. ἔδοξεν Ἀργείοισιν οὐ διχορρόπως,
ἀλλ' ὡς ἀνηβῆσαί με γηραιᾷ φρενί·
πανδημίᾳ γὰρ χερσὶ δεξιωνύμοις
ἔφριξεν αἰθὴρ τόνδε κραινόντων λόγον·
ἡμᾶς μετοικεῖν τῆσδε γῆς ἐλευθέρους
κἀρρυσιάστους ξύν τ' ἀσυλίᾳ βροτῶν,
καὶ μήτ' ἐνοίκων μήτ' ἐπηλύδων τινὰ
ἄγειν· ἐὰν δὲ προστιθῇ τὸ καρτερόν,
τὸν μὴ βοηθήσαντα τῶνδε γαμόρων
ἄτιμον εἶναι ξὺν φυγῇ δημιλάτῳ.

574. ἡ πάντων μηχανή. 575. οὐχ ὑπὸ τὰς ἀρχὰς δέ τινος τῶν κρεισσόνων καθήμενος, τὸ μεῖον ἔχων. 577. οὐ σέβει κάτω ὢν αὐτός. 578. ἅμα τῷ λόγῳ ἡ πρᾶξις. 579. εἰς τὸ συντελέσαι. 584. πότερον πλείους οἱ συμμαχοῦντες ἡμῖν, ἢ ὀλίγοι. 587. δεξιοῖς. 588. πυκνὰς ἔσχε τὰς ῥῆρμένας αὐτῷ χεῖρας. 589. τὸ ἑξῆς, ἔδοξεν ἡμᾶς μετοικεῖν. 591. πολιτῶν. 592. λείπει τὸ τίς· ἀντὶ τοῦ βίᾳ πολιτῶν.

---

575. ἀρχᾶς Schuetzius: ἀρχὰσ M. 576. κρεισσόνων Turnebus: κρείσσον ὢν M. 577. οὔτινος Robortellus: οὔτινοσ vel ὅστινοσ (sec. Merkel.) M. ἡμένου Turnebus: ἧμέν οὐ M. 579. βούλιος Auratus: δούλιοσ M. 580. 582. 585. paragraphis notantur in M. 582. πρέσω M sec. Merkel. ἀγγέλων, mut. in ἀγγέλλων, M. 583. ἔνισπε δ' ἡμῖν Robortellus. ποῖ κεκύρωται idem: ποικεκύρτωται M. 584. χείρ θ' ὅπῃ Dindorfius, πληθύνεται Hermannus: χειροπληθύεται M. 586. ἀνηβῆσαί με Tyrwhittus: ἂν ἠβήσαιμι M. 588. λόγων M. 590. καρυσιάστουσ M.

τοιάνδ' ἔπειθε ῥῆσιν ἀμφ' ἡμῶν λέγων
ἄναξ Πελασγῶν, ἱκεσίου Ζηνὸς κότον
μέγαν προφωνῶν μήποτ' εἰσόπιν χρόνου
πόλιν παχῦναι, ξενικὸν ἀστικόν θ' ἅμα
λέγων διπλοῦν μίασμα πρὸ πόλεως φανὲν
ἀμήχανον βόσκημα πημονῆς πέλειν.
τοιαῦτ' ἀκούων χερσὶν Ἀργεῖος λεὼς
ἔκραν' ἄνευ κλητῆρος ὡς εἶναι τάδε.
δημηγόρους δ' ἤκουσεν εὐπιθεῖς στροφὰς
δῆμος Πελασγῶν· Ζεὺς δ' ἐπέκρανεν τέλος.

(Dux chori)

ΧΟ. ἄγε δή, λέξωμεν ἐπ' Ἀργείοις
εὐχὰς ἀγαθὰς ἀγαθῶν ποινάς.
Ζεὺς δ' ἐφορεύοι ξένιος ξενίου
στόματος τιμὰς ἐπ' ἀληθείᾳ
τέρμον' ἀμέμπτων πρὸς ἅπαντα.

(Chorus)

str. 1. νῦν ὅτε καὶ θεοὶ
Διογενεῖς κλύοιτ' εὐκταῖα γένει χεούσας·
μήποτε πυρίφατον τὰν Πελασγίαν πόλιν
τὸν ἄχορον βοᾶν κτίσαι μάχλον Ἄρη,

597. εἰς τὸν μετέπειτα χρόνον μήπως αὐξήσει κότον ὁ Ζεύς. 598. γράφεται πλατῦναι. ὃ εἶπεν ἄνω ἀστοξένων (342), τοῦτο διαλελυμένως εἶπεν. 599. διπλοῦν καθὸ καὶ ξένους ὄντας παρορῶμεν καὶ συγγενεῖς δειχθέντας οὐκ ἐλεοῦμεν. 601. ταῖς χερσὶν ἐπέκρανε, πρὶν εἰπεῖν τὸν κήρυκα, ἀράτω τὰς χεῖρας ὅτῳ ταῦτα δοκεῖ. 606. ἀμοιβάς. 609. βεβαίως εἰς παντελὲς φέρων αὐτάς. 610. ἀντὶ τοῦ εἴποτε. 611. χεούσης ἐμοῦ εὐκταῖα γένει, ἢ τῷ γένει. 612. πυρὶ ἀναλωθεῖσαν. 613. ποιῆσαι. τὸν εἰς τοὺς πολέμους κατωφερῆ, ἢ τὸν παλίμβολον.

595. ἔπειθεν M. 596. Ζηνὸς ἱκεσίου Dindorfius. 597. προφωνῶν Canterus: πρόφρων ὢν M. 599. πρὸς πόλεως Paleius. 600. ἀμηχάνου Stanleius. 602. ἔκραν' ἄνευ κλητῆρος Turnebus: ἔκλαναν εὐκλήτορος M. 603. εὐπιθεῖς Blomfieldus: εὐπειθεῖσ M. εὐπιθὴς Hartungus. 604. ἐπικράναι Dindorfius. 605. λέξωμεν Turnebus: λέξομεν M. 611. εὐκτεα γένει M. 612. πυρίφατον Turnebus: πυρέφατον M. τάνδε Πελασγίαν eiecto πόλιν Hermannus.

τὸν ἀρότοις θερίζοντα βροτοὺς ἐν ἄλλοις,
οὕνεκ' ᾤκτισαν ἡμᾶς,
ψῆφον δ' εὔφρον' ἔθεντο·
αἰδοῦνται δ' ἱκέτας Διός,
ποίμναν τάνδ' ἀμέγαρτον·
antistr. 1. οὐδὲ μετ' ἀρσένων
ψῆφον ἔθεντ' ἀτιμώσαντες ἔριν γυναικῶν,
Δῖον ἐπιδόμενοι πράκτορά τε σκοπὸν
δυσπολέμητον, ὃν οὔτις ἂν δόμος ἔχοι
ἐπ' ὀρόφων μιαίνοντα· βαρὺς δ' ἐφίζει.
ἄζονται γὰρ ὁμαίμους
Ζηνὸς ἵκτορας ἀγνοῦ·
τοιγάρτοι καθαροῖσι βω-
μοῖς θεοὺς ἀρέσονται.
str. 2. τοιγὰρ ὑποσκίων
ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχά,
μήποτε λοιμὸς ἀνδρῶν
τάνδε πόλιν κενώσαι·
μηδ' ἐπιχωρίοις . . . .
πτώμασιν αἱματίσαι πέδον γᾶς.
ἦβας δ' ἄνθος ἄδρεπτον
ἔστω· μηδ' Ἀφροδίτας
εὐνάτωρ βροτολοιγὸς Ἄ-
ρης κέρσειεν ἄωτον.
antistr. 2. καὶ γεραροῖσι πρε-
σβυτοδόκοι γεμόντων θυμέλαι φλεγόντων.

614. τὸν ἐν ἄλλοις ἀρότοις θερίζοντα τοὺς βροτούς. 615. ἡ πόλις. 618. τὴν ἡμῶν σύστασιν. ἀφθόνητον, διὰ τὸ ἀτελές (l. εὐτελές). 619. τῶν Αἰγυπτιαδῶν. 621. Διὸς σκοπόν, τὸν Διὸς ὀφθαλμὸν τὸν πάντα σκοποῦντα. 623. ἐφιζάνει γὰρ βαρὺς καὶ ἐρείπει τὸν οἶκον. 624. τοῦτο συναπτέον (add. τῷ) σὺν δὲ μετ' ἀρσένων (619). 627. εἰς ἀρέσκειαν ἄγουσιν. 634. τὸ ἄνθος τῆς ἥβας αὐτῶν μὴ ἐκκοπείη. 639. πληρούσθωσαν. καὶ διαπρεπέτωσαν τοῖς γέρουσιν αἱ θυμέλαι, ἢ οἱ γέροντες.

---

615. ὤκτεισαν M. 622. ὃν τίς Wellauerus. 631. τάνδε Hermannus: τῶνδε M. 633. γᾶς Porsonus: τᾶσ M. 635. μή, postea addito δ', M. 639. φλεόντων Hermannus.

τὼς πόλις εὖ νέμοιτο
Ζῆνα μέγαν σεβόντων,
τὸν ξένιον δ' ὑπέρτατον,
ὃς πολιῷ νόμῳ αἶσαν ὀρθοῖ.
τίκτεσθαι δὲ φόρους γᾶς
ἄλλους εὐχόμεθ' ἀεί,
Ἄρτεμιν δ' ἑκάταν γυναι-
κῶν λόχους ἐφορεύειν.
str. 3. μηδέ τις ἀνδροκμὴς
λοιγὸς ἐπελθέτω τάνδε πόλιν δαΐζων,
ἄχορον ἀκίθαριν δακρυογόνον Ἄρη
βοάν τ' ἔνδημον ἐξοπλίζων.
νούσων δ' ἑσμὸς ἀπ' ἀστῶν
ἴζοι κρατὸς ἀτερπής·
εὐμενὴς δ' ὁ Λύκειος ἔ-
στω πάσᾳ νεολαίᾳ.
antistr. 3. καρποτελῆ δέ τοι
Ζεὺς ἐπικραινέτω φέρματι γᾶν πανώρῳ.
πρόνομα δὲ βοτὰ τος πολύγονα τελέθοι·
τὸ πᾶν τ' ἐκ δαιμόνων λάθοιεν.
εὔφημον δ' ἐπὶ βωμοῖς

641. τῶν γερόντων σεβόντων τὸν Δία τὸν ξένιον ὑπερτάτως. 643. ὁ Ζεὺς τῷ ἀρχαίῳ νόμῳ τὸ ἴσον τηρεῖ. 644. βασιλεῖς. 651. ἐμφύλιον μάχην. τὴν ἐπὶ τοῖς ἀπολωλόσι βοήν. 652. ἄποθεν τοῦ κράτους τῶν ἀστῶν. 657. τελεσφορῆσαι ποιείτω. κνήματι. κατὰ πᾶσαν ὥραν αὐξομένῳ. 658. πρὸ τῆς πόλεως νεμόμενα. 659. παρὰ δαιμόνων.

---

640. τὼς πόλις Robortellus: τῶσ πόλεισ M. 641. μέγαν Ald.: μέγα M. 642. ὑπερτάτως e schol. Ahrens. 643. ὡσ, ω mutato in o, M. 644. δὲ φόρους Erfurdtius: δ' ἐφόρουσ M. 647. λόχους Sophianus: λόγουσ M. 649. δαΐζων Ald.: δαΐξων M. 650. 51. (μανία) ἄχαριν ἀκίθαριν δακ...γονον ἀρ...τατε δῆμον ἐξοπλίζουσα Plutarchus Amat. p. 758. ἄχοροσ ὀκίθαρισ M. τ' ἔνδημον Pauwius: τε δῆμον M. ἔξω παίζων M. 652. δ' ἑσμός Turnebus: δεσμὸσ M. 653. κρατός H. Vossius: κράτοσ M. 654. Λύκειος Arnaldus: λύκιοσ M. 655. νεολαίαι M. 656. καρποτελῆ Stanleius: καρποτελεῖ M. 658. βοτὰ τώς Turnebus: βρότατοσ M. 659. λάχοιεν Dindorfius. 660. εὔφημον Hermannus: εὐφήμοισ M.

μοῦσαν θείατ' ἀοιδοί·
ἀγνῶν τ' ἐκ στομάτων φερέ-
σθω φήμα φιλοφόρμιγξ.
str. 4. φυλάσσοι τ' ἀτιμίας τιμὰς
τὸ δήμιον, τὸ πτόλιν κρατύνει,
προμαθεὺς εὐκοινόμητις ἀρχά.
ξένοισί τ' εὐξυμβόλους,
πρὶν ἐξοπλίζειν Ἄρη,
δίκας ἄτερ πημάτων διδοῖεν.
antistr. 4 θεοὺς δ', οἳ γᾶν ἔχουσιν, ἀεὶ
τίοιεν ἐγχωρίους πατρῴαις
δαφνηφόροις βουθύτοισι τιμαῖς.
τὸ γὰρ τεκόντων σέβας
τρίτον τόδ' ἐν θεσμίοις
Δίκας γέγραπται μεγιστοτίμου.

ΔΑ. εὐχὰς μὲν αἰνῶ τάσδε σώφρονας, φίλαι·
ὑμεῖς δὲ μὴ τρέσητ' ἀκούσασαι πατρὸς
ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους.
ἱκεταδόκου γὰρ τῆσδ' ἀπὸ σκοπῆς ὁρῶ
τὸ πλοῖον· εὔσημον γάρ. οὔ με λανθάνει,
στολμοί τε λαίφους καὶ παραρρύσεις νεώς,
καὶ πρῷρα πρόσθεν ὄμμασι βλέπουσ' ὁδόν,

661. αἱ ᾠδαί. 664. ἀμετακίνητοι εἶεν αὐτοῖς αἱ τιμαί. ἀσφαλίας. 666. ἡ γὰρ ἀρχὴ ὑπὸ τῶν κοινῶν προνοουμένη τήν τε πόλιν καὶ τὸ κοινὸν αὔξει. 667. τοῖς τε ξένοις δίκας εὐσυμβόλους διδοῖεν πρὶν ἐξοπλίζειν Ἄρη. 673. πρῶτον θεούς, δεύτερον νόμους, τρίτον δὲ τόδε, τὸ τοὺς γονεῖς τιμᾶν. ἐχρῆν δὲ εἰπεῖν· καὶ τοὺς γονεῖς δὲ σέβοιντο (σέβειν Robort.)· τὸ γὰρ τιμᾶν γονεῖς τρίτον ἐστὶ παράγγελμα δίκης. 679. τῆς δεξαμένης ἡμᾶς τοὺς ἱκέτας. 681. κατὰ περίφρασιν τὸ λαῖφος. ἐκτάσεις.

661. μοῦσαν θείατ' Hermannus: μοῦσαι θεαί τ' M. 664. ἀτρεμαῖα τιμάς Butlerus. 666. προμηθεὺσ M. προμαθὶς Hermannus. 671. ἐγχωρίουσ, ου ex οι facto, M. 672. δαφνηφόροις Schuetzius: δαφνοφόροισιν M. 676. paragrapho notat M. 677. ὑμεῖς δὲ μὴ τρέσητ' Turnebus: ἡμεῖσ δὲ μῆτρεσ ἀεὶ M.

οἶακος εὐθυντῆρος ὑστάτου νεὼς
ἄγαν καλῶς κλύουσά γ' ὡς ἂν οὐ φίλη.
πρέπουσι δ' ἄνδρες νήιοι μελαγχίμοις
γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν,
καὶ τἄλλα πλοῖα πᾶσά θ' ἡ 'πικουρία
εὔπρεπτος· αὐτὴ δ' ἡγεμὼν ὑπὸ χθόνα
στείλασα λαῖφος παγκρότως ἐρέσσεται.
ἀλλ' ἡσύχως χρὴ καὶ σεσωφρονισμένως
πρὸς πρᾶγμ' ὁρώσας τῶνδε μὴ ἀμελεῖν θεῶν.
ἐγὼ δ' ἀρωγοὺς ξυνδίκους θ' ἥξω λαβών.
ἴσως γὰρ ἂν κῆρυξ τις ἢ πρέσβη μόλοι,
ἄγειν θέλοντες ῥυσίων ἐφάπτορες.
ἀλλ' οὐδὲν ἔσται τῶνδε· μὴ τρέσητέ νιν.
ὅμως ἄμεινον, εἰ βραδύνοιμεν βοῇ,
ἁλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτε.
θάρσει· χρόνῳ τοι κυρίῳ τ' ἐν ἡμέρᾳ
θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην.
str. 1. *XO.* πάτερ, φοβοῦμαι, νῆες ὡς ὠκύπτεροι
ἥκουσι, μῆκος δ' οὐδὲν ἐν μέσῳ χρόνου·
περίφοβόν μ' ἔχει τάρβος ἐτητύμως
πολυδρόμου φυγᾶς ὄφελος εἴ τί μοι.
παρολίχομαι, πάτερ, δείματι.
ΔΑ. ἐπεὶ τελεία ψῆφος Ἀργείων, τέκνα,

684. οὕτως δὲ ἡμῖν κλύουσα τοῦ οἴακος οὐ φίλη ἐστίν. 685. ναῦται. 686. ἐκ τῶν λευκῶν πεπλωμάτων μέλανα γυῖα φαίνονται ἔχοντες. 694. ἐνεχύρων. ἐνεχυράζοντες ἡμᾶς διά τινος (l. διὰ τίνος;) ἁρπαγῆς. 696. βοῇ νῦν τῇ βοηθείᾳ. 697. τῆς τῶν βωμῶν καταφυγῆς. 701. τῆς ἡμῶν φυγῆς καὶ τῆς τούτων παρουσίας. 702. ὅσον μοι προγέγονεν ὄφελος διὰ τῆς ἐνθάδε φυγῆς τῷ δείματι νῦν παρολίχεται. ἀπιστῶ γὰρ εἰ τεύξομαι ἐπικουρίας. 705. τελεσθεῖσα.

---

683. εὐθυντῆρος Turnebus: συνοντῆροσ M. 684. γ' ὡς Turnebus: τὼσ M. 686. γυίοισι Turnebus: γύοισι M. 692. θήξω M. 693. ἂν Burgesius: ἢ M. πρεσβήμολοι M. 695. μητρέσαιτε M. 698. θάρσει Turnebus: θαρσεῖτε M. 700. paragrapho notat M. ὡσ supra versum M. 701. ἥκουσιν M. 702. paragraphus praefixa in M, item 705.

θάρσει, μαχοῦνταί περὶ σέθεν, σάφ' οἶδ' ἐγώ.
antistr. 1. *XO.* ἐξῶλές ἐστι μάργον Αἰγύπτου γένος
μάχης τ' ἄπληστον· καὶ λέγω πρὸς εἰδότα.
δοριπαγεῖς δ' ἔχοντες κυανώπιδας
νῆας ἔπλευσαν ὧδ' ἐπιτυχεῖ κότῳ
πολεῖ μελαγχίμῳ σὺν στρατῷ.
ΔΑ. πολλοὺς δέ γ' εὑρήσουσιν ἐν μεσημβρίας
θάλπει βραχίον' εὖ κατερρινημένους.
str. 2 *XO.* μόνην δὲ μὴ πρόλειπέ· λίσσομαι, πάτερ.
γυνὴ μονωθεῖσ' οὐδέν· οὐκ ἔνεστ' Ἄρης.
δουλόφρονες δὲ καὶ δολομήτιδες
δυσάγνοις φρεσίν, κόρακες ὥστε, βω-
μῶν ἀλέγοντες οὐδέν.
ΔΑ. καλῶς ἂν ἡμῖν ξυμφέροι ταῦτ', ὦ τέκνα,
εἰ σοί τε καὶ θεοῖσιν ἐχθαιρόιατο.
antistr. 2. *XO.* οὐ μὴ τριαίνας τάσδε καὶ θεῶν σέβη
δείσαντες ἡμῶν χεῖρ' ἀπόσχωνται, πάτερ.
περίφρονες δ' ἄγαν ἀνιέρῳ μένει
μεμαργωμένοι κυνοθρασεῖς, θεῶν
οὐδὲν ἐπαΐοντες.
ΔΑ. ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν
εἶναι. βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν.

712. καλῶς ἐν ἡλίῳ γεγυμνασμένους. 716. οἱ Αἰγυπτιάδαι. 717. λείπει, ἁρπάσουσί με. 720. εἰ ἀσεβήσαιεν εἰς τοὺς βωμούς. 722. χειρὶ τὸ ἐντελές. 723. ἀντὶ τοῦ ὑπέρφρονες. ἀσεβεῖ. 726. τοσοῦτον αὐτῶν διαφέρουσιν ὅσον λύκοι κυνῶν. 727. ἐπεὶ παπυροφάγοι οἱ Αἰγύπτιοι.

706. *ἐγώ* Turnebus: *ἐγών* M. 707—30. sic notati in M, ut solis 709. 712. 716. 719. 723. 726. paragraphi adscriptae sint. 707. *ἐξῶλές ἐστι μάργον* Turnebus: *ἐξώλεσεσ τίμαργον* M. 709. *δορυπαγεῖσ* M. 710. *νέας* Meinekius. *ἐπιτυχεῖ* Turnebus; *ἐπὶ τάχει* M. 711. *πολεῖ* Stanleius: *πόλει* M. *μελαγχίμῳ* Turnebus: *μελάγχειμω* M. 712. *μεσημβρίας* Schuetzius: *μεσημβρίαι* M. 713. *θάλπτει* M sec. Merkelium. *βραχίον'* Turnebus: *βραχεῖον* M. 714. *πρόλειπε* Turnebus: *πρόλιπε* M. 716. *σὺλόφρονες* Valckenaerius. *δολιομήτιδες* margo Askewii. 717. *φρεσσὶν* M. sec. Merkelium. leg. *φρασίν*. 721. *στέφη* Nauckius. 723. *φυσίφρονες* Dindorfius e glossa Hesychii 4, 264. *φυσίφρονες*: *πεφυσημένοι τὰς φρένας, μάταιοι.* 726. *κρείσσων* M. *κρείσσονας λύκους* Hermannus.

XO. ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων
ἔχοντας ὀργὰς χρὴ φυλάσσεσθαι κράτος.
ΔΑ. οὗτοι ταχεῖα ναυτικοῦ στρατοῦ στολή,
οὐδ' ὅρμος, οὐδὲ πεισμάτων σωτηρία
ἐς γῆν ἐνεγκεῖν, οὐδ' ἐν ἀγκυρουχίαις
θαρσοῦσι ναῶν ποιμένες παραυτίκα,
ἄλλως τε καὶ μολόντες ἁλίμενον χθόνα
ἐς νύκτ' ἀποστείχοντος ἡλίου· φιλεῖ
ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ σοφῷ.
οὕτω γένοιτ' ἂν οὐδ' ἂν ἔκβασις στρατοῦ
καλή, πρὶν ὅρμῳ ναῦν θρασυνθῆναι. σὺ δὲ
φρόνει μὲν ὡς ταρβοῦσα μὴ ἀμελεῖν θεῶν
πράξας ἀρωγήν. ἄγγελον δ' οὐ μέμψεται
πόλις γέρονθ', ἡβῶντα δ' εὐγλώσσῳ φρενί.

str. 1. *XO.* ἰὼ γᾶ βουνῖτι, ἔνδικον σέβας,
τί πεισόμεσθα; ποῖ φύγωμεν Ἀπίας
χθονός, κελαινὸν εἴ τι κεῦθός ἐστί που;
μέλας γενοίμαν καπνὸς
νέφεσσι γειτονῶν Διός,
τὸ πᾶν δ' ἄφαντος ἀμπετήσαις δόσως

729. τὴν βίαν. 730. στολῇ: ἀντὶ τοῦ ὁρμῇ. 731. οὐδὲ ἡ ὁρμὴ ταχεῖα, οὔτε (οὐδὲ Vict.) ἡ ἔκβασις. ἀντὶ τοῦ πίσματα (πείσματα Rob.) σωτήρια. 732. ταῖς ἀσφαλείαις καὶ κατοχαῖς τῶν ἀγκυρῶν. 733. κυβερνῆται. 738. πρὶν καταθαρρῆσαι τῷ ὁρμῳ τὰς ναῦς. 740. ἐμὲ τὸν ἀπαγγέλλοντα αὐτοῖς τὴν παρουσίαν τῶν Αἰγυπτιαδῶν. 742. ὀρεινή. δίκαια (l. δικαία) σέβεσθαι, ἢ ἦν δικαίως πάντες τιμῶσιν. 744. ἀφανές. 745. μεταβληθείην μὴ εἰς πτηνόν, ἀλλ' εἰς ἄψυχόν τι.

728. ὅμως ματαίων Schuetzius. 729. ἔχοντας Turnebus: ἔχοντες M. fort. φυλάσσεσθαι, πάτερ. 730. ταχεῖα b: ταχεῖαι M. στολή Turnebus: στολῇ M. 731. πεισμάτων Victorius: πισμάτων M. σωτηρία Turnebus: σωτηρίου M. 732. οὐδ' ἐν Robortellus: οὐδὲν M. 734. ἄλλως τε Victorius: ἀλλ' ὥστε M. 736. τίκτειν Turnebus: τίκτει M. 737. οὐδάμ' Engerus. 739. φρόνει Robortellus: φρονεῖ M. post hunc versum hiare orationem intellexit Hartungus. 741. εὐγλώσσῳ Robortellus: εὐγλώσσωϊ M. 742. paragraphus addita in M. βοῦνι, πάνδικον Paleius. 746. νέφεσσι Arnaldus: νέφεσι M. γειτόνων M. 747. ἀμπετὴς ἄιστος (an ἀιδνὶς?) ὡς C. G. Hauptius.

κόνις ἄτερθε πτερύγων ὀλοίμαν.
antistr. 1. ἄφυκτον δ' οὐκέτ' ἂν πέλοι κέαρ.
κελαινόχρως δὲ πάλλεταί μου καρδία.
πατρὸς σκοπαὶ δέ μ' εἶλον· οἴχομαι φόβῳ.
θέλοιμι δ' ἂν μορσίμου
βρόχου τυχεῖν ἐν ἀρτάναις,
πρὶν ἄνδρ' ἀπευκτὸν τῷδε χριμφθῆναι χροΐ·
πρόπαρ θανούσας δ' Ἅιδας ἀνάσσοι.
str. 2. πόθεν δέ μοι γένοιτ' ἂν αἰθέρος θρόνος,
πρὸς ὃν νέφη δ' ὑδρηλὰ γίγνεται χιών,
ἢ λισσὰς αἰγίλιψ ἀπρόσ-
δεικτος οἰόφρων κρεμὰς
γυπιὰς πέτρα, βαθὺ
πτῶμα μαρτυροῦσά μοι,
πρὶν δαΐκτορος βίᾳ
καρδίας γάμου κυρῆσαι;
antistr. 2. κυσὶν δ' ἔπειθ' ἕλωρα κἀπιχωρίοις
ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν·
τὸ γὰρ θανεῖν ἐλευθεροῦ-
ται φιλαιάκτων κακῶν.
ἐλθέτω μόρος πρὸ κοί-
τας γαμηλίου τυχών.
τίν' ἀμφ' αὐτᾶς ἔτι πόρον
τέμνω γάμου καὶ λυτῆρα;

750. ἀντὶ τοῦ τεταραγμένη. ἢ μεταφορὰ ἀπὸ τῆς θαλάσσης, ἥτις ἐν τῷ ταράσσεσθαι μελαίνεται. 751. προσκοπήσας ὁ πατὴρ καὶ σημάνας ἐτάραξεν ἡμᾶς. 752. μόρον μοι ἐπάγοντος. 753. τοῦ γάμου δαϊκτῆρος τῆς καρδίας μου. 766. ἀντὶ τοῦ ἐλευθεροῖ. 769. τυχών: ἐμοῦ δηλονότι. 770. περὶ ἐμαυτῆς. 771. λείπει εὕρω.

---

748. ἄτερθεν M. ὀροίμαν Dindorfius. 750. κελαινόχρως Pauwius: μελανόχρως M. 751. πατρὸς σκοπαὶ δέ μ' εἶλον Victorius: πατροσκοπαι δὲ μειλον M. 753. ἀρτάναις c: σαργάναισ M. 754. τῷδε χριμφθῆναι c, χροῖ e: τῶδ' ἐχριμφθῆν χροῖν M. 757. γείνεται M. γίνεται Ald.. 759. κρεμάς Hermannus: κρέμασ M. 764. κυσὶν Robortellus: κύσειν M. 765. ὄρνισιν M. δεῖπνον b: δείπναν M. 766. τῷ γὰρ θανεῖν ἐλευθεροῦμαι Schuetzius. 768. ἐλθέτω semel Pauwius: bis M. 771. γάμου λυτῆρα Schuetzius: γάμου καὶ λυτήρια M.

str. 3. ἴυζε δ' ὀμφὰν οὐράνια,
μέλη λιτανὰ θεοῖσι καὶ
τέλεα δέ μοί πως τελόμενά μοι
λύσιμα μάχιμα δ' ἔπιδε, πάτερ,
βίαια μὴ φιλεῖς ὁρῶν
ὄμμασιν ἐνδίκοις.
σεβίζου δ' ἱκέτας σέθεν,
γαιάοχε παγκρατὲς Ζεῦ.
antistr. 3. γένος γὰρ Αἰγύπτιον ὕβριν
δύσφορον ἀρσενογενές,
μετά με δρόμοισι διόμενοι,
φυγάδα μάταισι πολυθρόοις
βίαια δίζηνται λαβεῖν.
σὸν δ' ἐπίπαν ζυγὸν
ταλάντου. τί δ' ἄνευ σέθεν
θνατοῖσι τέλειόν ἐστιν;
(Chorus. Praeco.)
ὁ ὁ ο ά ά ά.
ὅδε μάρπις
νάϊος
γάϊος
τῶν πρόμαρπτι κάμνοις
ἰόφ

772. ἐπεξηγήσατο ὀμφάν. ἑαυταῖς δὲ παρακελεύονται. 773. λιτανευτικά. 774. ἐπιτελεστικά μοι καὶ λύσιμα τῶν κακῶν γινόμενα. ἀντὶ τοῦ ἀτάραχα. 779. πάσης γῆς κρατῶν Ζεῦ. 782. διώκοντες. 783. ταῖς ζητήσεσιν. 785. ἴσον ἐπὶ πάντων. 788. ταῦτα μετά τινος πάθους ἀναβοῶσιν, ἐξ ἀπόπτου τοὺς Αἰγυπτιάδας ἰδοῦσαι. 789. ὁ ἐλθὼν ἐπὶ τὸ μάρψαι ἡμᾶς. 790. 791. ὁ πρώην μὲν ἐπὶ νηός, νῦν δὲ ἐπὶ γῆς γεγονώς. 792. τῶν πρὸ μάρπτι κάμνοις: πρότερον θάνοις, ὦ μάρπτι, πρὶν ἡμᾶς συλλαβεῖν. 793. ἐπὶ ἀποπτυσμοῦ μίσημα (μίμημα L. Dindorf.). ἀπὸ δὲ τοῦ ἀποπτύειν ἀπόφθεγμα (ἐπίφθεγμα Weil.) ἐποίησε. διὸ δεῖ τὴν ὑστέραν δασύνειν. τοῦτο διὰ μέσου.

772. ἴϋζε Robortellus: ἴϋζευ M. 786. τί δ' ἄνευ Robortellus: πιδανευ M. 787. θνατοῖσι Bothius: θνατοῖσ M. 788. seqq. nullae in M personarum notae usque ad 840.

ὅμ
αὖθι κάκκας
νυ
δυΐαν βοᾶν ἀμφαίνω
ὁρῶ τάδε φροίμια πράξαν πόνων
βιαίων ἐμῶν.
ἠὲ ἠέ.
βαῖνε φυγᾷ πρὸς ἀλκάν·
βλοσυρόφρονα χλιδᾷ
δύσφορα ναΐ κἀν γᾷ.
γᾶι ἄναξ, προτάσσου.
ΚΗ. σοῦσθε σοῦσθ' ἐπὶ βᾶ-
ριν ὅπως ποδῶν.
οὐκοῦν οὐκοῦν
τιλμοὶ τιλμοὶ καὶ στιγμοί,
πολυαίμων φόνιος
ἀποκοπὰ κρατός.
σοῦσθε σοῦσθ' ὀλύμεναι ὀλόμεν' ἐπαμίδα.
str. ΧΟ. εἴθ' ἀνὰ πολύρυτον
ἁλμήεντα πόρον
δεσπορίῳ ξὺν ὕβρει
γομφοδέτῳ τε δόρει διώλου.
ΚΗ. αἵμονες ὡς ἐπάμιδα
ησυδουπιατάπιτα
κελεύω βία μεθέσθαι
ἴχαρ φρενί τ' ἄταν. ἰὼ ἰὸν

795. κατακάσεις (καταβάσεις Vict.). 798. οὐκέτι παρὰ τοῦ πατρὸς ἀκούσασα, ἀλλ' αὐτόπτης γενομένη βοῶ. 801. πρὸς τὴν τῶν θεῶν ἀλκήν. τὴν ἐπὶ τῇ δόξῃ ἐπῃρμένην ἀλκὴν τῶν θεῶν. (804). ἔστι δὲ παρὰ τὸ κύδεϊ γαίων (Hom. Il. Α. 405). 804. ὦ Πελασγέ, πρὸ ἡμῶν παράταξαι. 806. ὡς ἔχετε τάχους ποδῶν. 807. ἰδίως τοῦτο, ἀντὶ τοῦ εἰ δὲ μή. 816. ἠμαγμένον σε καθίζω. 817. ἀπιόντα, κατὰ συγκοπήν. 819. τὴν ἐπιθυμίαν ἴχαρ εἶπε, τὴν ἄτην τῆς φρενός.

812. εἴθ' ἀνά Hermannus: εἰθάνα M. πολύρυτον Wellauerus: πολύρρυτον M. 813. ἁλμιόεντα Hermannus. 815. δόρει Hermannus: δορὶ M.

λεῖφ' ἕδρανα, κί' ἐς δόρυ,
ἀτιέτανα πόλιν εὐσεβῶν.
antistr. ΧΟ. μήποτε πάλιν ἴδοιμ'
ἀλφεσίβοιον ὕδωρ,
ἔνθεν ἀεξόμενον
ζώφυτον αἷμα βροτοῖσι θάλλει.
ΚΗ. ἄγειος ἐγὼ βαθυχαῖος
βαθρείας βαθρείας
γέρον σὺ δὲ ναῒ ναῒ
βάση τάχα
θέλεος ἀθέλεος
βίᾳ βίᾳ τε πολλᾷ φροῦδα
βάτεαι βαθυμιτροκακὰ παθῶν
ὀλόμεναι παλάμαις.
str. ΧΟ. αἰαῖ αἰαῖ.
καὶ γὰρ δυσπαλάμως ὄλοιο
δι' ἁλίρρυτον ἄλσος,
κατὰ Σαρπηδόνιον
χῶμα πολύψαμμον ἀλαθεὶς
εὐρείαις εἰν αὔραις.
ΚΗ. ἴυζε καὶ λάκαζε καὶ κάλει θεούς.
Αἰγυπτίαν γὰρ βᾶριν οὐχ ὑπερθορῇ.

820. κατάλειπε τοὺς βωμούς. 821. μήποτε μετεχ^ς τιμῆς ἐν τῇ πόλει τῶν εὐσεβῶν. 823. τὸ ζωοποιοῦν τὰ θρέμματα, ἢ ἔντιμον, μεταφορικῶς. λέγει δὲ τοῦ Νείλου. ἀρρενογόνον γὰρ τὸ ὕδωρ τοῦ Νείλου· ὅθεν Ζεὺς πιὼν ἔτεκεν Ἄρεα. 826. βαθυχαῖος: ἡ μεγάλως εὐγενής· χάοι γὰρ οἱ εὐγενεῖς. ἐγὼ ἡ βαθυχαῖος ἀναξία ταύτης τῆς βαθρείας, ὦ γέρον. 828. σὺ δὲ θέλων καὶ μὴ θέλων ναῒ βήσῃ τάχα, βίᾳ πολλῇ κακοπαθῶν. 835. τοῦτο ἰδίᾳ, εὐκτικῶς. ὄλοιο οὖν σὺν ταῖς σαῖς μηχαναῖς. 836. τὸ πέλαγος. 837. κατὰ τὴν Σαρπηδονίαν ἄκραν. 840. μάτην ληκεῖ καὶ βοᾶ (λήκει καὶ βόα Vict.). 841. οὐκ ἐκφύγοις.

---

822. ἴδοιμ' Butlerus: ἴ ειδοι M. 824. ἀεξόμενον Scaliger: δεξόμενον M. 836. ἁλίρρυτον Turnebus: ἁλλίρυτον M. 838. πολύψαμμον Hermannus: πολυψάμαθον M. 839. ἀερίαισιν Hermannus, ἀερίαις ἐν Hartungus. 840. paragraphus adscripta in M, omissa 843. notatione.

ἴυζε καὶ βόα πικρότερ' ἀχέων ὀιζύος ὄνομ'
antistr. XO. οἰοῖ οἰοῖ [ἔχων.
λύμασις ὑπρογασυλάσκοι
περιχαμπτὰ βρυάζεις,
ὃς ἐρωτᾶς ὁ μέγας
Νεῖλος ὑβρίζοντά σ' ἀποτρέ-
ψειεν ἄεστον ὕβριν.
ΚΗ. βαίνειν κελεύω βᾶριν εἰς ἀμφίστροφον
ὅσον τάχιστα· μηδέ τις σχολαζέτω.
ὁλκὴ γὰρ οὗτοι πλόκαμον οὐδάμ' ἅζεται.
str. XO. οἰοῖ, πάτερ, βροτιοσα-
ροσαταιμαλδαάγει
ἄραχνος ὡς βάδην.
ὄναρ ὄναρ μέλαν.
ὀτοτοτοτοῖ.
μᾶ Γᾶ, μᾶ Γᾶ, βοᾶν
φοβερὸν ἀπότρεπε,
ὦ βᾶ Γᾶς παῖ Ζεῦ.
ΚΗ. οὗτοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε·
οὐ γάρ μ' ἔθρεψαν οὐδ' ἐγήρασαν τροφῇ.
antistr. XO. μαιμᾷ πέλας ὀίπους ὄφις,
ἔχιδνα δ' ὡς με
τί ποτ' ἓν
δακοσάχ

842. καὶ αὐτῶν τῶν ἀχέων πικρότερα ἴυζε. 844. εἷς ὑπὲρ τῶν Αἰγυπτίων πρεσβεύοι. 846. ὁ Νεῖλός σε. 849. τὴν ἐξ ἀμφοτέρων τῶν μερῶν ἐλισσομένην, ὅ ἐστιν ἀμφιέλισσαν. 852. ἡ τῶν βρετέων ἐπικουρία βλάπτει με. τοῦτο δέ φησιν, ἐπεὶ θαρσοῦσαι αὐταῖς (αὐτοῖς Vict.) ἐν τῷ φανερῷ κατελήφθησαν. 855. τουτέστιν μηδέν με οὖσαν. 857. ὦ μῆτερ γῆ. 859. ὦ πάτερ Ζεῦ, γῆς παῖ. ἡ αὐτὴ γὰρ Ῥέα καὶ Γῆ. 861. εἰς γῆράς με ἤγαγεν (l. ἤγαγον). 862. ἐνθουσιᾷ.

843. οἰ quinquies M. 844. *λυμασισ ὑπρογασυλάσκει* M. 846. ὃς *ἐπωπᾷ σ'* Schwerdtius. 847. *σε* M. 849—878. personarum vices paragraphis notantur ex ordine in M, nisi quod 873. 875. notatione carent. 849. *ἀμφίστροφον* schol. et Etym. Gud. p. 104: *ἀντίστροφον* M. 850. *ὅσον* Robortellus: *ὅρον* M. *τις* Turnebus: *τι* M. 851. *οὐδάμ' ἅζεται* Pauwius: *οὐ δαμάζεται* M. 862. *μαιμᾷ* Robortellus: *μαι μαι* M.

ὀτοτοτοτοῖ.
μᾶ Γᾶ, μᾶ Γᾶ, βοᾶν
φοβερὸν ἀπότρεπε,
ὦ βᾶ Γᾶς παῖ Ζεῦ.
ΚΗ. εἰ μή τις ἐς ναῦν εἶσιν αἰνέσας τάδε,
λακὶς χιτῶνος ἔργον οὐ κατοικτιεῖ.
str. ΧΟ. ἰὼ πόλεως ἀγοὶ πρόμοι, δάμναμαι.
ΚΗ. πολλοὺς ἄνακτας, παῖδας Αἰγύπτου, τάχα
ὄψεσθε· θαρσεῖτ', οὐκ ἐρεῖτ' ἀναρχίαν.
antistr. ΧΟ. διωλόμεσθ'· ἄελπτ', ἄναξ, πάσχομεν.
ΚΗ. ἔλξειν ἔοιχ' ὑμᾶς ἀποσπάσας κόμης,
ἐπεὶ οὐκ ἀκούετ' ὀξὺ τῶν ἐμῶν λόγων.
ΒΑ. οὗτος, τί ποιεῖς; ἐκ ποίου φρονήματος
ἀνδρῶν Πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα;
ἀλλ' ἦ γυναικῶν ἐς πόλιν δοκεῖς μολεῖν;
κάρβανος ὢν δ' Ἕλλησιν ἐγχλίεις ἄγαν·
καὶ πόλλ' ἁμαρτὼν οὐδὲν ὤρθωσας φρενί.
ΚΗ. τί δ' ἡμπλάκηται τῶνδ' ἐμοὶ δίκης ἄτερ;
ΒΑ. ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι.
ΚΗ. πῶς δ' οὐχί, τἀπολωλόθ' εὑρίσκων ἐγώ;
ΒΑ. ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις;
ΚΗ. Ἑρμῇ μεγίστῳ προξένῳ μαστηρίῳ.
ΒΑ. θεοῖσιν εἰπὼν τοὺς θεοὺς οὐδὲν σέβῃ.
ΚΗ. τοὺς ἀμφὶ Νεῖλον δαίμονας σεβίζομαι.
ΒΑ. οἱ δ' ἐνθάδ' οὐδέν, ὡς ἐγὼ σέθεν κλύω.
ΚΗ. ἄγοιμ' ἄν, εἴ τις τάσδε μὴ 'ξαιρήσεται.
ΒΑ. κλάοις ἄν, εἰ ψαύσειας, οὐ μάλ' ἐς μακράν.

871. τὴν ἐργασίαν τοῦ χιτῶνος. 882. εἰς ὀρθὴν ἦλθες.

---

872. πρόμοι Stanleius: πρόμνοι M. 873. 874 et 876. 877. sedes commutandas esse statuit Heathius. 874. θαρσεῖτ'· οὐκ ἐρεῖτ' ἀναρχίαν Robortellus: θάρσει τοῦ χερεῖ ταναρχίαν M. 875. διωλόμεσθ'· ἄελπτ', ἄναξ Robortellus: διωλόμεσθα ἑπτάναξ M. 877. οὐκ ἀκούετ' ὀξὺ Porsonus: οὐ κακοῦ ἔξυ M. 881. ὢν δ' Porsonus: δ' ἂν M. 882. ὤρθωσας φρενί Robortellus: ὤρθωσα φρενεῖ M. 883—97. singulis paragraphis notati in M. 885. ἄγω Porsonus. 886. προξένοις Victorius: προσξένοισ M. 890. κλύω Robortellus: κάτω M. 892. κλάοις M. οὐ Robortellus: οὐδὲ M.

ΚΗ. ἦκουσα τοὔπος οὐδαμῶς φιλόξενον.
ΒΑ. οὐ γὰρ ξενοῦμαι τοὺς θεῶν συλήτορας.
ΚΗ. λέγοιμ' ἂν ἐλθὼν παισὶν Αἰγύπτου τάδε.
ΒΑ. ἀβουκόλητον τοῦτ' ἐμῷ φρονήματι.
ΚΗ. ἀλλ' ὡς ἂν εἰδὼς ἐννέπω σαφέστερον·
καὶ γὰρ πρέπει κήρυκ' ἀπαγγέλλειν τορῶς
ἕκαστα· πῶς φῶ; πρὸς τίνος τ' ἀφαιρεθεὶς
ἥκειν γυναικῶν αὐτανέψιον στόλον;
οὗτοι δικάζει ταῦτα μαρτύρων ὕπο
Ἄρης· τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῇ
ἔλυσεν, ἀλλὰ πολλὰ γίγνεται πάρος
πεσήματ' ἀνδρῶν κἀπολακτισμοὶ βίου.
ΒΑ. τί σοι λέγειν χρὴ τοὔνομ'; ἐν χρόνῳ μαθὼν
εἴσῃ σύ τ' αὐτὸς χοἱ ξυνέμποροι σέθεν.
ταύτας δ' ἑκούσας μὲν κατ' εὔνοιαν φρενῶν
ἄγοις ἄν, εἴπερ εὐσεβὴς πίθοι λόγος.
τοιάδε δημόπρακτος ἐκ πόλεως μία
ψῆφος κέκραναι, μήποτ' ἐκδοῦναι βίᾳ
στόλον γυναικῶν· τῶνδ' ἐφήλωται τορῶς
γόμφος διαμπάξ, ὡς μένειν ἀραρότως.
ταῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα
οὐδ' ἐν πτυχαῖς βίβλων κατεσφραγισμένα,
σαφῆ δ' ἀκούεις ἐξ ἐλευθεροστόμου
γλώσσης. κομίζου δ' ὡς τάχιστ' ἐξ ὀμμάτων.
ΚΗ. ἴσθι μὲν τάδ' ἤδη πόλεμον αἴρεσθαι νέον.

901. οὐ δείσει μαρτύρων ἡμῖν· ὁ γὰρ Ἄρης κρίνει τὸ νεῖκος. οὐδὲ γὰρ ἄργυρον παρ' ὑμῶν λαμβάνοντες εἰρηνεύσαιμεν ἄν. 913. οὐκ ἐγγράφως ταῦτα εἶπον, ἀλλὰ ζώσῃ φωνῇ.

---

895. λέγοιμ' Heathius: λέγοισ M. 901—904. ab hoc loco alienos potius cum verbis praeconis, quae leguntur 917. 18, coniungendos esse intellexit Schuetzius. 903. γίνεται M. 904. βίων Plutarchus de fac. in orbe lun. p. 937. de curios. p. 517. 905. personae nota nulla in M. 906. εἴσει σύ τ' αὐτὸς χοί Burgesius: εἰσθιγαντοσ χοιϊ (in margine ἴσως γ' αὐτὸς χ' οἱ ξυνέμποροι) M. 908. λόγος Turnebus: λόγοισ M. post hunc versum vereor ne nonnulla exciderint. 911. τῶνδ' ἐφήλωται τορῶς Turnebus: τῶνδε φιλωταὶ τορῶ M. 912. ἀραρότα Meinekius. 917. omissa personarum notatio in M hic et 919. 917. αἴρεσθαι Porsonus: ἐρεισθε vel ἐρισθε M.

εἴη δὲ νίκη καὶ κράτη τοῖς ἄρσεσιν.
ΒΑ. ἀλλ' ἄρσενάς τοι τῆσδε γῆς οἰκήτορας
εὑρήσετ' οὐ πίνοντας ἐκ κριθῶν μέθυ.
ὑμεῖς δὲ πᾶσαι σὺν φίλαις ὀπάοσιν
θράσος λαβοῦσαι στείχετ' εὐερκῆ πόλιν
πύργων βαθείᾳ μηχανῇ κεκλημένην.
καὶ δώματ' ἐστὶ πολλὰ μὲν τὰ δήμια,
δεδωμάτωμαι δ' οὐδ' ἐγὼ σμικρᾷ χερί·
ἔνθ' ὔμιν ἔστιν εὐτύκους ναίειν δόμους
πολλῶν μετ' ἄλλων· εἰ δέ τις μείζων χάρις,
πάρεστιν οἰκεῖν καὶ μονορρύθμους δόμους.
τούτων τὰ λῷστα καὶ τὰ θυμηδέστατα,
πάρεστι, λωτίσασθε. προστάτης δ' ἐγὼ
ἀστοί τε πάντες, ὥνπερ ἥδε κραίνεται
ψῆφος. τί τῶνδε κυριωτέρους μένεις;
ΧΟ. ἀλλ' ἀντ' ἀγαθῶν ἀγαθοῖσι βρύοις,
δῖε Πελασγῶν.
πέμψον δὲ πρόφρων δεῦρ' ἡμέτερον
πατέρ' εὐθαρσῆ
Δαναόν, πρόνοον καὶ βούλαρχον.
τοῦ γὰρ προτέρα μῆτις, ὅπου χρὴ
δώματα ναίειν καὶ τόπος εὔφρων.
πᾶς τις ἐπειπεῖν ψόγον ἀλλοθρόοις
εὔτυκος· εἴη δὲ τὰ λῷστα.
σύν τ' εὐκλείᾳ καὶ ἀμηνίτῳ
βάξει λαῶν ἐν χώρῳ

920. πρὸ γὰρ τῆς εὑρέσεως τοῦ οἴνου τοῦτο ἐξεῦρον Αἰγύπτιοι. λέγεται δὲ μεθύσκειν. 928. ὡς πολλῶν ξένων ἐκεῖ οἰκούντων. 932. ἐμοῦ καὶ τῶν ἀστῶν. 934. ὡς δῖα γυναικῶν (Hom. Od. σ. 208). 937. τὸν πρόνοιαν ἡμῶν ποιούμενον. 940. ἐπεὶ πᾶς ἄνθρωπός ἐστιν ἕτοιμος εἰς τὸ ψέγειν τοὺς ξένους.

---

918. κράτος Weilius. 921. φίλαις Schuetzius: φίλοισ M. 923. κεκλημένην M. 926. ἔνθ' ὔμιν K: εὐθυμεῖν M. εὐτύκους Bothius: εὐτυχουση M. δόμους Turnebus: δόμοισ M. 928. μονορύθμουσ M. 930. λωτίσασθε Canterus: λωτίσασθαι M. 933. paragraphus adscripta in M. ἀγαθοῖσι Porsonus: ἀγαθοῖσ M. 941. εὔτυκος Spanhemius: εὔτυκτοσ M. post hunc versum nonnulla excidisse statuit Hermannus.

τάσσεσθε, φίλαι δμωίδες, οὕτως
ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν
Δαναὸς Θεραποντίδα φερνήν.
ΔΑ. ὦ παῖδες, Ἀργείοισιν εὔχεσθαι χρεὼν
θύειν τε λείβειν θ', ὡς θεοῖς Ὀλυμπίοις,
σπονδάς, ἐπεὶ σωτῆρες οὐ διχορρόπως.
καί μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐγγενεῖς
φίλους πικρῶς ἤκουσαν αὐτανεψίοις·
ἐμοὶ δ' ὀπαδοὺς τούσδε καὶ δορυσσόους
ἔταξαν, ὡς ἔχοιμι τίμιον γέρας,
καὶ μήτ' ἀέλπτως δορικανεῖ μόρῳ θανὼν
λάθοιμι, χώρᾳ δ' ἄχθος ἀείζων πέλοι.
τοιῶνδε τυγχάνοντας εὐπρυμνῇ φρενὸς
χάριν σέβεσθαι τιμιωτέραν ἐμοῦ.
καὶ ταῦτα μὲν γράψεσθε πρὸς γεγραμμένοις
πολλοῖσιν ἄλλοις σωφρονίσμασιν πατρός,
ἀγνῶθ' ὅμιλον ὡς ἐλέγχεσθαι χρόνῳ.
πᾶς δ' ἐν μετοίκῳ γλῶσσαν εὔτυκον φέρει
κακήν, τό τ' εἰπεῖν εὐπετὲς μύσαγμά πως.
ὑμᾶς δ' ἐπαινῶ μὴ καταισχύνειν ἐμέ,
ὥραν ἐχούσας τήνδ' ἐπίστρεπτον βροτοῖς.
τέρειν' ὀπώρα δ' εὐφύλακτος οὐδαμῶς,
θῆρες δὲ κηραίνουσι καὶ βροτοί, τί μήν;
καὶ κνώδαλα πτεροῦντα καὶ πεδοστιβῆ.
καρπώματα στάζοντα κηρύσσει Κύπρις

959. σωφρονεῖτε, ὅπως ὁ τῶν Αἰγυπτιαδῶν ὅμιλος καταγνωσθείη ὑπὸ τῶν Ἀργείων καὶ μὴ ἡμεῖς. 961. τὸ εἰπεῖν μυσαρόν τι κατὰ τῶν ξένων εὐχερῶς (εὐχερές Vict.) ἐστιν. 964. τὴν ἐπιστροφῆς δεομένην· ἢ τὴν ἐπιστρέφουσαν εἰς θέαν. 966. πάντα ἐπιθυμίᾳ δουλεύουσι.

947. paragrapho notat M. 950. ἐγγενεῖς Heathius: ἐκτενεῖσ M. 951. φίλους b: φίλου vel φίλου (sec. Merkel.) M. αὐτανεψίοις Krusius: αὐτανεψίουσ M. 952. ἐμοὶ δ' Schuetzius: ἐμοὺσ, σ in δ' mutato, M. 954. δορικανεῖ μόρῳ Porsonus: δόρυκ' ἀνημέρωι M. 956. τυγχάνοντα πρευμενῆ Paleius. 958. καὶ ταῦτ' ἄμ' ἐγγράψασθε Hermannus. γεγραμμένοις Robortellus: γεγραμμένουσ M. post 959. excidisse nonnulla intellexit Weilius. 960. ὅμιλοσ M. 961. εὔτυκον Spanhemius: εὔτυχον M. 966. τιμὴν M. 967. πεδοστιβῆ Robortellus: παιδοστιβῆ M.

κάλωρα κωλύουσαν θωσμένην ἐρῶ
καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι
πᾶς τις παρελθὼν ὄμματος θελκτήριον
τόξευμ' ἔπεμψεν, ἱμέρου νικώμενος.
πρὸς ταῦτα μὴ πάθωμεν ὧν πολὺς πόνος,
πολὺς δὲ πόντος εἵνεκ' ἠρόθη δορί,
μηδ' αἶσχος ἡμῖν, ἡδονὴν δ' ἐχθροῖς ἐμοῖς
πράξωμεν. οἴκησις δὲ καὶ διπλῆ πάρα,
τὴν μὲν Πελασγός, τὴν δὲ καὶ πόλις διδοῖ,
οἰκεῖν λάτρων ἄτερθεν· εὐπετῆ τάδε.
μόνον φύλαξαι τάσδ' ἐπιστολὰς πατρός,
τὸ σωφρονεῖν τιμῶσα τοῦ βίου πλέον.
ΧΟ. τἄλλ' εὐτυχοῖμεν πρὸς θεῶν Ὀλυμπίων·
ἐμῆς δ' ὀπώρας εἵνεκ' εὖ θάρσει, πάτερ.
εἰ γάρ τι μὴ θεοῖς βεβούλευται νέον,
ἴχνος τὸ πρόσθεν οὐ διαστρέψω φρενός.

(Danaides)

str. ΧΟ. ἴτε μὰν ἀστυάνακτας
μάκαρας θεοὺς γανάεντες
πολιούχους τε καὶ οἳ χεῦμ' Ἐρασίνου
περιναίετε παλαιόν.
ὑποδέξασθε [δ'] ὀπαδοὶ
μέλος· αἶνος δὲ πόλιν τήνδε Πελασγῶν
ἐχέτω, μηδ' ἔτι Νείλου
προχοὰς σέβωμεν ὕμνοις·
antistr. ποταμοὺς δ' οἳ διὰ χώρας
θελεμὸν πῶμα χέουσιν
πολύτεκνοι, λιπαροῖς χεύμασι γαίας

973. μὴ ὑποπέσητε ἀνδράσιν. 995. πολυτεκνίας πρόξενοι.

---

969. μένην M. 974. οὕνεκ' ἠρόθη Heathius: οὖν ἐκληρώθη (ἐκληρόθη Merkel.) M. 976. οἴκησις Robortellus: οἰκήσεισ M. 977. me iudice spurius. 978. λάτρων Hermannus: λατρῶν M. 979. φυλάξαι M. 981. paragraphus non huic, sed insequenti versui adscripta in M. 982. οὕνεκ' M. 985. paragraphus praefixa in M. 986. μάκαρας Stanleius: μακρασ M. ἀγαλοῦντες Paleius. 988. περιναίονται Hermannus. 989. ὑποδέξασθε δ' Heathius: ὑποδέξασθ' M. 990. μέλος Legrandius: μένοσ M. αἶνος Robortellus: αἰνὸσ M. 992. προχοάς Robortellus: πρὸσ χοὰσ M.

τόδε μειλίσσοντες οὖδας.
ἐπίδοι δ' Ἄρτεμις ἁγνὰ
στόλον οἰκτιζομένα, μηδ' ὑπ' ἀνάγκας
γάμος ἔλθοι Κυθερείας·
στύγειον πέλοι τόδ' ἄθλον.

(Ancillae)

str. Κύπριδος [δ'] οὐκ ἀμελεῖ θεσμὸς ὅδ' εὔφρων.
δύναται γὰρ Διὸς ἄγχιστα σὺν Ἥρᾳ·
τίεται δ' αἰολόμητις
θεὸς ἔργοις ἐπὶ σεμνοῖς.
μετάκοινοι δὲ φίλᾳ ματρὶ πάρεισιν
Πόθος [ᾧ] τ' οὐδὲν ἄπαρνον
τελέθει θέλκτορι Πειθοῖ.
δέδοται δ' Ἁρμονίᾳ μοῖρ' Ἀφροδίτας
ψεύδεα τρίβοι τ' ἐρώτων.
antistr. φυγάδεσσιν δ' ἐπιπνοίας κακά τ' ἄλγη
πολέμους θ' αἱματόεντας προφοβοῦμαι.
τί ποτ' εὔπλοιαν ἔπραξαν
ταχυπόμποισι διωγμοῖς;
ὅ τί τοι μόρσιμόν ἐστιν, τὸ γένοιτ' ἄν.
Διὸς οὐ παρβατός ἐστιν
μεγάλα φρὴν ἀπέρατος·
μετὰ πολλῶν δὲ γάμων ἅδε τελευτὰ
προτεραῖν πέλοι γυναικῶν.

1001. ὁ τοῦ ὑμετέρου (ἡμετέρου Vict.) ὕμνου νόμος. 1005. κοινωνοί. 1008. ἡ ἁρμονία μετέχει τῆς Ἀφροδίτης. ψευδὴς δέ, ὅτι πολλὰ ψεύδονται οἱ ἐρῶντες. 1011. δέδοικα, ὅτι εὐπλοίας ἔτυχον, μὴ καὶ τὸ τοῦ γάμου τύχωσι. 1017. μετὰ ἄλλων πολλῶν γάμων γυναικῶν καὶ οὗτος τελεσθήσεται.

---

996. *μειλίσσοντες* Pauwius: *μολίσσοντεσ* M. 999. *ἔλθοι* c: *ἔλθει* M. 1001. δ' addidit Porsonus. 1005. *δὲ φίλᾳ* Burgesius: δ' *αἱ φίλαι* M. 1006. ᾧ addidit Wellauerus. 1007. *θέλκτορι* Bothius: *θεα | κτορι* M. *πειθοῖ* c: *πιθοῖ* M. 1009. *ψεύδρα* M. 1010. *φυγάδεσσιν* Burgesius: *φυγάδεσ* M. *ἐπιπνοίας* Turnebus: *ἐπιπνοίαι* M. 1015. *παρβατός* Askewius: *παραβάτασ* M. 1018. *προτεραῖν* Bothius: *προτέραν* M.

(Danaides, ancillae)
(Danaides)
str. ὁ μέγας Ζεὺς ἀπαλέξαι
γάμον Αἰγυπτογενῆ μοι.
(Ancillae)
τὸ μὲν ἂν βέλτατον εἴη.
σὺ δὲ θέλγοις ἂν ἄθελκτον.
(Danaides)
σὺ δέ γ' οὐκ οἶσθα τὸ μέλλον.
(Ancillae)
antistr. τί δὲ μέλλω φρένα Λίαν
καθοράν, ὄψιν ἄβυσσον;
(Danaides)
μέτριον νῦν ἔπος εὔχου.
τίνα καιρόν με διδάσκεις;
(Ancillae)
τὰ θεῶν μηδὲν ἀγάζειν.
(Una voce omnes)
str. Ζεὺς ἄναξ ἀποστεροί-
η γάμον δυσάνορα
δάιον, ὅσπερ Ἰὼ
πημονᾶς ἐλύσατ' εὖ
χειρὶ παιωνίᾳ κατασχέθων
εὐμενεῖ βίᾳ κτίσας.
antistr. καὶ κράτος νέμοι γυναι-
ξίν· τὸ βέλτερον κακοῦ
καὶ τὸ δίμοιρον αἰνῶ,
καὶ δίκᾳ δίκας ἔπε-
σθαι, ξὺν εὐχαῖς ἐμαῖς λυτηρίοις
μηχαναῖς θεοῦ πάρα.

1028. λίαν ἐξετάζειν. 1037. ἡδέως ἔχω τὸ δίμοιρον τῶν κακῶν σὺν ἑνὶ ἀγαθῷ, ὅ ἐστι τῇ ἀπαλλαγῇ τοῦ γάμου. *Pindaros* (Pyth. 3, 145)· ἓν παρ' ἐσθλὸν σύνδυο δαίονται πήματα βροτοῖς ἀθάνατοι.

1022. θέλγοις ἂν ἄθελκτον Stephanus: θέλγεισ ἀνάθελκτον M. 1029. Ζεύς Robortellus: ζεῦ M. 1030. γάμον c: γάμου M. 1037. τὸ schol.: τε M. 1038. δίκᾳ Burgesius: δίκα M. subscriptum in M: τέλοσ δεδωκὼσ χριστὲ σοὶ χάριν φέρω.

ΑΙΣΧΥΛΟΥ
ΠΡΟΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ.

Ὑπόθεσις Προμηθέως δεσμώτου.

Προμηθέως ἐν Σκυθίᾳ δεδεμένου διὰ τὸ κεκλοφέναι τὸ πῦρ πυνθάνεται Ἰὼ πλανωμένη, κατ' Αἴγυπτον γενομένη ὅτι ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξεται τὸν Ἔπαφον. Ἑρμῆς δὲ παράγεται ἀπειλῶν αὐτῷ κερανωθήσεσθαι, ἐὰν μὴ εἴπῃ τὰ μέλλοντα ἔσεσθαι τῷ Διί, καὶ τέλος βροντῆς γενομένης ἀφανὴς γίνεται ὁ Προμηθεύς.

κεῖται δὲ ἡ μυθοποιία ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κολχίσι (Κόλχοις M), παρὰ δὲ Εὐριπίδῃ ὅλως οὐ κεῖται. ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον ὄρος· ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ὠκεανίδων νυμφῶν. τὸ δὲ κεφάλαιον αὐτοῦ ἐστι Προμηθέως δέσις.

τὰ τοῦ δράματος πρόσωπα·

Κράτος καὶ Βία
Ἥφαιστος
Προμηθεύς
χορὸς Ὠκεανίδων
Ὠκεανός
Ἰὼ Ἰνάχου
Ἑρμῆς
Γῆ
Ἡρακλῆς.

Κράτος. Χθονὸς μὲν εἰς τηλουρὸν ἥκομεν πέδον,
Σκύθην ἐς οἶμον, ἄβροτον εἰς ἐρημίαν.
Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς
ἃς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις
ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι
ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις.
τὸ σὸν γὰρ ἄνθος, παντέχνου πυρὸς σέλας,
θνητοῖσι κλέψας ὤπασεν· τοιᾶσδέ τοι
ἁμαρτίας σφε δεῖ θεοῖς δοῦναι δίκην,
ὡς ἂν διδαχθῇ τὴν Διὸς τυραννίδα
στέργειν, φιλανθρώπου δὲ παύεσθαι τρόπου.
Ἥφαιστος. Κράτος Βία τε, σφῷν μὲν ἐντολὴ Διὸς
ἔχει τέλος δὴ κοὐδὲν ἐμποδὼν ἔτι·

2. τοῦτο εἰς τὸ ἀπαραμύθητον τοῦ δεθησομένου. καὶ Σοφοκλῆς τὸ αὐτὸ περὶ Φιλοκτήτου λέγει. 3. δίχα φασὶν Ἀθηναῖοι, ἐπιστολὰς καὶ ἐντολάς. 5. λαῶν ἔργον ὀφείλοντα γενέσθαι. 7. ταῦτα ἐρεθίζων Ἥφαιστόν φησιν, ὡς εἰ ἔλεγεν τὸν σὸν κόσμον. καὶ παρὰ τὸ Ὁμήρου (Il. *I*. 212) αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ. 9. τὸ χ διὰ τὸ σφέ. 11. ἰστέον ὅτι οὐ κατὰ τὸν κοινὸν λόγον ἐν τῷ Καυκάσῳ φησὶ δεδέσθαι τὸν Προμηθέα, ἀλλὰ πρὸς τοῖς Εὐρωπαίοις τέρμασι τοῦ Ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων ἔστι συμβαλεῖν. 12. ἐν παραχορηγήματι αὐτῷ εἰδωλοποιηθεῖσα Βία. παρὰ Ἀθηναίοις Αἰδὼς τιθηνὸς Ἀθηνᾶς, Τόλμης τε καὶ Ἀναιδείας τεμένη παρὰ αὐτοῖς. 13. ἡ μὲν παρὰ τοῦ Διὸς ἐντολὴ ἡ δι' ὑμῶν ἀγγελθεῖσά μοι ἔχει ἤδη τέλος καὶ οὐδέν ἐστιν ἐμποδὼν τοῦ γενέσθαι, ἄκων δὲ ἐπιχειρήσω τῷ δεσμεύειν.

---

2. ἄβροτον scholl. Hom. Il. Ξ. 78. Aristoph. Rann. 814: ἄβατόν τ' M. 6. ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις schol. Aristoph. Rann. 814: ἀδαμαντίναισι πέδησιν ἐν ἀρρήκτοισι πέτραισι M.

ἐγὼ δ᾽ ἄτολμός εἰμι συγγενῆ θεὸν
δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ.
πάντως δ᾽ ἀνάγκη τῶνδέ μοι τόλμαν σχεθεῖν·
ἐξωριάζειν γὰρ πατρὸς λόγους βαρύ.
τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ,
ἄκοντά σ᾽ ἄκων δυσλύτοις χαλκεύμασι
προσπασσαλεύσω τῷδ᾽ ἀπανθρώπῳ τόπῳ,
ἵν᾽ οὔτε φωνὴν οὔτε του μορφὴν βροτῶν
ὄψει, σταθευτὸς δ᾽ ἡλίου φοίβῃ φλογὶ
χροιᾶς ἀμείψεις ἄνθος· ἀσμένῳ δέ σοι
ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος,
πάχνην θ᾽ ἑῴαν ἥλιος σκεδᾷ πάλιν·
ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ
τρύσει σ᾽· ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.
τοιαῦτ᾽ ἐπηύρου τοῦ φιλανθρώπου τρόπου.
θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον
βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης.
ἀνθ᾽ ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν,
ὀρθοστάδην, ἄυπνος, οὐ κάμπτων γόνυ·

14. τὸν ἀπὸ μιᾶς ὁρμιώμενον τέχνης. 15. ἄνω ἄβατον καὶ ὑψηλόκρημνον αὐτὴν εἶπεν, ὧδε (δὲ add. Dind.) προσανεπλήρωσε τὸ δυσχειμέρῳ. 17. ἔξω ὥρας καὶ φροντίδος ποιεῖσθαι. 18. ἀποστροφὴ πρὸς τὸν Προμηθέα. Θέμιδος δὲ τὸν Προμηθέα φησὶ καὶ οὐ Κλυμένης. 22. φλογιζόμενος. σταθεύειν γὰρ τὸ κατ᾽ ὀλίγον ὀπτᾶν φασὶν Ἀττικοί. 23. χροιᾶς καὶ στοιᾶς φασὶν Ἀθηναῖοι. 24. ποικιλείμων ἢ ὡς λειμὼν τοῖς ἄστροις ποικιλλομένη. τοῦ ἡλίου. 25. πάλιν ἐκ διαδοχῆς μετὰ τὴν νύκτα σκεδάσει· ἐν νυκτὶ δὲ ἴσμεν ὅτι γίνεται ἡ πάχνη. ταύτην, φησίν, ὑπὸ τὸν ὄρθρον ἀνατέλλων ὁ ἥλιος ἀποσκεδάσει σοι. ἑῴαν δὲ τὴν ὑπὸ τὴν ἕω γινομένην. δηλοῖ δὲ ὅτι οὐδὲ ἡ νὺξ ἀσμένη αὐτῷ ἔσται. 27. ὁ ποιήσων σε λωφήσων (λωφῆσαι recc.) Ἡρακλῆς. 28. τοιούτων, φησίν, ἐπέτυχες φιλάνθρωπος γενόμενος. ἐν ἤθει δὲ ὁ λόγος. οἷον τὰ ἐπίχειρα τῆς φιλανθρωπίας ταῦτά σοι ἐγένετο. 31. τινές, ἦν οὐ δυνήσῃ παρατραπῆναι. ἀτερπῆ διὰ τὰ ἐπαγόμενα.

·προσ·

15. τῆι δυσχειμέρωι M. 16. σχέθειν M. 17. εὐωριάζειν Blomfieldus. 20. πάγῳ recc. 28. ἐπηύρου Elmsleius: ἐπηύρω M.

πολλοὺς δ' ὀθυρμοὺς καὶ γόους ἀνωφελεῖς
φθέγξῃ· Διὸς γὰρ δυσπαραίτητοι φρένες·
ἅπας δὲ τραχὺς ὅστις ἂν νέον κρατῇ.
ΚΡ. εἶεν, τί μέλλεις καὶ κατοικτίζῃ μάτην;
τί τὸν θεοῖς ἔχθιστον οὐ στυγεῖς θεόν,
ὅστις τὸ σὸν θνητοῖσι προὔδωκεν γέρας;
ΗΦ. τὸ συγγενές τοι δεινὸν ἦ θ' ὁμιλία.
ΚΡ. σύμφημι· ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων
οἷόν τε πῶς; οὐ τοῦτο δειμαίνεις πλέον;
ΗΦ. αἰεί τε δὴ νηλὴς σὺ καὶ θράσους πλέως.
ΚΡ. ἄκος γὰρ οὐδὲν τόνδε θρηνεῖσθαι· σὺ δὲ
τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.
ΗΦ. ὦ πολλὰ μισηθεῖσα χειρωναξία.
ΚΡ. τί νιν στυγεῖς; πόνων γὰρ ὡς ἁπλῶ λόγῳ
τῶν νῦν παρόντων οὐδὲν αἰτία τέχνη.
ΗΦ. ἔμπας τις αὐτὴν ἄλλος ὤφελεν λαχεῖν.
ΚΡ. ἅπαντ' ἐπαχθῆ πλὴν θεοῖσι κοιρανεῖν·
ἐλεύθερος γὰρ οὔτις ἐστὶ πλὴν Διός.
ΗΦ. ἔγνωκα τοῖσδε κοὐδὲν ἀντειπεῖν ἔχω.
ΚΡ. οὔκουν ἐπείξῃ δεσμὰ τῷδε περιβαλεῖν,
ὡς μή σ' ἐλινύοντα προσδερχθῇ πατήρ;
ΗΦ. καὶ δὴ πρόχειρα ψέλια δέρκεσθαι πάρα.
ΚΡ. λαβών νιν ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει

33. προαναφωνεῖ τὰς μονῳδίας αὐτοῦ. 35. ἅπας δὲ τραχὺς ὅστις ἂν νεοκρατῇ: γνώμη. χαλεπαὶ δὲ τῶν ἀνάκτων εἰσὶν ἀπειλαὶ τῶν νέων. ταῦτα δέ φησιν ὡς νεωστὶ τοῦ Διὸς (τὸν πατέρα add. recc.) ἐκβάλλοντος (ἐκβαλόντος recc.). 39. πυρὸς ταμίας γὰρ καὶ αὐτός. 42. πρὸς τὸν Δία, οὐ πρὸς τὸ θράσος (Κράτος recc.). ὤφειλε γὰρ οὐδετέρως ἀποδοῦναι. 45. χειρωναξία: ἡ διὰ τῶν χειρῶν ἐργασία. 47. ἠνίξατο ὅτι τὴν αἰτίαν Διὸς εἰς τὴν τέχνην μετήγαγεν. 49. ὥρισται, ἐτυπώθη. τινὲς δέ, πάντα ἐκ Μοιρῶν δέδοται τοῖς θεοῖς πλὴν τοῦ ἄρχειν. 53. χρονίζοντα. 54. ψάλιά ἐστι κυρίως τὰ περιστόμια τῶν ἵππων. 55. νιν πληθυντικῶς τὰ ψάλια.

35. ὅτισ M. 40. personae nota deest in M. 42—82. personarum vices paragraphis ex ordine adpositis notat M. 42. γε recc. 49. ἐπαχθῆ Stanleius: ἐπράχθη M. 54. ψέλια recc.: ψάλια M. 55. βαλών Stanleius.

ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις.
ΗΦ. περαίνεται δὴ κοὐ ματᾷ τοὔργον τόδε.
ΚΡ. ἄρασσε μᾶλλον, σφίγγε, μηδαμῇ χάλα.
δεινὸς γὰρ εὑρεῖν κἄξ ἀμηχάνων πόρους.
ΗΦ. ἄραρεν ἥδε γ' ὠλένη δυσεκλύτως.
ΚΡ. καὶ τήνδε νῦν πόρπασον ἀσφαλῶς, ἵνα
μάθῃ σοφιστὴς ὢν Διὸς νωθέστερος.
ΗΦ. πλὴν τοῦδ' ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι.
ΚΡ. ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον
στέρνων διαμπὰξ πασσάλευ' ἐρρωμένως.
ΗΦ. αἰαῖ, Προμηθεῦ, σῶν ὕπερ στένω πόνων.
ΚΡ. σὺ δ' αὖ κατοκνεῖς τῶν Διὸς τ' ἐχθρῶν ὕπερ
στένεις; ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτε.
ΗΦ. ὁρᾷς θέαμα δυσθέατον ὄμμασιν.
ΚΡ. ὁρῶ κυροῦντα τόνδε τῶν ἐπαξίων.
ἀλλ' ἀμφὶ πλευραῖς μασχαλιστῆρας βάλε.
ΗΦ. δρᾶν ταῦτ' ἀνάγκη, μηδὲν ἐγκέλευ' ἄγαν.
ΚΡ. ἦ μὴν κελεύσω κἀπιθωύξω γε πρός.
χώρει κάτω, σκέλη δὲ κἰρκωσον βίᾳ.
ΗΦ. καὶ δὴ πέπρακται τοὔργον οὐ μακρῷ πόνῳ.
ΚΡ. ἐρρωμένως νῦν θεῖνε διατόρους πέδας·
ὡς οὐπιτιμητής γε τῶν ἔργων βαρύς.
ΗΦ. ὅμοια μορφῇ γλῶσσά σου γηρύεται.

57. οὐ μάτην γίνεται. 63. πλὴν τοῦ Προμηθέως. 64. ἥλῳ σιδηρῷ τὰ στήθη αὐτοῦ διαπαττάλευε, ἐπεὶ ἐντεῦθεν αὐτῷ ἡ ἀγχίνοια. ἧλον σιδηροῦ ἄκρον, τὴν ὀξύτητα. 67. ὀκνεῖς τέλεον ἀποδεῖν. 68. σκόπει. 71. δεσμά. ἀντὶ τοῦ δέσμευε αὐτὸν καὶ παρὰ τὰ πλευρά. 74. διὰ τοῦ χώρει κάτω τὸ μέγεθος ἐνέφηνε τοῦ δεσμευομένου θεοῦ. ἀντὶ τοῦ κρίκωσον. 76. διατιτρωσκούσας ἢ διατετορνευμένας. 77. ὁ ἐπιτιμᾶν μέλλων σοι, εἴ γε ἀμελήσοις, ὁ Ζεύς. 78. ὡς ἐκτραπέλου πεποιημένου τοῦ προσώπου αὐτοῦ. ἁρμόζει τῇ μορφῇ σου τὰ τραχέα σου ῥήματα.

59. πόρους Dionysius Antt. Rom. 7, 36. Marcellin. vit. Thucydid. 5. schol. Aristoph. Eqq. 759: πόρον M. 66. ὕπερ στένω Schuetzius: ὑποστένω, mut. in ὑπερστένω, M. 70. τωνδε M. 77. γε recc.: σε, σ in τ mutato a manu rec., M.

ΚΡ. σὺ μαλθακίζου, τὴν δ' ἐμὴν αὐθαδίαν
ὀργῆς τε τραχύτητα μὴ 'πίπλησσέ μοι.
ΗΦ. στείχωμεν, ὡς κώλοισιν ἀμφίβληστρ' ἔχει.
ΚΡ. ἐνταῦθα νῦν ὕβριζε, καὶ θεῶν γέρα
συλῶν ἐφημέροισι προστίθει. τί σοι
οἷοί τε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων;
ψευδωνύμως σε δαίμονες Προμηθέα
καλοῦσιν· αὐτὸν γάρ σε δεῖ προμηθέως,
ὅτῳ τρόπῳ τῆσδ' ἐκκυλισθήσῃ τέχνης.
Προμηθεύς. ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαί,
ποταμῶν τε πηγαί, ποντίων τε κυμάτων
ἀνήριθμον γέλασμα, παμμῆτόρ τε γῆ,
καὶ τὸν πανόπτην κύκλον ἡλίου καλῶ·
ἴδεσθέ μ' οἷα πρὸς θεῶν πάσχω θεός.
δέρχθητ' οἵαις αἰκίαισιν
διακναιόμενος τὸν μυριετῆ
χρόνον ἀθλεύσω.
τοιόνδ' ὁ νέος ταγὸς μακάρων
ἐξηῦρ' ἐπ' ἐμοὶ δεσμὸν ἀεικῆ.
φεῦ φεῦ, τὸ παρὸν τό τ' ἐπερχόμενον
πῆμα στενάχω, πῇ ποτε μόχθων
χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι.
καίτοι τί φημί; πάντα προὐξεπίσταμαι

80. τὰ ἐκ φύσεως προσόντα μὴ ὀνείδιζέ μοι. 81. ἐν ποσὶ καὶ χερσὶ τὰ δεσμὰ ἔχει. 85. εὐφυῶς ἀπὸ τοῦ ὀνόματος ἔλαβε τὸ διανόημα· Προμηθεὺς γὰρ ὁ προορῶν τὰ μήδεα, καὶ (del.) τροπῇ τοῦ δ εἰς τὸ θ. 87. τῶν δεσμῶν. 88. τεχνικὸν τὸ μὴ εὐθὺς εἰσάγειν λαλοῦν τὸ συνεκτικὸν πρόσωπον πρὸς ἐρεθισμὸν τοῦ ἀκροατοῦ. μεγαλοφυῶς δὲ τὰ δ' στοιχεῖα ἐπικαλεῖται. μονωδεῖ δὲ πάντων ἀποστάντων. 90. διάχυμα. 91. ἥλλαξε τὴν φράσιν. 94. πολυετῆ· ἐν γὰρ τῷ πυρφόρῳ γ' μυριάδας φησὶ δεδέσθαι αὐτόν. 100. ἐπιτεῖλαι: ἀντὶ τοῦ ἐπιτελεσθήσεσθαι. ὃν ἐκ Τροίας ἐπετέλλετο Παλλὰς Ἀθήνη (Hom. Od. α. 327). ἀντὶ τοῦ ἐπιτελέσαι.

---

88. δῖος recc.: διὸς M. 90. παμμῆτορ recc.: παμμήτωρ M. 93. αἰκίαισι M. 97. ἐξεῦρ' M. 99. πῇ Turnebus: ποῖ M.

σκεθρῶς τὰ μέλλοντ', οὐδέ μοι προταίνιον
πῆμ' οὐδὲν ἥξει. τὴν πεπρωμένην δὲ χρὴ
αἶσαν φέρειν ὡς ῥᾷστα, γιγνώσκονθ' ὅτι
τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος. 105
ἀλλ' οὔτε σιγᾶν οὔτε μὴ σιγᾶν τύχας
οἷόν τέ μοι τάσδ' ἐστί. θνητοῖς γὰρ γέρα
πορὼν ἀνάγκαις ταῖσδ' ἐνέζευγμαι τάλας·
ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς
πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης 110
πάσης βροτοῖς πέφηνε καὶ μέγας πόρος.
τοιῶνδε ποινὰς ἀμπλακημάτων τίνω,
ὑπαίθριος δεσμοῖσι πασσαλεύμενος.
ἆ ἆ, ἔα ἔα.
τίς ἀχώ, τίς ὀδμὰ προσέπτα μ' ἀφεγγής, 115
θεόσυτος, ἢ βρότειος, ἢ κεκραμένη;
ἵκετο τερμόνιον ἐπὶ πάγον
πόνων ἐμῶν θεωρός, ἢ τί δὴ θέλων;
ὁρᾶτε δεσμώτην με δύσποτμον θεόν,
τὸν Διὸς ἐχθρόν, τὸν πᾶσι θεοῖς 120

102. ἀκριβῶς. πρόσφατον, ἀπροόρατόν μοι. 106. ἀλλ' οὔτε σιγᾶν δύναμαι· ἀλγῶ γάρ· οὔτε μὴ ἐλέγχειν· εὐλαβοῦμαι γὰρ τὸν Δία. 108. ὃ ὁρῶν ὁ Ζεὺς οὐκ ἐπιλήσεται τῆς εἰς ἐμὲ ὀργῆς. 110. πηγὴν κλοπαίαν: πᾶσα οὐσία μείωσιν πάσχει, τὸ δὲ πῦρ ἐν ὅσῳ κἂν τὸ τυχὸν ἔχῃ πάλιν αὔξεται· ὃ εἰδὼς πρῶτος ὁ ποιητὴς εἶπεν σπέρμα πυρός (Od. ε. 490). καὶ τὸ σπέρμα γὰρ ἐξ ἐλαχίστου αὔξεται. πρὸς τοῦτο οὖν ἀντεμηχανήσατο Αἰσχύλος πηγὴν εἰπών· καὶ αὐτὴ γὰρ ἐκ τοῦ τυχόντος αὔξεται. 114. ἐκπλήξεως ἐπιρρήματα. 115. ἴσως ὡς Ὠκεανίδες εὐωδίας ἔπνεον· αἰσθητὴ δὲ ἡ ὀσμή, οὐχὶ ὁρατή· διὸ ἀφεγγής φησί. 116. ἡμιθέων. 117. ἐπεὶ τέλος τῆς οἰκουμένης ὁ Καύκασος. ἦ, οὐκ (οὖ Vict.) ἐγὼ πέραν εἰμὶ δεδεμένος· ἐπὶ γὰρ ἄκρου προσδέδεται. 119. διὰ τοῦτο δεσμώτης ἐπιγέγραπται. 120. καὶ αὐτοὶ γὰρ ὠργίζοντο Προμηθεῖ διὰ τὸ πῦρ· ἐκ γὰρ τούτου πάντα ῥᾷστα τὸ λοιπὸν εἶχον οἱ ἄνθρωποι καὶ οὐκ ἔτι ἔθυον συνεχῶς.

---

112. τοιῶνδε recc.: τοιάσδε M. 113. ὑπαιθρίοις Blomfieldus. 116. θεόσυτος Stanleius: θεόσσυτος M. 118. ἐμῶν recc.: ἡμῶν M. 119. paragraphus praefixa in M.

δι᾽ ἀπεχθείας ἐλθόνθ᾽ ὁπόσοι
τὴν Διὸς αὐλὴν εἰσοιχνεῦσιν,
διὰ τὴν λίαν φιλότητα βροτῶν.
φεῦ φεῦ, τί ποτ᾽ αὖ κινάθισμα κλύω
πέλας οἰωνῶν; αἰθὴρ δ᾽ ἐλαφραῖς
πτερύγων ῥιπαῖς ὑποσυρίζει.
πᾶν μοι φοβερὸν τὸ προσέρπον.

str. 1. Χορὸς μηδὲν φοβηθῇς· φιλία γὰρ ἥδε τάξις
ἐξ Ὠκεανί- πτερύγων θοαῖς ἁμίλλαις
δων. προσέβα τόνδε πάγον, πατρῴας
μόγις παρειποῦσα φρένας.
κραιπνοφόροι δέ μ᾽ ἔπεμψαν αὖραι·
κτύπου γὰρ ἀχὼ χάλυβος διῆξεν ἄντρων
μυχόν, ἐκ δ᾽ ἔπληξέ μου τὰν θεμερῶπιν αἰδῶ·
σύθην δ᾽ ἀπέδιλος ὄχῳ πτερωτῷ.

ΠΡ. αἰαῖ αἰαῖ,
τῆς πολυτέκνου Τηθύος ἔκγονα,
τοῦ περὶ πᾶσάν θ᾽ εἱλισσομένου
χθόν᾽ ἀκοιμήτῳ ῥεύματι παῖδες

124. *κίνημα.* 128. ὁ ῥυθμὸς Ἀνακρεόντειός ἐστι κεκλασμένος πρὸς τὸ θρηνητικόν. ἐπεδήμησε γὰρ τῇ Ἀττικῇ Κριτίου ἐρῶν καὶ ἡρέσθη λίαν τοῖς μέλεσι τοῦ τραγικοῦ. ἐχρῶντο δὲ αὐτοῖς οὐκ ἐν παντὶ τόπῳ, ἀλλ᾽ ἐν τοῖς θρηνητικοῖς, ὡς καὶ Σοφοκλῆς Τυροῖ β′. ἔστι δὲ ταῦθ᾽ ὅμοια τῷ οὐδ᾽ αὖ μ᾽ ἐάσεις μεθύοντ᾽ οἴκαδ᾽ ἀπελθεῖν. ταῦτα δέ φασιν διὰ μηχανῆς ἀεροδονούμενα· ἄτοπον γὰρ κάτωθεν διαλέγεσθαι τῷ ἐφ᾽ ὕψους. ἐν ὅσῳ δὲ Ὠκεανῷ προσλαλεῖ, κατίασιν ἐπὶ γῆς. 133. ἡνίκα ἐπασσαλεύετο. ὑπερβολὴ τοῦ φόβου, εἰ καὶ μέχρι τοῦ Ὠκεανοῦ ἔφθασεν. 134. ἀπεσείσατό μου τὴν αἰδῶ, οἱ (οἷον Dind.) τολμηρότερον ἐφρόνησα ἐνθάδε παρεῖναι. Θερμήν. ἐκ δὲ τούτου τὴν καλλίστην φησί. 135. γείτονες ἄζωστοι ἔκιον (Hesiod. opp. 345). ταῖς πτέρυξιν, δι᾽ ὧν ἐπωχοῦντο οἱ ἱπτάμενοι. 139. γαληνώδει. πολυκοιμήτῳ, ἠρεμαίῳ, ἵνα τὸν ἀκαλαρρείτην δηλώσῃ. τέσσαρα δὲ ὑδάτων ἐγκώμια· τὸ ψυχρόν, τὸ λευκόν, τὸ ἡδύ, τὸ ἠρεμαῖον τῆς ῥεύσεως.

122. εἰσοιχνοῦσιν Blomfieldus. 134. Θεμερῶπιν, corr. in θερμερῶπιν a manu rec., M. 136. αἰ bis vel quater recc.: ter M. 138. Θ᾽ εἱλισσομένου Turnebus: τ᾽ εἱλισσομένου M.

πατρὸς Ὠκεανοῦ,
δέρχθητ', ἐσίδεσθ' οἵῳ δεσμῷ
πρὸς πατρὸς
τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις
φρουρὰν ἄζηλον ὀχήσω.
antistr. 1. ΧΟ. λεύσσω, Προμηθεῦ· φοβερὰ δ' ἐμοῖσιν ὄσσοις
ὁμίχλη προσῆξε πλήρης
δακρύων, σὸν δέμας εἰσιδοῦσα
πέτραις προσαυαινόμενον
ταῖσδ' ἀδαμαντοδέτοισι λύμαις·
νέοι γὰρ οἰακονόμοι κρατοῦσ' Ὀλύμπου,
νεοχμοῖς δὲ δὴ νόμοις Ζεὺς ἀθέτως κρατύνει.
τὰ πρὶν δὲ πελώρια νῦν ἀιστοῖ.
ΠΡ. εἰ γάρ μ' ὑπὸ γῆν νέρθεν θ' Ἅιδου
τοῦ νεκροδέγμονος εἰς ἀπέραντον
Τάρταρον ἦκεν,
δεσμοῖς ἀλύτοις ἀγρίοις πελάσας,
ὡς μήποτε θεὸς μήτε τις ἄλλος
τοῖσδ' ἐπεγήθει.
νῦν δ' αἰθέριον κίνυγμ' ὁ τάλας

144. χαλεπήν, κακόζηλον φυλακὴν βαστάσω, ὅ ἐστι φρουρήσω τὴν πέτραν. 148. ξηρόμενον (ξηραινόμενον recc.) 149. ἰσχυροδέτοις. 150. κυβερνῆται τροπικῶς. 151. νέοις, προσφάτοις. 152. τοὺς Τιτᾶνας καὶ τοὺς τούτων νόμους. 153. ἀντὶ τοῦ εἰθε. 157. καλῶς (οὐκ add. man. rec.) ἐπήνεγκεν μήτε τις ἄνθρωπος· οὐ γὰρ ἐπέχαιρον οὗτοι αὐτῷ, ἀλλὰ καὶ συνέπασχον. 159. εἴδωλον. ὥσπερ εἴδωλον κρεμάμενον ὑπὸ τὸν ἀέρα ἐπίχαρτα πεπονθὼς τοῖς ἐχθροῖς.

---

142. προσπορπατός vel προσπαρτός recc. 147. εἰσίδουσα (α addidit m. rec.) M. 148. πέτραισ M sec. Merkelium, πέτραι, mut. a m. δα τρ rec. in πέτραισ, sec. Duebnerum. 149. ταῖσδαμανδέτοισ M. sec. Merkelium, ταῖς ἀμαντοδέτοις, δα super αμ scripto et litteris το a m. rec. insertis sec. Duebnerum. ἀδαμαντοδέτοισι Turnebus. 151. ἀθέτωσ: ἀθέσμωσ, οὐ συγκατατεθειμένωσ. Αἰσχύλοσ Προμηθεῖ δεσμώτῃ Hesychius 1, 63: ὀθέσμωσ M. 153. θ' Turnebus: τ' M. 156. ἀγρίωσ recc. 157. ἄλλοσ M sec. Merkel. et Schoell. (Hermae 11, 221), ανοσ, corr. in αλλοσ, sec. Duebnerum. μήτε θεῶν μήτε τισ ἀνδρῶν Dindorfius. 158. ἐγεγήθει Elmsleius.

ἐχθροῖς ἐπίχαρτα πέπονθα.
str. 2. *XO.* τίς ὧδε τλησικάρδιος
θεῶν ὅτῳ τάδ' ἐπιχαρῆ;
τίς οὐ ξυνασχαλᾷ κακοῖς
τεοῖσι, δίχα γε Διός; ὃ δ' ἐπικότως ἀεὶ
θέμενος ἄγναμπτον νόον
δάμναται οὐρανίαν
γένναν, οὐδὲ λήξει, πρὶν ἂν ἢ κορέσῃ κέαρ,
ἢ παλάμᾳ τινὶ τὰν δυσάλωτον ἕλῃ τις ἀρχάν.
ΠΡ. ἦ μὴν ἔτ' ἐμοῦ, καίπερ κρατεραῖς
ἐν γυιοπέδαις αἰκιζομένου,
χρείαν ἕξει μακάρων πρύτανις,
δεῖξαι τὸ νέον βούλευμ' ὑφ' ὅτου
σκῆπτρον τιμάς τ' ἀποσυλᾶται.
καί μ' οὔτι μελιγλώσσοις πειθοῦς
ἐπαοιδαῖσιν
θέλξει, στερεάς τ' οὔποτ' ἀπειλὰς
πτήξας τόδ' ἐγὼ καταμηνύσω,
πρὶν ἂν ἐξ ἀγρίων δεσμῶν χαλάσῃ,
ποινάς τε τίνειν
τῆσδ' αἰκίας ἐθελήσῃ.
antistr. 2. *XO.* σὺ μὲν θρασύς τε καὶ πικραῖς
δύαισιν οὐδὲν ἐπιχαλᾷς,
ἄγαν δ' ἐλευθεροστομεῖς.

164. πλὴν Διός. 166. τὴν Τιτανικήν, τὴν ἐξ Οὐρανοῦ. 168. ἢ αὐτὸν καθέλῃ τις τῆς βασιλείας. 172. περὶ τοῦ ἔρωτος τῆς Θέτιδος φησί. τὸ νεωστὶ μηχανώμενον κατ' αὐτοῦ. 173. ἀποσυληθήσεται. 174. πειθοῖ γὰρ ἢ βίᾳ πείθομεν, ὡς ὁ ποιητής (Il. *P.* 431) πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ' ἀρειῇ. 179. τοῦτο τῆς μεγαλοφυΐας Αἰσχύλου καὶ Προμηθέως ἄξιον, τὸ μετὰ τὴν λύσιν ποινὰς αἰτεῖν τὸν Δία. 183. παρρησιάζῃ.

164. ἀεὶ recc.: αἰεὶ M. 169. personae nota omissa in M. ἔτ' ἐμοῦ recc.: ἔτ' ἀπ' ἐμοῦ, ἀ a m. rec. in litura litterae, ut videtur, έ', M. 170. γυιοπέδαις recc.: γυοπέδαισ M. 172. ἀφ', corr. in ὑφ', M. 174. οὔτι recc.: οὔτοι M. 175. ἐπαοιδαῖσι M. 179. τε τίνειν Turnebus: τέ μοι τίνειν M. 180. τῆσδ' recc.: τῆσ M.

ἐμὰς δὲ φρένας ἐρέθισε διάτορος φόβος·
δέδια δ' ἀμφὶ σαῖς τύχαις,
πᾷ ποτε τῶνδε πόνων
χρή σε τέρμα κέλσαντ' ἐσιδεῖν. ἀκίχητα γὰρ
ἤθεα καὶ κέαρ ἀπαράμυθον ἔχει Κρόνου παῖς.

ΠΡ. οἶδ' ὅτι τραχὺς καὶ παρ' ἑαυτῷ
τὸ δίκαιον ἔχων Ζεύς· ἀλλ' ἔμπας
μαλακογνώμων
ἔσται ποθ', ὅταν ταύτῃ ῥαισθῇ·
τὴν δ' ἀτέραμνον στορέσας ὀργὴν
εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα
σπεύδων σπεύδοντί ποθ' ἥξει.

ΧΟ. πάντ' ἐκκάλυψον καὶ γέγων' ἡμῖν λόγον,
ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι
οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται·
δίδαξον ἡμᾶς, εἴ τι μὴ βλάπτῃ λόγῳ.

ΠΡ. ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε,
ἄλγος δὲ σιγᾶν, πανταχῇ δὲ δύσποτμα.
ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου
στάσις τ' ἐν ἀλλήλοισιν ὠροθύνετο,
οἳ μὲν θέλοντες ἐκβαλεῖν ἕδρας Κρόνον,
ὡς Ζεὺς ἀνάσσοι δῆθεν, οἳ δὲ τοὔμπαλιν

184. ὁ διατορεῖν δυνάμενος καὶ τιτρώσκειν. 185. ἐγὼ ἀπορῶ, φησίν, εἰ ὅλως σε λύσει τῶν δεσμῶν, σὺ δὲ καὶ ποινὰς λαβεῖν ἀξιοῖς ὡς ἀγνοῶν τὸν Διὸς τρόπον. 187. παυσάμενον· ἢ μεταφορὰ ἀπὸ τῶν προσορμιζομένων νεῶν. 188. οὐ μύθῳ παραγόμενον καὶ πειθόμενον. παρὰ τὸ ὅ τοι σθένος οὐκ ἐπιεικτόν (Hom. Il. Θ. 463). 189. πάντα δικαίως οἰόμενος ποιεῖν. αὐτὸς ἑαυτῷ ἀρέσκων καὶ δίκαιον νομίζων εἶναι ὅπερ ἂν βούληται πράττειν. 196. τὴν ὑπόθεσιν βουλόμενος διδάξαι τὸ πάρεργον (περίεργον Pauw.) τοῦ γυναικώδους ἤθους προσέλαβεν. οὐκ ἂν γὰρ ὁ Ὠκεανὸς ἠξίωσεν ἐρωτῆσαι εἰδώς. 202. τοῦτο συναπτέον (τῷ add. Dind.) οἳ μὲν θέλοντες (204).

184. ἐρέθισε Turnebus: ἠρέθισε M. 185. δ' Porsonus: γὰρ M. 186. πᾷ Turnebus: ὅπαι M. 188. ἀπαράμυθον recc.: οἱ παράμυθον M. 189. καί recc.: τε καὶ M. 190. ἔμπας Brunckius: ἔμπασ | ἰὼ (corr. in ὀΐω) | M. 192. ῥωσθῇ, ᾳ in litura, pro αι ut videtur, M. 204. ἕδρησ M.

σπεύδοντες, ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν,
ἐνταῦθ' ἐγὼ τὰ λῷστα βουλεύων πιθεῖν
Τιτᾶνας, Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα,
οὐκ ἠδυνήθην· αἱμύλας δὲ μηχανὰς
ἀτιμάσαντες καρτεροῖς φρονήμασιν
ᾤοντ' ἀμοχθὶ πρὸς βίαν τε δεσπόσειν.
ἐμοὶ δὲ μήτηρ οὐχ ἅπαξ μόνον Θέμις
καὶ Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία,
τὸ μέλλον ᾗ κραίνοιτο προὐτεθεσπίκει,
ὡς οὐ κατ' ἰσχὺν οὐδὲ πρὸς τὸ καρτερὸν
χρείη, δόλῳ δὲ τοὺς ὑπερέχοντας κρατεῖν.
τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου
οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν.
κράτιστα δή μοι τῶν παρεστώτων τότε
ἐφαίνετ' εἶναι προσλαβόντι μητέρα
ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν.
ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαθὴς
κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον
αὐτοῖσι συμμάχοισι. τοιάδ' ἐξ ἐμοῦ
ὁ τῶν θεῶν τύραννος ὠφελημένος
κακαῖσι ποιναῖς ταῖσδέ μ' ἐξημείψατο.
ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι
νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι.
ὃ δ' οὖν ἐρωτᾶτ', αἰτίαν καθ' ἥντινα
αἰκίζεταί με, τοῦτο δὴ σαφηνιῶ.
ὅπως τάχιστα τὸν πατρῷον ἐς θρόνον
καθέζετ', εὐθὺς δαίμοσιν νέμει γέρα

209. συνετάς, τὰς ἐμὰς δῆλον ὅτι. 213. τὸ γὰρ θεῖον φύσει μὲν ἓν ἐστιν, ὀνομασίᾳ δὲ πολυμερές. 220. συναιρομένῳ τῇ μητρί. 227. ὅτι οἶδεν τὸ ὄνομα τῆς τυραννίδος. πρὸ αὐτοῦ δὲ καὶ Ἀρχίλοχος· μεγάλης δ' οὐκ ἐρῶ τυραννίδος. 228. τὸ ἀμνημονεῖν τῶν φίλων. 229. ὅπερ δὲ ἐρωτᾶτε, δι' ἣν αἰτίαν κολάζομαι, λέξω.

---

207. *πείθειν* ante correcturam M. 214. *κρανοῖτο* Elmsleius. 216. *χρείη* Dawesius: *χρὴ. ἢ δόλῳ τοὺς*, corr. in *χρεῖ' ἢ δόλῳ δὲ τοὺς*, M. 220. *προσλαβόντα* recc. 229. *αἰτίην* M. 232. *δαίμοσι* M.

ἄλλοισιν ἄλλα καὶ διεστοιχίζετο
ἀρχήν· βροτῶν δὲ τῶν ταλαιπώρων λόγον
οὐκ ἔσχεν οὐδέν', ἀλλ' ἀιστώσας γένος
τὸ πᾶν ἔχρηζεν ἄλλο φιτῦσαι νέον.
καὶ τοῖσιν οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ.
ἐγὼ δ' ἐτόλμησ'· ἐξελυσάμην βροτοὺς
τὸ μὴ διαρραισθέντας εἰς Ἅιδου μολεῖν.
τῷ τοι τοιαῖσδε πημοναῖσι κάμπτομαι,
πάσχειν μὲν ἀλγειναῖσιν, οἰκτραῖσιν δ' ἰδεῖν·
θνητοὺς δ' ἐν οἴκτῳ προθέμενος, τούτου τυχεῖν
οὐκ ἠξιώθην αὐτός, ἀλλὰ νηλεῶς
ὧδ' ἐρρύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα.

ΧΟ. σιδηρόφρων τε κἀκ πέτρας εἰργασμένος
ὅστις, Προμηθεῦ, σοῖσιν οὐ συνασχαλᾷ
μόχθοις· ἐγὼ γὰρ οὔτ' ἂν εἰσιδεῖν τάδε
ἔχρηζον εἰσιδοῦσά τ' ἠλγύνθην κέαρ.

ΠΡ. καὶ μὴν φίλοις ἐλεινὸς εἰσορᾶν ἐγώ.

ΧΟ. μή πού τι προῦβης τῶνδε καὶ περαιτέρω;

ΠΡ. θνητούς γ' ἔπαυσα μὴ προδέρκεσθαι μόρον.

ΧΟ. τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;

ΠΡ. τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα.

ΧΟ. μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς.

233. διῄρει. 234. μισοπονήρως καὶ φιλανθρώπως τὸ ταλαιπώρων προσέθηκεν. 238. τινὲς ἐτόλμησα. καὶ τὸ ἐξῆς μετὰ ἦθους. δύναται καὶ τολμῆς εἶναι ὡς τιμῆς τιμήεις. 240. δύναται ἡ (εἶναι recc.) ἀντωνυμία ἐν συμπαθείᾳ κειμένη ἥ τοι ὡς μή μοι μίμνε, φίλ᾽ (Hom. Il. X. 38). 244. ἐσταύρωμαι, ἐκτέταμαι. τῶν δὲ μέσων τὸ ῥυθμίζειν. ἢ μεταφορὰ ἀπὸ τῶν χορδῶν. 250. ἐρωτηματικῶς. μὴ ἕτερον ἥμαρτες ἁμάρτημα;

---

235. οὐδένα M. 237. τοῖσιν, sed ν in litura, M. 238. δὲ τόλμησ' τοι M. 240. τῶ ταῖσ M. 243. ἀλλὰ νηλεῶς Elmsleius: ἀλλ' ἀνηλεῶς M. 244. ἐρύθμισμαι M. 248. ἠλγύνθην recc.: ἀλγύνθην M. 249—258. 261. 262. 269. singulis paragraphis notati in M. 249. ἐλεινός Porsonus: ἐλεεινὸσ M. 250. μή πού τι, correctura factum e μήποτε, M. 251. γ' recc.: τ' M. προδέρκεσθαι, rasura factum e προσδέρκεσθαι, M.

ΠΡ. πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα.
ΧΟ. καὶ νῦν φλογωπὸν πῦρ ἔχουσ' ἐφήμεροι;
ΠΡ. ἀφ' οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας.
ΧΟ. τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν
ΠΡ. αἰκίζεταί τε κοὐδαμῇ χαλᾷ κακῶν.
ΧΟ. οὐδ' ἔστιν ἄθλου τέρμα σοι προκείμενον;
ΠΡ. οὐκ ἄλλο γ' οὐδέν, πλὴν ὅταν κείνῳ δοκῇ.
ΧΟ. δόξει δὲ πῶς; τίς ἐλπίς; οὐχ ὁρᾷς ὅτι
ἥμαρτες; ὡς δ' ἥμαρτες οὔτ' ἐμοὶ λέγειν
καθ' ἡδονὴν σοί τ' ἄλγος. ἀλλὰ ταῦτα μὲν
μεθῶμεν, ἄθλου δ' ἔκλυσιν ζήτει τινά.
ΠΡ. ἐλαφρὸν ὅστις πημάτων ἔξω πόδα
ἔχει παραινεῖν νουθετεῖν τε τὸν κακῶς
πράσσοντ'· ἐγὼ δὲ ταῦθ' ἅπαντ' ἠπιστάμην.
ἑκὼν ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι·
θνητοῖς ἀρήγων αὐτὸς ηὑρόμην πόνους.
οὐ μήν τι ποιναῖς γ' ᾠόμην τοίαισί με
κατισχνανεῖσθαι πρὸς πέτραις πεδαρσίοις,
τυχόντ' ἐρήμου τοῦδ' ἀγείτονος πάγου.
καί μοι τὰ μὲν παρόντα μὴ δύρεσθ' ἄχη,
πέδοι δὲ βᾶσαι τὰς προσερπούσας τύχας
ἀκούσαθ', ὡς μάθητε διὰ τέλους τὸ πᾶν.
πίθεσθέ μοι, πίθεσθε, συμπονήσατε
τῷ νῦν μογοῦντι. ταὐτά τοι πλανωμένη
πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει.

256. λαμπρόν. 259. συνήθης αὐτῷ ἡ χαλᾷ φωνή. 264. ἀλλὰ ταῦτα μὲν προτετύχθαι ἐάσομεν (Hom. Il. Π. 60). 268. τιμωρηθησόμενος. 275. γρ. βλάβας. βούλεται γὰρ στῆσαι τὸν χορόν, ὅπως τὸ στάσιμον ᾄσῃ. 278. οὐ γὰρ ἐπιμένει μοι ἡ λύπη ἐφ' ἑνί, ἀλλ' ἐπὶ διαφόροις ἀσχάλλω, καὶ τὰ πάντα ὑμῖν ἀφηγήσασθαι βούλομαι. ἢ περὶ τὰ αὐτὰ πλανωμένη ἡ (om. recc.) πημονὴ ἄλλοτ' ἐπ' ἄλλοις προσιζάνει.

---

267. 68. τὸν κακῶς πράσσοντ' Stanleius: τοὺς κακῶς | πράσσοντας M. 268. ταῦτ' M. 270. εὑρόμην M. 272. πεδαρσίαισ M ante corr. 277. πίθεσθέ μοι πίθεσθε Blomfieldus: πείθεσθέ μοι πείθεσθε M. 278. ταυτάτοι, corr. in ταὐτάτοι, M.

ΧΟ. οὐκ ἀκούσαις ἐπεθώυξας
τοῦτο, Προμηθεῦ.
καὶ νῦν ἐλαφρῷ ποδὶ κραιπνόσυτον
θᾶκον προλιποῦσ',
αἰθέρα θ' ἁγνὸν πόρον οἰωνῶν,
ὀκριοέσσῃ χθονὶ τῇδε πελῶ·
τοὺς σοὺς δὲ πόνους
χρῄζω διὰ παντὸς ἀκοῦσαι.

Ὠκεανός. ἥκω δολιχῆς τέρμα κελεύθου
διαμειψάμενος πρὸς σέ, Προμηθεῦ,
τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν
γνώμῃ στομίων ἄτερ εὐθύνων·
ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ.
τό τε γάρ με, δοκῶ, ξυγγενὲς οὕτως
ἐσαναγκάζει,
χωρίς τε γένους οὐκ ἔστιν ὅτῳ
μείζονα μοῖραν νείμαιμ' ἢ σοί.
γνώσῃ δὲ τάδ' ὡς ἔτυμ', οὐδὲ μάτην
χαριτογλωσσεῖν ἔνι μοι· φέρε γὰρ
σήμαιν' ὅ τι χρή σοι συμπράττειν·
οὐ γάρ ποτ' ἐρεῖς ὡς Ὠκεανοῦ
φίλος ἐστὶ βεβαιότερός σοι.

ΠΡ. ἔα, τί χρῆμα; καὶ σὺ δὴ πόνων ἐμῶν
ἥκεις ἐπόπτης; πῶς ἐτόλμησας, λιπὼν
ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ

282 (immo 280). ἡ μεταφορὰ ἀπὸ τῶν κυνηγῶν. 285. προσέθηκε τῇδε διὰ τὸν Καύκασον· οὐ γὰρ πᾶσα γῆ σκληρά. ἐπέλασα. 287. καιρὸν δίδωσι τῷ χορῷ καθήκασθαι τῆς μηχανῆς Ὠκεανὸς ἐλθών. ὑπερβολῇ δὲ ἐχρήσατο, ὅπου γε ὁ Ὅμηρος οὐκ εἰσήγαγεν Ὠκεανὸν εἰς τὸν σύλλογον τῶν θεῶν. ἐπὶ γρυπὸς δὲ τετρασκελοῦς ὀχεῖται. 290. τὸν ταχὺν διὰ τῶν πτερῶν. 291. οἷον χωρὶς ἡνίων αὐθαίρετον, οὐ βίᾳ. 296. μοῖραν: λείπει φιλίας. 298. μέχρι γλώσσης χαρίζεσθαί σοι καὶ οὐκ ἔργοις. 303. δυσχεραίνει εἴ πως τὸ ἴδιον ἀξίωμα μὴ ἐτήρησεν ὁ Ὠκεανός.

282. κραιπνόσυτον recc.: κραιπνόσσυτον M. 298. χαριτογλωσσεῖν Athenaeus 4. p. 165: σὲ τὸ χαριτογλωσσεῖν M.

αὐτόκτιτ' ἄντρα, τὴν σιδηρομήτορα
ἐλθεῖν ἐς αἶαν; ἦ θεωρήσων τύχας
ἐμὰς ἀφῖξαι καὶ συνασχαλῶν κακοῖς;
δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον,
τὸν συγκαταστήσαντα τὴν τυραννίδα,
οἵαις ὑπ' αὐτοῦ πημοναῖσι κάμπτομαι.
ΩΚ. ὁρῶ, Προμηθεῦ, καὶ παραινέσαι γέ σοι
θέλω τὰ λῷστα, καίπερ ὄντι ποικίλῳ.
γίγνωσκε σαυτὸν καὶ μεθάρμοσαι τρόπους
νέους· νέος γὰρ καὶ τύραννος ἐν θεοῖς.
εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους
ῥίψεις, τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω
θακῶν κλύοι Ζεύς, ὥστε σοι τὸν νῦν χόλον
παρόντα μόχθων παιδιὰν εἶναι δοκεῖν.
ἀλλ', ὦ ταλαίπωρ', ἃς ἔχεις ὀργὰς ἄφες,
ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς.
ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγειν τάδε·
τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου
γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίγνεται.
σὺ δ' οὐδέπω ταπεινὸς οὐδ' εἴκεις κακοῖς,
πρὸς τοῖς παροῦσι δ' ἄλλα προσλαβεῖν θέλεις.
οὔκουν ἔμοιγε χρώμενος διδασκάλῳ
πρὸς κέντρα κῶλον ἐκτενεῖς, ὁρῶν ὅτι
τραχὺς μόναρχος οὐδ' ὑπεύθυνος κρατεῖ.
καὶ νῦν ἐγὼ μὲν εἶμι καὶ πειράσομαι
ἐὰν δύνωμαι τῶνδέ σ' ἐκλῦσαι πόνων·
σὺ δ' ἡσύχαζε μηδ' ἄγαν λαβροστόμει.

311. *σκόπησον τὰ τῶν ῥητόρων καλὰ παρὰ πρώτοις εὑρεθέντα τοῖς τραγικοῖς.* 312. *συνετῷ.* 313. *γνῶθι σαυτόν, ὡς ὁ ποιητὴς* (Il. *E.* 440)· *φράζεο Τυδείδη καὶ χάζεο. γνῶθι σεαυτὸν ὅτι ἥττων εἰ τοῦ Διός.* 318. *πείσῃ γὰρ χαλεπώτερα.* 320. *ἃ πάσχεις νῦν.* (322). *γνωμικῶς δὲ φησί.* 324. *λείπει θέλεις εἶναι.* 326. *ἐάν μοι μὴ πεισθῇς, βλάψεις σεαυτόν.*

---

306. ἦ, corr. in ἦ, M. 311. paragrapho notat M. 317. *ὄχλον* Doederlinus. 321. *ἴσωσοι* ante corr. M. 323. *γίνεται* M.

ἦ οὐκ οἶσθ' ἀκριβῶς ὢν περισσόφρων ὅτι
γλώσσῃ ματαίᾳ ζημία προστρίβεται;
ΠΡ. ζηλῶ σ' ὀθούνεκ' ἐκτὸς αἰτίας κυρεῖς,
πάντων μετασχὼν καὶ τετολμηκὼς ἐμοί.
καὶ νῦν ἔασον μηδέ σοι μελησάτω.
πάντως γὰρ οὐ πείθεις νιν· οὐ γὰρ εὐπιθής.
πάπταινε δ' αὐτὸς μή τι πημανθῇς ὁδῷ.
ΩΚ. πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς
ἢ σαυτόν· ἔργῳ κοὐ λόγῳ τεκμαίρομαι.
ὁρμώμενον δὲ μηδαμῶς ἀντισπάσῃς·
αὐχῶ γὰρ αὐχῶ τήνδε δωρεὰν ἐμοὶ
δώσειν Διΐ, ὥστε τῶνδέ σ' ἐκλῦσαι πόνων.
ΠΡ. τὰ μέν σ' ἐπαινῶ κοὐδαμῇ λήξω ποτέ·
προθυμίας γὰρ οὐδὲν ἐλλείπεις. ἀτὰρ
μηδὲν πόνει· μάτην γὰρ οὐδὲν ὠφελῶν
ἐμοὶ πονήσεις, εἴ τι καὶ πονεῖν θέλεις.
ἀλλ' ἡσύχαζε σαυτὸν ἐκποδὼν ἔχων·
ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ, τοῦδ' εἵνεκα
θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν.
οὐ δῆτ', ἐπεί με καὶ κασιγνήτου τύχαι
τείρουσ' Ἄτλαντος, ὃς ἐς ἑσπέρους τόπους
ἕστηκε κίον' οὐρανοῦ τε καὶ χθονὸς
ὤμοις ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον.
τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα

334. Θαυμάζω σε πῶς οὐδὲν πέπονθας ὑπὸ Διὸς συναλγῶν μοι. ἄλλως. ζηλῶ σε, φησίν, ὅτι καὶ τὰ περὶ σαυτοῦ ποιήσας κεκόμισαι χάριν ἐξ ἐμοῦ, καὶ οὐκ ἐάσω σε προσκροῦσαι Διὶ ὑπὲρ ἐμοῦ. προγινώσκων δὲ ὅτι οὐ πείσει τὸν Δία ἀπείργει αὐτόν. 349. Προμηθικῶς· οὐ γὰρ κατὰ τὸν ἀνθρώπινον λογισμὸν πολλοὺς αὐτῷ συνατυχεῖν βούλεται ὁ Προμηθεύς. 354. δυσμεταχείριστον. 355. Κιλίκων. οἰκήσαντα μὲν ἐν Κιλικίᾳ, κολασθέντα δὲ ἐν Σικελίᾳ. Ἡσίοδος δὲ (Pindar. Pyth. 1, 32) τόν ποτε Κιλίκιον θρέψεν (θρέψαι M) πολυώνυμον ἄντρον.

334. paragraphus praefixa in M. 336. μηδέ recc.: μηδέν M. 337. πείσεις recc. εὐπειθής ante corr. M. 338. πημαθῇς ante corr. M. 341. μηδαμῶς μ' recc. 344. κοὐδαμῇ recc.: κ' οὐδὲ μὴ M. 351. καί Porsonus.

ἄντρων ἰδὼν ᾠκτιρα, δάιον τέρας,
ἑκατογκάρανον πρὸς βίαν χειρούμενον
Τυφῶνα θοῦρον, πᾶσιν ὃς ἀντέστη θεοῖς,
σμερδναῖσι γαμφηλαῖσι συρίζων φόβον·
ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας,
ὡς τὴν Διὸς τυραννὶδ' ἐκπέρσων βίᾳ·
ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος,
καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα,
ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων
κομπασμάτων. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς
ἐφεψαλώθη κἀξεβροντήθη σθένος.
καὶ νῦν ἀχρεῖον καὶ παράορον δέμας
κεῖται στενωποῦ πλησίον θαλασσίου
ἰπούμενος ῥίζαισιν Αἰτναίαις ὕπο,
κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ
Ἥφαιστος. ἔνθεν ἐκραγήσονταί ποτε
ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις
τῆς καλλικάρπου Σικελίας λευρὸς γύας·
τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον

359. οὐ μὲν ἐλεητὸς ὁ τοιοῦτος, ἀλλ' ὁ ποιητὴς φύσει τοῖς τεραστίοις ἐξαιρούμενος (l. ἐξαιρόμενος) οὐ λεπτολογεῖται τὰ πράγματα. 362. ἄπαυστον, ἄσβεστον. 366. κατεκάη. φέψαλος γὰρ ὁ σπινθήρ. ἐξησθένησε τὴν δύναμιν, ὃν τρόπον οἱ ἐμβρόντητοι. οἱ δὲ βροντῆς ξηρᾶς ἀκούοντες ἐκπλήττονται. 368. τοῦ Σικελικοῦ ποθμοῦ τοῦ διᾷ μετὰ (τοῦ διαιροῦντος Dind.) Σικελίαν καὶ Ἰταλίαν. 370. χαλκεύει· μύδρος γὰρ ὁ πεπωρωμένος σίδηρος. 372. ἔνθεν ὁ Καλλίμαχος πυρίδειπνόν φησι. ποταμοὺς δὲ πυρὸς τοὺς κατὰ Σικελίαν ῥύακάς φησι, περὶ ὧν ἠκούομεν πάλαι· καὶ κατὰ τοὺς Ἱέρωνος χρόνους κατὰ τὸ μέσον ῥυέντες πολλὰ διέφθειραν χωρία. ὅθεν τό τε θεῖον καὶ τὰ πυρεῖα. γῇ γάρ ἐστι παρακείμενον ἔχουσα πῦρ, ὅ ἐστι κατὰ παράθεσιν τῆς γῆς. ἄλλο δέ ἐστι πῦρ τὸ κατὰ κρᾶσιν τοῦ ὕδατος, ὃ ποταμοὺς πυρὸς ὁ Πίνδαρος (Pyth. 1, 41) καὶ ὁ Αἰσχύλος φασί. 373. τοὺς πλατεῖς.

---

356. ὤκτειρα M. 357. ἑκατογκάρανον Blomfieldus: ἑκατοντοκάρηνον M. 362. ἄγρυπνος M.

θερμοῖς ἀπλάτου βέλεσι πυρπνόου ζάλης,
καίπερ κεραυνῷ Ζηνὸς ἠνθρακωμένος.
σὺ δ' οὐκ ἄπειρος, οὐδ' ἐμοῦ διδασκάλου
χρῄζεις· σεαυτὸν σῷζ' ὅπως ἐπίστασαι·
ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην,
ἕστ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου.
ΩΚ. *οὔκουν, Προμηθεῦ, τοῦτο γιγνώσκεις ὅτι*
ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι;
ΠΡ. *ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ*
καὶ μὴ σφριγῶντα θυμὸν ἰσχναίνῃ βίᾳ.
ΩΚ. *ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾶν τίνα*
ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκέ με.
ΠΡ. *μόχθον περισσὸν κουφόνουν τ' εὐηθίαν.*
ΩΚ. *ἔα με τῇδε τῇ νόσῳ νοσεῖν, ἐπεὶ*
κέρδιστον εὖ φρονοῦντα μὴ φρονεῖν δοκεῖν.
ΠΡ. *ἐμὸν δοκήσει τἀμπλάκημ' εἶναι τόδε.*
ΩΚ. *σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν.*
ΠΡ. *μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ.*
ΩΚ. *ἦ τῷ νέον θακοῦντι παγκρατεῖς ἕδρας;*
ΠΡ. *τούτου φυλάσσου μή ποτ' ἀχθεσθῇ κέαρ.*

382. *λόγος γὰρ ἀνθρώποισιν ἰᾶται νόσους· ψυχῆς γὰρ οὗτος μόνος ἔχει θελκτήρια* (Menandri). *Ὅμηρος* (Il. *O.* 393)· *ἦστό τε καὶ τὸν ἔτερπε λόγοις.* 383. *ἀγαθύνῃ, καταπραῢνῃ.* 384. *τοῦτο καὶ Ἱπποκράτης φησὶ πέπονα φαρμακεύειν, μὴ ὠμά. νῦν οὖν ἐν ἀκμῇ τοῦ θυμοῦ ἐστι Ζεὺς καὶ οὐ πείσεται.* 385. *ἐν τῷ προνοεῖσθαι καὶ πειρᾶσθαι τὸν Δία πείθειν.* 387. *ἄχρηστον.* 388. *ἔα με παρακινδυνεύειν ὑπὲρ σοῦ· ἄμεινόν μοι ἐστὶν εὖ φρονοῦντα σοὶ δοκεῖν τοῖς ἔξωθεν ἀφρονεῖν.* 392. *ὁ οἶκτος.*

---

375. *θερμοῖς* recc.: *θερμῇσ* M. *ἀπλήτου* Schuetzius: *ἀπλήστου* M. *βέλεσι* recc.: *βέλεσσι* M. 381—397. personarum vices paragraphis notat M, excepto 391., cui Oceani nota insuper est adscripta. 382. *ψυχῆς νοσούσης* Plutarch. cons. ad Apoll. p. 102. *ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι* Stobaeus Flor. 20, 13. 384. *σφυδῶντα* M sec. Hermanni et Dindorfii auctores, *σφριγῶντα* sec. Merkelium et Schoellium (Hermae 11, 221). *ἰσχναίνῃ* recc.: *ἰσχναίει* M. 385. *προμηθεῖσθαι* recc. aliquot et fort. schol. 391. *στέλλει* M sec. Merkelium ante correcturam, ut videtur.

ΩΚ. ἦ σή, Προμηθεῦ, συμφορὰ διδάσκαλος.
ΠΡ. στέλλου, κομίζου, σῷζε τὸν παρόντα νοῦν.
ΩΚ. ὁρμωμένῳ μοι τόνδ' ἐθώυξας λόγον.
λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς
τετρασκελὴς οἰωνός· ἄσμενος δέ τἂν
σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.

str. 1. ΧΟ. στένω σε τᾶς οὐλομένας τύχας, Προμηθεῦ,
δακρυσίστακτον δ' ἀπ' ὄσσων ῥαδινῶν λειβομένα ῥέος παρειὰν
νοτίοις ἔτεγξα πηγαῖς·
ἀμέγαρτα γὰρ τάδε Ζεὺς
ἰδίοις νόμοις κρατύνων
ὑπερήφανον θεοῖς τοῖς
πάρος ἐνδείκνυσιν αἰχμήν.

antistr. 1. πρόπασα δ' ἤδη στονόεν λέλακε χώρα,
μεγαλοσχήμονά τ' ἀρχαιοπρεπῆ ..
..... στένουσι τὰν σὰν
ξυνομαιμόνων τε τιμάν,
ὁπόσοι τ' ἔποικον ἁγνᾶς
Ἀσίας ἕδος νέμονται,
μεγαλοστόνοισι σοῖς πή-

395. τοῦ μὴ λυπεῖν τὸν Δία. 396. ἀντὶ τοῦ εὐλαβήθητι. 397. ἄτοπον ἦν τὴν πάντων γένεσιν χρονίζειν ἐπὶ τῆς κινήσεως, εἰ (ἐπὶ τῆς σκηνῆς, ὡς ἂν εἰ Weil.) καί τις ἥλιον εἰσαγαγὼν ἐπὶ πολὺ τὸν κόσμον ἀνήλιον εἴασε. δεῖ οὖν μεμετρημένως τὰ τοιαῦτα ποιεῖσθαι. 401. τὸ στάσιμον ᾄδει ὁ χορὸς ἐπὶ τῆς γῆς κατεληλυθώς. λείπει τὸ ἕνεκα. 403. ῥέος: ῥεῦμα. παρὰ τὸ ῥέω ῥέος ὡς κλέπτω κλέπος· οἴχεται τὸ κλέπος αὐτὸς ἔχων. 408. τὴν βίαν. καὶ Πίνδαρος (Pyth. 1, 8) αἰχματὰν κεραυνόν τὸν βίαιον λέγει. 410. μεγάλου σχήματος οὖσαν. 414. ἀναχρονισμός· οὕπω γὰρ ἦν ἐποικισθεῖσα τοῖς Ἕλλησιν ἡ Ἀσία.

---

396. σῶζε M. 399. δέ τἂν Blomfieldus: δ' ἔτ' ἂν M. 401. τᾶσ οὐλομένᾱσ M. 402. δακρυσίστακτον ἀπ' ὄσσων ῥαδινῶν δ' εἰβομένα Hermannus. 407. ὑπερήφανοσ̄ M. 408. ἐνδείκνυσιν recc.: ἐνδεικνίειν M.

μασι συγκάμνουσι θνατοί·
str. 2. Κολχίδος τε γᾶς ἔνοικοι
παρθένοι, μάχας ἄτρεστοι,
καὶ Σκύθης ὅμιλος, οἳ γᾶς
ἔσχατον τόπον ἀμφὶ Μαι-
ῶτιν ἔχουσι λίμναν,
antistr. 2. Ἀραβίας τ' Ἄρειον ἄνθος,
ὑψίκρημνον οἳ πόλισμα
Καυκάσου πέλας νέμονται,
δάιος στρατός, ὀξυπρῴ-
ροισι βρέμων ἐν αἰχμαῖς.
epod. μόνον δὴ πρόσθεν ἄλλον ἐν πόνοις
δαμέντ' ἀδαμαντοδέτοις
Τιτᾶνα λύμαις εἰσιδόμαν θεὸν
Ἄτλανθ', ὃς αἰὲν ὑπέροχον σθένος
κραταιὸν οὐράνιόν τε πόλον
νώτοις ὑποστενάζει.
βοᾷ δὲ πόντιος κλύδων
ξυμπίτνων, στένει βυθός,
κελαινὸς δ' Ἅιδος ὑποβρέμει μυχὸς γᾶς,
παγαί θ' ἁγνορύτων ποταμῶν
στένουσιν ἄλγος οἰκτρόν.

ΠΡ. μή τοι χλιδῇ δοκεῖτε μηδ' αὐθαδίᾳ

416. σὺν ἡμῖν κάμνουσιν. 418. δὶ Ἀμαζόνες. 422. τὸ ἀρήϊον. πῶς τὴν Ἀραβίαν Καυκάσῳ συνῴκισεν; ἢ ἐπεὶ Στράβων (11, 506) φησὶ Τρωγλοδύτας οἰκεῖν μεταξὺ Μαιώτιδος καὶ Κασπίας, οἳ εἰσιν Ἄραβες. 423. λείπει ὁ καί. 424. νέμονται: οἱ Κόλχοι. 431. πόλος κυρίως τὸ τοῦ ἄξονος ἄκρον. 432. λείπει ἔχων· ἢ μετὰ στεναγμοῦ φέρει. 433. τῇ βοῇ. 434. ἀπ' εὐθείας τῆς τὸ στένος. 436. καθαρὸν ῥεῦμα ἐχόντων. 438. σιωπῶσι γὰρ παρὰ ποιηταῖς τὰ πρόσωπα ἢ δι' αὐθάδειαν, ὡς Ἀχιλλεὺς ἐν τοῖς Φρυξὶ Σοφοκλέους (immo Αἰ-

423. ὑψίκρημνον Elmsleius, et sic, ut videtur, schol.: ὑψίκρημνόν θ' M. 424. νέμονται lemma schol.: νέμουσι M. 428. ἀδαμαντοδέτοις recc.: ἀκαμαντοδέτοισ M. 430. ὅς recc.: ὡσ M. ὑπέροχον recc.: ὑπείροχον M. 433. βοᾶι M. 434. βυθός recc.: βάθὺσ M. 435. Ἄιδος δ' Dindorfius.

σιγᾶν με· συννοίᾳ δὲ δάπτομαι κέαρ,
ὁρῶν ἐμαυτὸν ὧδε προσελούμενον.
καίτοι θεοῖσι τοῖς νέοις τούτοις γέρα
τίς ἄλλος ἢ 'γὼ παντελῶς διώρισεν;
ἀλλ' αὐτὰ σιγῶ· καὶ γὰρ εἰδυίαισιν ἂν
ὑμῖν λέγοιμι· τἀν βροτοῖς δὲ πήματα
ἀκούσαθ', ὡς σφᾶς νηπίους ὄντας τὸ πρὶν
ἔννους ἔθηκα καὶ φρενῶν ἐπηβόλους.
λέξω δέ, μέμψιν οὔτιν' ἀνθρώποις ἔχων,
ἀλλ' ὧν δέδωκ' εὔνοιαν ἐξηγούμενος·
οἳ πρῶτα μὲν βλέποντες ἔβλεπον μάτην,
κλύοντες οὐκ ἤκουον, ἀλλ' ὀνειράτων
ἀλίγκιοι μορφαῖσι τὸν μακρὸν βίον
ἔφυρον εἰκῇ πάντα, κοὔτε πλινθυφεῖς
δόμους προσείλους ἦσαν, οὐ ξυλουργίαν·
κατώρυχες δ' ἔναιον ὥστ' ἀήσυροι
μύρμηκες ἄντρων ἐν μυχοῖς ἀνηλίοις.
ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ
οὔτ' ἀνθεμώδους ἦρος οὔτε καρπίμου
θέρους βέβαιον, ἀλλ' ἄτερ γνώμης τὸ πᾶν

σχύλου), ἢ διὰ συμφορὰν, ὡς ἡ Νιόβη παρ' Αἰσχύλῳ, ἢ διὰ περίσκεψιν, ὡς ὁ Ζεὺς παρὰ τῷ ποιητῇ (Il. Α. 512) πρὸς τὴν τῆς Θέτιδος αἴτησιν. 440. ὑβριζόμενον· ὅθεν καὶ Ἀρκάδες προσέληνοι· ὑβρισταὶ γάρ. μέμψιν ἀνθρώπων ἔχων (447). 442. διὰ τὸ συμβαλέσθαι Διὶ κατὰ τῶν Τιτάνων· εἰ δὲ Ζεὺς ἀπένειμεν ἑκάστῳ θεῷ τιμήν, σχεδὸν οὐ Διός, ἀλλὰ Προμηθέως τὸ κατόρθωμα. 444. ἃ εἶχον πήματα πρώην, διὰ τὸ μηδὲν τῶν συμφερόντων εἰδέναι. 446. ἔμφρονας. ἐπιτευκτικούς, ἐπιτυχεῖς. 449. τὸ παροιμιῶδες ἐξηγεῖται νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει. 452. ἐν ταραχῇ ἔζων. 453. πρὸς ἥλιον ὁρῶντας. καὶ Εὔπολις αὐλὴ πρόσηλος. ἦσαν: τοῦ ἥδεσαν συγκοπή. οὐ ξύλων ἐργασίαν. 454. οἱ πτερωτοὶ ἢ κοῦφοι. 456. οὐ διεγίγνωσκον διὰ τῶν ἄστρων τοὺς καιρούς.

---

440. προσηλούμενον M. 453. προσήλουσ M. 454. ἔν..γον (ἔναγον) ante corr. M.

ἔπρασσον, ἔστε δή σφιν ἀντολὰς ἐγὼ
ἄστρων ἔδειξα τάς τε δυσκρίτους δύσεις.
καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
ἐξηῦρον αὐτοῖς, γραμμάτων τε συνθέσεις,
μνήμην ἁπάντων, μουσομήτορ' ἐργάνην.
κἄζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα
ζεύγλαισι δουλεύοντα σώμασίν θ' ὅπως
θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων
γένοινθ', ὑφ' ἅρμα τ' ἤγαγον φιληνίους
ἵππους, ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς.
θαλασσόπλαγκτα δ' οὔτις ἄλλος ἀντ' ἐμοῦ
λινόπτερ' ἡῦρε ναυτίλων ὀχήματα.
τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας
βροτοῖσιν, αὐτὸς οὐκ ἔχω σόφισμ' ὅτῳ
τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ.

ΧΟ. πέπονθας αἰκὲς πῆμ'· ἀποσφαλεὶς φρενῶν
πλανᾷ, κακὸς δ' ἰατρὸς ὥς τις ἐς νόσον
πεσὼν ἀθυμεῖς καὶ σεαυτὸν οὐκ ἔχεις
εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος.

ΠΡ. τὰ λοιπά μου κλύουσα θαυμάσῃ πλέον,
οἵας τέχνας τε καὶ πόρους ἐμησάμην.
τὸ μὲν μέγιστον, εἴ τις εἰς νόσον πέσοι,

459. τούτων τὴν εὕρεσιν καὶ Παλαμήδη προσῆψεν, ἴσως δὲ κἀκείνῳ Προμηθέως. 460. δυσκρίτους: δυσκαταλήπτους, δυσγνώστους. οἷον Ὡρίων ὅτι δύνων χειμῶνα ποιεῖ. 468. τὸ γὰρ ἐποχεῖσθαι ἵπποις πλουσίων ἐστίν. 470. ναυτίλων ὀχήματα: τὰς ναῦς. 474. τοῦτο διὰ τὸ φιλονεικῆσαι Διΐ. μεσολαβοῦσι δὲ αἱ τοῦ χοροῦ τὴν ἔκθεσιν τῶν κατορθωμάτων, διαναπαύουσαι τὸν ὑποκριτὴν Αἰσχύλου.

---

459. ἔπραττον Stobaeus Ecl. 1, 1. 461. σοφισμάτων Stobaeus Ecl. 1, 1 et Flor. 81, 1: νοσφισμάτων M. 462. ἐξηῦρον Stobaeus Flor. 81, 1: ἐξεῦρον M. 463. ἐργάνην Stobaeus Flor. 81, 1: ἔργαν...., corr. in ἐργάτιν a m. rec., M. 465. leg. δουλεύσοντα. 466. διάδοχον ante corr. M. 467. γένοινθ' Dawesius: γένωνθ' M. 469. θαλασσόπλακτα M. 470. εὗρε M. ναυτίλων lemma schol.: ναυτιλόχων M. 472. σόφισμ' ὅτῳ recc.: σοφισμάτων M. 474. αἰκὲς Porsonus: ἀεικὲσ M.

οὐκ ἦν ἀλέξημ' οὐδὲν οὔτε βρώσιμον,
οὐ χριστὸν οὐδὲ πιστόν, ἀλλὰ φαρμάκων
χρείᾳ κατεσκέλλοντο, πρίν γ' ἐγώ σφισιν
ἔδειξα κράσεις ἡπίων ἀκεσμάτων,
αἷς τὰς ἅπάσας ἐξαμύνονται νόσους.
τρόπους τε πολλοὺς μαντικῆς ἐστοίχισα,
κἄκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ
ὕπαρ γενέσθαι, κληδόνας τε δυσκρίτους
ἐγνώρισ' αὐτοῖς ἐνοδίους τε συμβόλους.
γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς
διώρισ', οἵτινές τε δεξιοὶ φύσιν
εὐωνύμους τε, καὶ δίαιταν ἥντινα
ἔχουσ' ἕκαστοι, καὶ πρὸς ἀλλήλους τίνες
ἔχθραι τε καὶ στέργηθρα καὶ συνεδρίαι·
σπλάγχνων τε λειότητα, καὶ χροιὰν τίνα
ἔχοντ' ἂν εἴη δαίμοσιν πρὸς ἡδονήν,
χολῆς λοβοῦ τε ποικίλην εὐμορφίαν,
κνίσῃ τε κῶλα συγκαλυπτὰ καὶ μακρὰν
ὀσφῦν πυρώσας δυστέκμαρτον εἰς τέχνην
ὦδωσα θνητούς· καὶ φλογωπὰ σήματα
ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα.
τοιαῦτα μὲν δὴ ταῦτ'· ἔνερθε δὲ χθονὸς
κεκρυμμέν' ἀνθρώποισιν ὠφελήματα,

482. τὸ διὰ πόσεως, παρὰ τὸ πίω καὶ πίσω ῥῆμα. 483. κατεσκελετεύοντο, κατεφθίνοντο. 486. κατὰ στοῖχον ἔδειξα· πολλὰ γὰρ εἴδη μαντικῆς, εἰκαστικόν, ἐπιπνευστικόν, ἀστρονομικόν. 487. ὅσα ἀληθῆ καὶ ὅσα οὔ. 489. τοὺς ἐξ ὑπαντήσεως. 494. ὁμόνοιαι. 495. τὴν διὰ σπλάγχνων σκέψιν. 496. εὐπρόσδεκτα θεοῖς. 498. τὰ μηρία πῶς δεῖ καλύπτειν. 499. εὐκίνητος γὰρ οὖσα καὶ σπέρματα ἔχουσα θύεται τοῖς θεοῖς· ἀφ' οὗ καὶ κλόνις ὀνομάζεται διὰ τὸ ἀεικίνητον. 500. ὦδωσα: εἰς γνῶσιν καὶ ὁδὸν ἤγαγον. 501. ἐξελάμπρυνα. τυφλά. τὰς διὰ πυρὸς μαντείας τυφλὰς οὔσας καὶ οὐ φαινομένας βλέψαι ἐποίησα καὶ ἐφανέρωσα. ἐπάργεμα δὲ κυρίως τὰ λευκωματισθέντα, παρὰ τὸ ἀργόν.

481. οὔτε recc.: οὐδὲ M. 482. οὔτε Blomfieldus. 496. δαίμοσι M.

χαλκόν, σίδηρον, ἄργυρον, χρυσόν τε τίς
φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ;
οὐδείς, σάφ' οἶδα, μὴ μάτην φλῦσαι θέλων.
βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε,
πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως.
ΧΟ. μή νυν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα,
σαυτοῦ δ' ἀκήδει δυστυχοῦντος· ὡς ἐγὼ
εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι
λυθέντα μηδὲν μεῖον ἰσχύσειν Διός.
ΠΡ. οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος
κρᾶναι πέπρωται, μυρίαις δὲ πημοναῖς
δύαις τε καμφθεὶς ὧδε δεσμὰ φυγγάνω·
τέχνῃ δ' ἀνάγκης ἀσθενεστέρα μακρῷ.
ΧΟ. τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;
ΠΡ. Μοῖραι τρίμορφοι μνήμονές τ' Ἐρινύες.
ΧΟ. τούτων ἄρα Ζεύς ἐστιν ἀσθενέστερος.
ΠΡ. οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην.
ΧΟ. τί γὰρ πέπρωται Ζηνὶ πλὴν ἀεὶ κρατεῖν;
ΠΡ. τοῦτ' οὐκ ἂν οὖν πύθοιο μηδὲ λιπάρει.
ΧΟ. ἦ πού τι σεμνόν ἐστιν ὃ ξυναμπέχεις.
ΠΡ. ἄλλου λόγου μέμνησθε, τόνδε δ' οὐδαμῶς
καιρὸς γεγωνεῖν, ἀλλὰ συγκαλυπτέος
ὅσον μάλιστα· τόνδε γὰρ σῴζων ἐγὼ

509. τοῦ δέοντος πέραι (πέρα Dind.). 512. ἀφ' ὧν λέγεις καὶ λυθήσῃ καὶ πλέον Διὸς ἰσχύσεις. 513. οὐ ταῦτα οὕτως πέπρωνται, ἵν' ἡ τελεσφόρος Μοῖρα ταχέως τὰ κατ' ἐμὲ κράνῃ καὶ πληρώσῃ, ὅ ἐστιν, οὔπω μοι λυθῆναι μεμοίραται· ἐν γὰρ τῷ ἑξῆς δράματι λύεται, ὅπερ ἐμφαίνει Αἰσχύλος. 517. τίς τῆς ἀνάγκης κρατεῖ καὶ δεσπόζει; 519. εἰ θέλει σε πρὸ μοίρας λῦσαι, οὐ δύναται ὁ Ζεὺς τοῦτο ποιῆσαι. 520. προαναφωνεῖ τὸν ἔρωτα Θέτιδος. 522. εἰ κρατήσει εἴτε μή. 523. ἐν σαυτῷ κρύπτειε. 524. τῷ ἑξῆς δράματι φυλάττει τοὺς λόγους. 526. ὅσον δυνατόν.

504. *σίδηρον* recc.: *σίδαρον* M. *τε* recc.: *δὲ* M. 507. *πάντα* recc.: *ταῦτα* M. 512. *ἰσχύσει* ante corr. M. 515. *καμφθεὶσ* M. 517—524. personarum vices paragraphis notat M. 521. *πλήν* recc.: *πρὶν* M. 522. *οὐκέτ' ἄν* recc. aliquot. 526. *σώζων* M.

δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω.

str. 1. XO. μηδάμ' ὃ πάντα νέμων
Ζεῖτ' ἐμᾷ γνώμᾳ κράτος ἀντίπαλον Ζεύς,
μηδ' ἐλινύσαιμι θεοὺς ὁσίαις θοί-
ναις ποτινισσομένα
βουφόνοις, παρ' Ὠκεανοῦ πατρὸς ἄσβεστον πόρον,
μηδ' ἀλίτοιμι λόγοις,
ἀλλά μοι τόδ' ἐμμένοι καὶ μήποτ' ἐκτακείη·

antistr. 1. ἡδύ τι θαρσαλέαις
τὸν μακρὸν τείνειν βίον ἐλπίσι, φαναῖς
θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις. φρίσ-
σω δέ σε δερκομένα
μυρίοις μόχθοις διακναιόμενον .....
Ζῆνα γὰρ οὐ τρομέων
ἰδίᾳ γνώμᾳ σέβῃ θνατοὺς ἄγαν, Προμηθεῦ.

str. 2. φέρ' ὅπως ἄχαρις χάρις, ὦ φίλος· εἰπέ, ποῦ τίς
τίς ἐφαμερίων ἄρηξις; οὐδ' ἐδέρχθης [ἀλκά;
ὀλιγοδρανίαν ἄκικυν,
ἰσόνειρον, ᾇ τὸ φωτῶν
ἀλαὸν γένος ἐμπεποδισμένον; οὔποτε ....
τὰν Διὸς ἁρμονίαν θνατῶν παρεξίασι βουλαί.

528. ὃ πάντα διοικῶν Ζεὺς μηδέποτε ἀντίπαλον κράτος ποιοῖτο τῇ ἐμῇ γνώμῃ, ἀντὶ τοῦ μηδέποτε ἐναντίος μοι γένοιτο. 530. παυσαίμην. 531. θυσίαις, ἑορταῖς. 534. τὸ τιμᾶν θεούς. 535. καλὸν τὸ ἀπὸ ἀγαθοῦ συνειδότος ἀγαθὰ ἐλπίζειν πείσεσθαι ὑπὸ θεῶν. 537. αὔξουσαν. 538. ὃ δέ ἀντὶ τοῦ γάρ. 541. φιλάνθρωπος εἶ. 542. λείπει ἐγένετο. δεῦρο δὴ καὶ σκόπησον ὅτι ἡ χάρις, ἣν ἐχαρίσω τοῖς ἀνθρώποις, ἄχαρις ἦν καὶ ἀμείψασθαί σε μὴ δυναμένη. πῶς γὰρ θεῷ βοηθήσει ἄνθρωπος; 543. οὐ προεσκόπησας ἀσθενέσι χαριζόμενος. 545. σκιᾶς ὄνειρον ἄνθρωποι κατὰ Πίνδαρον (Pyth. 8, 136). 546. ἀλαὸν γένος: ἀντὶ τοῦ ἀπροόρατον τοῦ μέλλοντος. λείπει ἔστιν, ἢ (ἵν' ᾗ Dind.) ἐμπεπόδισται. 547. τὴν εἱμαρμένην. ὑψηλῶς καὶ τραγικῶς τὸ τῆς εἱμαρμένης ὄνομα Διὸς ἁρμονίαν εἶπεν.

529. θεῖτο M. 531. ποτινισομένα M. 534. τοῦτ' Hermannus. 536. τείνειν recc.: τίνει' M. 542. ἄχαρις χάρις Turnebus: χάρισ ἄχαρισ M. 545. ἀντόνειρον Reisigius.

antistr. 2. ἔμαθον τάδε σὰς προσιδοῦσ' ὀλοὰς τύχας, Προ-
τὸ διαμφίδιον δέ μοι μέλος προσέπτα [μηθεῖν.
τόδ' ἐκεῖνό θ' ὅτ' ἀμφὶ λουτρὰ
καὶ λέχος σὸν ὑμεναίουν
ἰότατι γάμων, ὅτε τὰν ὁμοπάτριον ἔθνοις
ἄγαγες Ἡσιόναν πείθων δάμαρτα κοινόλεκτρον.

ΙΩ. τίς γῆ; τί γένος; τίνα φῶ λεύσσειν
τόνδε χαλινοῖς ἐν πετρίνοισιν
χειμαζόμενον;
τίνος ἀμπλακίας ποινὰς ὀλέκῃ;
σήμηνον ὅποι
γῆς ἡ μογερὰ πεπλάνημαι.
ἃ ἃ ἔ ἔ,
χρίει τις αὖ με [τὰν] τάλαιναν οἶστρος,
εἴδωλον Ἄργου γηγενοῦς,
ἄλευ' ἃ δᾶ,
τὸν μυριωπὸν εἰσορῶσα βούταν.

549. τὸ διαμφίδιον: διαπαντὸς κεχωρισμένον, ἐναντίον τῷ νῦν. τότε γὰρ γαμοῦντί σοι τὸν ὑμέναιον ᾖδομεν, νῦν δὲ δυστυχοῦντί σοι θρῆνον. 552. πορείᾳ, παρὰ τὸ ἰέναι, τῇ συνόδῳ. 553. πείθων δάμαρτα: ἔθνοις πείθων τὴν ἐσομένην σοι δάμαρτα κοινόλεκτρον. ἢ τὴν κοινόλεκτρον τοῦ Ὠκεανοῦ Τηθὺν πείσας. 554. τὸ τῆς Ἰοῦς ἐπεισόδιον μονῳδεῖ μέν, ἔχει δὲ πρὸς τὸ ὑποκείμενον συναφές, ὅτι μαντεύεται αὐτῇ ὁ Προμηθεὺς ὅτι ἀπ' αὐτῆς ἔσται ιγ', ὃς αὐτῷ χρόνῳ ἐπαμυνεῖ. ἄλλως τε καὶ αὐτὴ ὑπὸ Διὸς φησιν ἠδικῆσθαι καὶ διὰ τοῦτο παραμυθεῖται τὸν Προμηθέα. 555. τοῖς ὀρείοις. 560. ἐμμανὴς οὖσα ὑπὸ τοῦ οἴστρου φαντάζεται. 561. κεντρίζει. 563. ἄλευ ἃ δᾶ: γράφεται Ἀλευάδα πατρωνυμικῶς ἀπὸ τοῦ Ἀλεύας. ἢ ὃν δεῖ φυλάξασθαι. τινὲς οὕτως, ἄλευ ἃ δᾶ· ἄλευ, ἀναχώρει, ἔκκλινε· τὸ δὲ ἃ δᾶ ὦ γῆ. οἱ γὰρ Δωριεῖς τὴν γῆν δᾶν καὶ δᾶν φασιν, κατὰ (καὶ recc.) τὸν γνόφον δνόφον. 564. φαντάζεται γὰρ αὐτὸν καὶ μετὰ θάνατον πτοουμένη.

---

548. προσιδοῦσ' recc.: προϊδοῦσ' M. 550. ἐκεῖνό θ' ὅτ' Brunckius: ἐκεῖν' ὅτε τότ' M. 553. πείθων, corr. a m. rec. in πιθών (et sic recc.), M. 555. χαλινοῖς recc.: χαλινοῖσι M. πετρίνοισι M. 561. τάν additum in recc. οἴστροισ, mut. in οἶστροσ, M. 563. ἃ ex ἀ factum in M. 564. τόν Triclinius: φοβοῦμαι τὸν M.

ὃ δὲ πορεύεται δόλιον ὅμμ᾽ ἔχων,
ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει.
ἀλλά με τὰν τάλαιναν
ἐξ ἐνέρων περῶν κυναγετεῖ,
πλανᾷ τε νῆστιν ἀνὰ τὰν παραλίαν ψάμμαν.
str. ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ
ἀχέτας ὑπνοδόταν νόμον·
ἰὰ ἰὼ πόποι, ποῖ μ᾽ ἄγουσι ...
τηλέπλανοι πλάναι;
τί ποτέ μ᾽, ὦ Κρόνιε παῖ, τί ποτε ταῖσδ᾽
ἐνέζευξας εὑρὼν ἁμαρτοῦσαν ἐν
πημοσύναις, ἔ ἔ,
οἰστρηλάτῳ δὲ δείματι δειλαίαν
παράκοπον ὧδε τείρεις;
πυρί [με] φλέξον, ἢ χθονὶ κάλυψον, ἢ
ποντίοις δάκεσι δὸς βοράν,
μηδέ μοι φθονήσῃς
εὐγμάτων, ἄναξ.
ἄθην με πολύπλανοι πλάναι
γεγυμνάκασιν, οὐδ᾽ ἔχω μαθεῖν ὅπῃ
πημονὰς ἀλύξω.
κλύεις φθέγμα τᾶς βούκερω παρθένου;
ΠΡ. πῶς δ᾽ οὐ κλύω τῆς οἰστροδινήτου κόρης

570. ἀλλ᾽ οὐκ ἐμοὶ διὰ τὸ νηστεύειν. ἀντὶ τοῦ ἠχεῖ. ἢ σῦριγξ. Σοφοκλῆς ἐν Ἰνάχῳ καὶ ᾄδοντα αὐτὸν εἰσάγει. εἰπὼν δὲ αὐτὸν βούταν ἐνέμεινε τῇ τροπῇ. αὐλοῦσι γὰρ ἑπόμενοι τοῖς ποιμνίοις οἱ βουκόλοι. 571. ἴσως ὑπνοποιόν τι μέλος πρὸς ἑσπέραν αὐλούμενον. φησὶ δὲ ὅτι ἑσπέρα ἐστὶν ἤδη. ἐγὼ δὲ νῆστις οὖσα ἐλαύνομαι. 575. παρὰ τὸ ὡς εἰ τι κακὸν ῥέζουσαν ἐνωπῇ (Hom. Il. *E*. 374). οἱ δι᾽ ἀκοῆς τι μαθὼν φαῦλον περὶ ἐμοῦ. 578. παρακεκομμένην μέρος τοῦ νοῦ. 583. ἱκανῶς. 584. παρήλασαν.

---

572. *ἰὼ ἰὼ πόποι* Seidlerus: *ἰὼ ἰὼ ποῖ ποῖ* ᾽π᾽*ό πόι πόι* M. *ποῖ μ᾽* recc.: *πῇ μ᾽* M. 573. *τηλέπλανοι* Hermannus: *τηλέπλαγκτοι* M. *πλάναι* recc.: *πλάνοι* M. 576. *πημοσύναις* Hermannus: *πημοναῖσιν* M. 579. *με* addidit Elmsleius. 580. *ποντίοις* recc.: *ποντίοισι* M. 586. paragraphum adscriptam habet in M.

τῆς Ἰναχείας; ἢ Διὸς θάλπει κέαρ
ἔρωτι, καὶ νῦν τοὺς ὑπερμήκεις δρόμους
Ἥρᾳ στυγητὸς πρὸς βίαν γυμνάζεται.
antistr. ΙΩ. πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ' ἀπύεις,
εἰπέ μοι τᾷ μογερᾷ τίς ὢν
τίς ἄρα μ', ὦ τάλας, τὰν ταλαίπωρον ὧδ'
ἔτυμα προσθροεῖς,
θεόσυτόν τε νόσον ὠνόμασας, ἃ
μαραίνει με χρίουσα κέντροις ....
φοιταλέοις, ἔ ἔ.
σκιρτημάτων δὲ νήστισιν αἰκίαις
λαβρόσυτος ἦλθον, [Ἥρας]
ἐπικότοισι μήδεσι δαμεῖσα. δυσ-
δαιμόνων δὲ τίνες οἵ, ἔ ἔ,
οἷ' ἐγὼ μογοῦσιν;
ἀλλά μοι τορῶς
τέκμηρον ὅ τι μ' ἐπαμμένει
παθεῖν, τί μῆχαρ, ἢ τί φάρμακον νόσου,
δεῖξον, εἴπερ οἶσθα·
θρόει, φράζε τᾷ δυσπλάνῳ παρθένῳ.
ΠΡ. λέξω τορῶς σοι πᾶν ὅπερ χρῄζεις μαθεῖν,
οὐκ ἐμπλέκων αἰνίγματ', ἀλλ' ἁπλῷ λόγῳ,
ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα.
πυρὸς βροτοῖς δοτῆρ' ὁρᾷς Προμηθέα.

588. διὰ τοῦ τὸν πατέρα αὐτῆς ὀνομάσαι ἐνέφηνε τὸν μάντιν, ὡς καὶ παρ' Ὁμήρῳ (Od. λ. 100) ὁ Τειρεσίας νό-στον δίζηαι μελιηδέα, φαίδιμ' Ὀδυσσεῦ. 590. διὰ τὸν ζῆλον στυγητή. 594. ἐτύμως προσφωνεῖς. 595. τὸν Διὸς ἔρωτα. 597. μανικοῖς. 598. νηστευτικαῖς. 600. τοῖς τῆς Ἥρας. 601. τίνες ὅλως τῶν δυσδαιμόνων μογοῦσιν οἷα ἐγώ; τινὲς οὗτως, (δυσδαιμόνων add. Dind.) δέ τινες, ἵνα λείπῃ τὸ παῖδες. 611. δεῖ προσθεῖναι τὸ α τὸ (τῷ Dind.) δοτῆρα διὰ τὴν τομήν.

590. γυμνάιζεται M. 595. θεόσυτον Hermannus: θεόσσυτον M. 596. 97. κέντροις ... φοιταλέοις Hermannus: κέντροισι φοιταλέοισιν M. 599. λαβρόσυτος Hermannus: λαβρόσσυτοσ M. Ἥρας addidit Hermannus. 601. οἵ M. 605. μῆχαρ ἢ Elmsleius et Martinus: μὴ χρὴ M. 607. φράζε τᾷ recc.: φράζετε M. 608. ὅπερ Etymol. M. p. 762: ὅτι M.

ΙΩ. *ἆ κοινὸν ὠφέλημα θνητοῖσιν φανείς,*
τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε;
ΠΡ. *ἁρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.*
ΙΩ. *οὔκουν πόροις ἂν τήνδε δωρεὰν ἐμοί;*
ΠΡ. *λέγ' ἥντιν' αἰτῇ· πᾶν γὰρ ἂν πύθοιό μου.*
ΙΩ. *σήμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασεν.*
ΠΡ. *βούλευμα μὲν τὸ Διόν, Ἡφαίστου δὲ χείρ.*
ΙΩ. *ποινὰς δὲ ποίων ἀμπλακημάτων τίνεις;*
ΠΡ. *τοσοῦτον ἀρκῶ σοι σαφηνίσαι μόνον.*
ΙΩ. *καὶ πρός γε τούτοις τέρμα τῆς ἐμῆς πλάνης*
δεῖξον τίς ἔσται τῇ ταλαιπώρῳ χρόνος.
ΠΡ. *τὸ μὴ μαθεῖν σοι κρεῖσσον ἢ μαθεῖν τάδε.*
ΙΩ. *μήτοι με κρύψῃς τοῦθ' ὅπερ μέλλω παθεῖν.*
ΠΡ. *ἀλλ' οὐ μεγαίρω τοῦδε τοῦ δωρήματος.*
ΙΩ. *τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν;*
ΠΡ. *φθόνος μὲν οὐδείς, σὰς δ' ὀκνῶ θρᾶξαι φρένας.*
ΙΩ. *μή μου προκήδου μᾶσσον ὡς ἐμοὶ γλυκύ.*
ΠΡ. *ἐπεὶ προθυμῇ, χρὴ λέγειν· ἄκουε δή.*
ΧΟ. *μήπω γε· μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε*
τὴν τῇσδε πρῶτον ἱστορήσωμεν νόσον,

613. *τίνος ἕνεκα τιμωρῇ;* 615. *δωρεὰ ἐπὶ συμφορᾶς. καὶ Ἀρχίλοχος κρύπτομεν* (*κρύπτωμεν* Rob.) *ἀνιηρὰ Ποσειδῶνα* (*Ποσειδάωνος* Schneidewin.) *ἄνακτα* (*ἄνακτος* Rob.) *δῶρα.* 617. *ἔδησεν, παρὰ τὸ ἔχειν ἔχεμα ἔχμα.* 620. *διὰ τὸ μὴ ταυτολογῆσαι.* 622. *τίς χρόνος εἰς τὸ πέρας ἔσται;* 623. *τὸ μὴ μαθεῖν σοι κρεῖσσον: Ἐπικούρειόν ἐστι δόγμα, ἀναιροῦν τὴν μαντικήν· εἱμαρμένης γάρ, φησί, πάντα κρατούσης πρὸ καιροῦ λελύπηκας, ἢ χρηστόν τι εἰπὼν τὴν ἡδονὴν ἐξέλυσας. λέγουσι δὲ ὅτι καὶ ἃ δεῖ γενέσθαι, ταῦτα καὶ γενήσεται.* 627. *ταράξαι.* 628. *τὸ ἀκούειν* 630. *τοῦτο ἅμα καὶ σαφηνίζων τῷ ἀκροατῇ τὰ πράγματα διὰ τῶν τῆς Ἰοῦς καὶ Προμηθέα παραμυθούμενος, ὅπως γε μεταξὺ τά τε Ἰοῦς ῥηθείη, εἶτα πάλιν τὰ παρ' αὐτοῦ, καὶ ἡ ἐξαλλαγὴ τῆς τάξεως νεαροποιήσει τοὺς ἀκούοντας.*

612—629. personarum vices paragraphis notat M. 616. *αἰτεῖ*, mutatum in *αἰτῇ*, M. *ἄν* recc.: *οὖν* M. 620. *σαφηνίσας* Linwoodius. 625. *τοῦδέ σοι* Turnebus. 626. *μὴ γεγωνίσκειν* (cui *οὐ* supra addidit *m*) M. 627. *θράξαι* M. 628. *μασσόνως ἢ 'μοὶ γλυκύ* Elmsleius. 631. *ἱστορήσομεν* ante corr. M.

αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας·
τὰ λοιπὰ δ' ἄθλων σοῦ διδαχθήτω πάρα.
ΠΡ. σὸν ἔργον, Ἰοῖ, ταῦσδ' ὑπουργῆσαι χάριν,
ἄλλως τε πάντως καὶ κασιγνήταις πατρός.
ὡς ταποκλαῦσαι κἀποδύρασθαι τύχας
ἐνταῦθ', ὅπου μέλλοι τις οἴσεσθαι δάκρυ
πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει.
ΙΩ. οὐκ οἶδ' ὅπως ὑμῖν ἀπιστῆσαί με χρή,
σαφεῖ δὲ μύθῳ πᾶν ὅπερ προσχρῄζετε
πεύσεσθε· καίτοι καὶ λέγουσ' αἰσχύνομαι
θεόσσυτον χειμῶνα καὶ διαφθορὰν
μορφῆς, ὅθεν μοι σχετλίᾳ προσέπτατο.
αἰεὶ γὰρ ὄψεις ἔννυχοι πωλούμεναι
ἐς παρθενῶνας τοὺς ἐμοὺς παρηγόρουν
λείοισι μύθοις· ὦ μέγ' εὐδαιμον κόρη,
τί παρθενεύῃ δαρόν, ἐξὸν σοι γάμου
τυχεῖν μεγίστου; Ζεὺς γὰρ ἱμέρου βέλει
πρὸς σοῦ τέθαλπται καὶ συναίρεσθαι Κύπριν
θέλει· σὺ δ', ὦ παῖ, μὴ ἀπολακτίσῃς λέχος
τὸ Ζηνός, ἀλλ' ἔξελθε πρὸς Λέρνης βαθὺν
λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρός,
ὡς ἂν τὸ Δῖον ὄμμα λωφήσῃ πόθου.
τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι
ξυνειχόμην δύστηνος, ἕστε δὴ πατρὶ
ἔτλην γεγωνεῖν νυκτίφαντ' ὀνείρατα.
ὃ δ' ἐς τε Πυθὼ κἀπὶ Δωδώνης πυκνοὺς
θεοπρόπους ἴαλλεν, ὡς μάθοι τί χρὴ

638. διαγωγήν, διήγησιν ἀξίαν ἔχειν τὸ εἰπεῖν. 643. ὃ μάλιστα λυπεῖ γυναῖκα, τὸ τῆς ἀμορφίας. 646. λείπει τάδε λέγουσαι. 649. συνουσιάσαι. 650. ὡς ἀπὸ τῶν ἀλόγων ζῴων. 651. παρὰ τὸ ἄλλ' ἴομεν πλυνέουσαι (Hom. Od. ζ. 31).

---

632. λεγούσασ ante corr. M. 636. τ' ἀποκλαῦσαι recc.: κ' ἀποκλαῦσαι M. 637. ὅπου Ellendtius: ὅποι M. 641. ὀδύρομαι, adscripto γρ. αἰσχύνομαι, M. 644. πωλεύμεναι, superscripto a recentiore manu πο, M. 646. εὐδαίμων (ο supra scripsit m) M. 650. μηπολακτίσησ M.

δρῶντ᾽ ἢ λέγοντα δαίμοσιν πράσσειν φίλα.
ἦκον δ᾽ ἀναγγέλλοντες αἰολοστόμους
χρησμοὺς ἀσήμους δυσκρίτως τ᾽ εἰρημένους.
τέλος δ᾽ ἐναργὴς βάξις ἦλθεν Ἰνάχῳ
σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη
ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμέ,
ἄφετον ἀλᾶσθαι γῆς ἐπ᾽ ἐσχάτοις ὅροις·
κεἰ μὴ θέλοι, πυρωπὸν ἐκ Διὸς μολεῖν
κεραυνόν, ὃς πᾶν ἐξαϊστώσοι γένος.
τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν,
ἐξήλασέν με κἀπέκλῃσε δωμάτων
ἄκουσαν ἄκων· ἀλλ᾽ ἐπηνάγκαζέ νιν
Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε.
εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι
ἦσαν, κεραστὶς δ᾽, ὡς ὁρᾶτ᾽, ὀξυστόμῳ
μύωπι χρισθεῖσ᾽ ἐμμανεῖ σκιρτήματι
ἦσσον πρὸς εὔποτόν τε Κερχνείας ῥέος
Λέρνης ἄκρην τε· βουκόλος δὲ γηγενὴς
ἄκρατος ὀργὴν Ἄργος ὠμάρτει πυκνοῖς
ὄσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους.
ἀπροσδόκητος δ᾽ αὐτὸν αἰφνίδιος μόρος
τοῦ ζῆν ἀπεστέρησεν. οἰστροπλὴξ δ᾽ ἐγὼ
μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι.
κλύεις τὰ πραχθέντ᾽· εἰ δ᾽ ἔχεις εἰπεῖν ὅ τι
λοιπὸν πόνων, σήμαινε· μηδέ μ᾽ οἰκτίσας

663. ἐντελλομένη. 668. ἀνεχρόνισεν· οὔπω γὰρ ἦν τὸ μαντεῖον. 673. ὀξέως δάκνοντι· μόνον δὲ τὴν ὄψιν μετεβλήθη εἰς βοῦν. 675. Κέρχνη κρήνη Ἄργους. τὸ ἀπὸ Κέρχνης κατιόν, ὅ ἐστιν ὄρος. καὶ ἡ ἄκρα δὲ ὄρος. 683. μηδέ τί μ᾽ αἰδόμενος μειλίσσεο μηδ᾽ ἐλεαίρων, ἀλλ᾽ εὖ μοι κατάλεξον (Hom. Od. γ. 96. 97).

659. φίλωι (α super ωι a manu rec.) M. 666. πυρωπόν recc.: πυρωτὸν M. 667. ἐξαϊστώσοι Blomfieldus: ἐξαϊστώσει M. 669. καπέκλεισεν M. 676. Λέρνης τε κρήνην Canterus. 679. ἀφνίδιος Elmsleius. 681. πρὸ M. 682. ὅ τι Turnebus: ἔτι M. 683. πόνων recc.: πόνον M.

ξύνθαλπε μύθοις ψευδέσιν· νόσημα γὰρ
αἴσχιστον εἶναι φημὶ συνθέτους λόγους.
ΧΟ. ἔα ἔα, ἄπεχε, φεῦ·
οὔποτ' οὔποτ' ηὔχουν ξένους
μολεῖσθαι λόγους ἐς ἀκοὰν ἐμάν,
οὐδ' ὧδε δυσθέατα δύσοιστα
πήματα, λύματα, δείματ'
ἀμφήκει κέντρῳ ψύχειν ψυχὰν ἐμάν.
ἰὼ ἰὼ μοῖρα μοῖρα,
πέφρικ' εἰσιδοῦσα πρᾶξιν Ἰοῦς.
ΠΡ. πρῴ γε στενάζεις καὶ φόβου πλέα τις εἶ·
ἐπίσχες ἔστ' ἂν καὶ τὰ λοιπὰ προσμάθῃς.
ΧΟ. λέγ', ἐκδίδασκε· τοῖς νοσοῦσί τοι γλυκὺ
τὸ λοιπὸν ἄλγος προὐξεπίστασθαι τορῶς.
ΠΡ. τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα
κούφως· μαθεῖν γὰρ τῆσδε πρῶτ' ἐχρῄζετε
τὸν ἀμφ' ἑαυτῆς ἆθλον ἐξηγουμένης·
τὰ λοιπὰ νῦν ἀκούσαθ', οἷα χρὴ πάθη
τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα.
σύ τ', Ἰνάχειον σπέρμα, τοὺς ἐμοὺς λόγους
θυμῷ βάλ', ὡς ἂν τέρματ' ἐκμάθῃς ὁδοῦ.
πρῶτον μὲν ἐνθένδ' ἡλίου πρὸς ἀντολὰς
στρέψασα σαυτὴν στεῖχ' ἀνηρότους γύας·
Σκύθας δ' ἀφίξῃ νομάδας, οἳ πλεκτὰς στέγας
πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις,

685. τοὺς ψευδεῖς. 686. σιώπα. 689. διότι βοῦς ἦν. ἀπὸ κοινοῦ τὸ ηὔχουν. 691. ὀξεῖ ἐξ ἑκατέρου μέρους, τροπικῶς. 694. πρὶν ἢ σε μαθεῖν τὰ λοιπά, δυσφορεῖς καὶ θαυμάζεις ταῦτα. 703. ἀποστρέφει τὸν λόγον πρὸς αὐτήν. 705. ἀποφέρεται συνήθως εἰς τὸ διαγράφειν ὄρη, ποταμούς, καὶ τὰ τοιαῦτα γνωστὰ (καὶ add. recc.) ἄγνωστα. 708. ἐν ταῖς εὐτρόχοις ἁμάξαις.

---

684. *ψεύδεσσιν* ante corr. M. 687. *ηὔχουν* schol.: *ηὐχόμην* M. 693. *εἰσιδοῦσα* recc.: *ἐσιδοῦσα* M. 694. *πρῶγε*, corr. in *πρῶιγε*, *ό* addito super *ω* a m. recentissima, M. 696. 698. paragraphis notati in M. 698. *χρείαν* recc.: *χρεῖαν τ'* M. 704. *βάλ'* recc.: *μάθ'* M. 708. *ναίουσ'* recc.: *νέουσ'* M.

ἐκηβόλοις τόξοισιν ἐξηρτυμένοι·
οἷς μὴ πελάζειν, ἀλλ' ἁλιστόνοις γύποδας
χρίμπτουσα ῥαχίαισιν ἐκπερᾶν χθόνα.
λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες
οἰκοῦσι Χάλυβες, οὓς φυλάξασθαί σε χρή.
ἀνήμεροι γὰρ οὐδὲ πρόσπλατοι ξένοις.
ἥξεις δ' Ὑβριστὴν ποταμὸν οὐ ψευδώνυμον,
ὃν μὴ περάσῃς, οὐ γὰρ εὔβατος περᾶν,
πρὶν ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς, ὀρῶν
ὕψιστον, ἔνθα ποταμὸς ἐκφυσᾷ μένος
κροτάφων ἀπ' αὐτῶν. ἀστρογείτονας δὲ χρὴ
κορυφὰς ὑπερβάλλουσαν ἐς μεσημβρινὴν
βῆναι κέλευθον, ἔνθ' Ἀμαζόνων στρατὸν
ἥξεις στυγάνορ', αἳ Θεμίσκυράν ποτε
κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ', ἵνα
τραχεῖα πόντου Σαλμυδησσία γνάθος,
ἐχθρόξενος ναύτῃσι, μητρυιὰ νεῶν·
αὗταί σ' ὁδηγήσουσι καὶ μάλ' ἀσμένως.
ἰσθμὸν δ' ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις
Κιμμερικὸν ἥξεις, ὃν θρασυσπλάγχνως σε χρὴ
λιποῦσαν αὐλῶν' ἐκπερᾶν Μαιωτικόν·
ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας

709. τοὺς ὤμους δηλονότι. 710. ὑπὸ ἁλὸς τινασσομέναις. μὴ δι' ὀρεινῶν, φησί, τόπων πορεύου, ἀλλὰ δι' ἐναλίων. 714. προσπελαστοί. ἀδικοῦνται γὰρ οἱ ἐκεῖσε ἀφικνούμενοι. 715. τὸν Ἀράξην, παρὰ τὸ ἀράσσειν καὶ ἠχεῖν τὰ κύματα αὐτοῦ. 717. τῶν ἄκρων. 720. τὰς τοῦ Καυκάσου. 721. ὡς τὸ πρῶτον τῶν Ἀμαζόνων ἐν Σκυθίᾳ οἰκουσῶν. 724. ὡς τὸ πολέμου στόμα (Hom. Il. *T*. 313) διὰ τὸ πᾶν τὸ εἰς αὐτὴν ἐμπῖπτον καταναλίσκειν. 726. αἱ Ἀμαζόνες ὡς γυναῖκες γυναϊκά σε ὁδηγήσουσιν. 728. τὸν Κιμμερικὸν Βόσπορόν φησιν, ὅς ἐστι πλήρωμα τῆς Μαιώτιδος λίμνης. 729. φάραγγα.

709. ἐξηρτυμένοι rec.: ἐξηρτημένοι M. 710. ἀλλὰ γυῖ' ἁλιστόνοις Hermannus. 714. πρόσπλατοι Elmsleius: πρόσπλαστοι M. 722. στυγάνορα M. 723. κατοικοῦσιν ante corr. M. 725. μητρυὰ ante corr. M.

τῆς σῆς πορείας, Βόσπορος δ' ἐπώνυμος
κεκλήσεται. λιποῦσα δ' Εὐρώπης πέδον,
ἤπειρον ἥξεις Ἀσιάδ'. ἆρ' ὑμῖν δοκεῖ
ὁ τῶν θεῶν τύραννος ἐς τὰ πάνθ' ὁμῶς
βίαιος εἶναι; τῇδε γὰρ θνητῇ θεὸς
χρῄζων μιγῆναι τάσδ' ἐπέρριψεν πλάνας.
πικροῦ δ' ἔκυρσας, ὦ κόρη, τῶν σῶν γάμων
μνηστῆρος. οὓς γὰρ νῦν ἀκήκοας λόγους,
εἶναι δόκει σοι μηδέπω 'ν προοιμίοις.
ΙΩ. ἰώ μοι μοι, ἔ ἔ.
ΠΡ. σὺ δ' αὖ κέκραγας κἀναμυχθίζῃ· τί που
δράσεις, ὅταν τὰ λοιπὰ πυνθάνῃ κακά;
ΧΟ. ἦ γάρ τι λοιπὸν τῇδε πημάτων ἐρεῖς;
ΠΡ. δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύης.
ΙΩ. τί δῆτ' ἐμοὶ ζῆν κέρδος, ἀλλ' οὐκ ἐν τάχει
ἔρριψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας,
ὅπως πέδοι σκήψασα τῶν πάντων πόνων
ἀπηλλάγην; κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν
ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς.
ΠΡ. ἦ δυσπετῶς ἂν τοὺς ἐμοὺς ἄθλους φέροις,
ὅτῳ θανεῖν μέν ἐστιν οὐ πεπρωμένον·
αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγή·
νῦν δ' οὐδέν ἐστι τέρμα μοι προκείμενον
μόχθων, πρὶν ἂν Ζεὺς ἐκπέσῃ τυραννίδος.
ΙΩ. ἦ γάρ ποτ' ἔστιν ἐκπεσεῖν ἀρχῆς Διός;
ΠΡ. ἥδοι' ἄν, οἶμαι, τήνδ' ἰδοῦσα συμφοράν.

731. σημείωσαι περὶ τοῦ Βοσπόρου. 739. ὅσα ἤκουσας, ὡς προοίμιον ἀκούειν σε χρή. ἦ, μηδ' ὅλον τὸ προοίμιον δι' αὐτῶν πεπληρῶσθαι. 740. ἐπὶ τοῖς ῥηθησομένοις δυσχεραίνει ἡ Ἰώ. 741. ποιᾶς φωνῆς καὶ στεναγμοῦ εἶδος. 744. πέλαγός ἐστι πλῆθος τῶν ἐσομένων αὐτῇ κακῶν· τὸ δὲ δυσχείμερον πρὸς τὴν ποιότητα. 755. ὡς ἀπιστοῦσα ἐρωτᾷ.

733. Ἀσιάδ' Elmsleius. 736. ἐπέρριψε M. 739. μηδέπω 'ν Turnebus: μηδ' ἐπῶν M. 747. πέδοι Dindorfius: πέδῳ M. 750. personae notam omisit M. δυσπετῶς recc.: δυπετῶσ M. 755. 759—778. paragraphi adscriptae in M, omissa versuum 756—58. notatione. 756. ἥδοιο ἄν recc. unus: ἥδοιμ' ἄν M.

ΙΩ. πῶς δ' οὐκ ἄν, ἥτις ἐκ Διὸς πάσχω κακῶς;
ΠΡ. ὡς τοίνυν ὄντων τῶνδε μαθεῖν σοι πάρα.
ΙΩ. πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεταί;
ΠΡ. πρὸς αὐτὸς αὑτοῦ κενοφρόνων βουλευμάτων.
ΙΩ. ποίῳ τρόπῳ; σήμηνον, εἰ μή τις βλάβη.
ΠΡ. γαμεῖ γάμον τοιοῦτον ᾧ ποτ' ἀσχαλᾷ.
ΙΩ. θέορτον, ἢ βρότειον; εἰ ῥητόν, φράσον.
ΠΡ. τί δ' ὄντιν'; οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τόδε.
ΙΩ. ἦ πρὸς δάμαρτος ἐξανίσταται θρόνων;
ΠΡ. ἣ τέξεταί γε παῖδα φέρτερον πατρός.
ΙΩ. οὐδ' ἔστιν αὐτῷ τῆσδ' ἀποστροφὴ τύχης;
ΠΡ. οὐ δῆτα, πλὴν ἔγωγ' ἂν ἐκ δεσμῶν λυθείς.
ΙΩ. τίς οὖν ὁ λύσων ἐστὶν ἄκοντος Διός;
ΠΡ. τῶν σῶν τιν' αὐτὸν ἐκγόνων εἶναι χρεών.
ΙΩ. πῶς εἶπας; ἦ 'μὸς παῖς σ' ἀπαλλάξει κακῶν;
ΠΡ. τρίτος γε γένναν πρὸς δέκ' ἄλλαισιν γοναῖς.
ΙΩ. ἥδ' οὐκέτ' εὐξύμβλητος ἡ χρησμῳδία.
ΠΡ. καὶ μηδὲ σαυτῆς γ' ἐκμαθεῖν ζήτει πόνους.
ΙΩ. μή μοι προτείνων κέρδος εἶτ' ἀποστέρει.
ΠΡ. δυοῖν λόγοιν σε θατέρῳ δωρήσομαι.
ΙΩ. ποίοιν; πρόδειξον αἱρέσιν τ' ἐμοὶ δίδου.
ΠΡ. δίδωμ'· ἑλοῦ γάρ, ἢ πόνων τὰ λοιπά σοι
φράσω σαφηνῶς, ἢ τὸν ἐκλύσοντ' ἐμέ.
ΧΟ. τούτων σὺ τὴν μὲν τῇδε, τὴν δ' ἐμοὶ χάριν
θέσθαι θέλησον, μηδ' ἀτιμάσῃς λόγους.
καὶ τῇδε μὲν γέγωνε τὴν λοιπὴν πλάνην,
ἐμοὶ δὲ τὸν λύσοντα. τοῦτο γὰρ ποθῶ.
ΠΡ. ἐπεὶ προθυμεῖσθ', οὐκ ἐναντιώσομαι
τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅσον προσχρῄζετε.

760. οὐκ εἰδὼς γὰρ λήψεται Θέτιν, ἥτις τέξεται τὸν ἐκβάλλοντα αὐτὸν τῆς ἀρχῆς. 761. σοὶ τῷ λέγοντι καὶ ἐμοί. 763. ἅμα ζηλοῦσα ἐρωτᾷ. 766. οὐχ ἡ Ἥρα. 773. ἐμοὶ οὐ νοητή.

765. δάμαρτος recc.: δάμωρτος M. 769. λύσων σ' recc. 770. αὐτὸν ἐκγόνων recc.: αὐτᾶν ἐγγόνων M. 772. ἄλλαισι M. 774. γ' Hermannus: τ' M. 781. λόγου Elmsleius. 784. paragrapho notat M. 785. μὴγεγωνεῖν M.

σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω,
ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν.
ὅταν περάσῃς ῥεῖθρον ἠπείρων ὅρον,
πρὸς ἀντολὰς φλογῶπας ἡλιοστιβεῖς
πόντον περῶσα φλοῖσβον, ἔστ' ἂν ἐξίκῃ
πρὸς Γοργόνεια πεδία Κισθήνης, ἵνα
αἱ Φορκίδες ναίουσι δηναιαὶ κόραι
τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ' ἐκτημέναι,
μονόδοντες, ἃς οὔθ' ἥλιος προσδέρκεται
ἀκτῖσιν οὔθ' ἡ νύκτερος μήνη ποτέ.
πέλας δ' ἀδελφαὶ τῶνδε τρεῖς κατάπτεροι,
δρακοντόμαλλοι Γοργόνες βροτοστυγεῖς,
ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοάς.
τοιοῦτο μέν σοι τοῦτο φρούριον λέγω·
ἄλλην δ' ἄκουσον δυσχερῆ θεωρίαν.
ὀξυστόμους γὰρ Ζηνὸς ἀκραγεῖς κύνας
γρῦπας φύλαξαι, τόν τε μουνῶπα στρατὸν
Ἀριμασπὸν ἱπποβάμον', οἳ χρυσόρρυτον
οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου·
τούτοις σὺ μὴ πέλαζε. τηλουρὸν δὲ γῆν
ἥξεις κελαινὸν φῦλον, οἳ πρὸς ἡλίου
ναίουσι πηγαῖς, ἔνθα ποταμὸς Αἰθίοψ.
τούτου παρ' ὄχθας ἕρφ', ἕως ἂν ἐξίκῃ

787. καὶ Πίνδαρος (Ol. 10, 3) ποτιφρένας ἐμὰς γέγραπται. 788. τὸν Τάναϊν ποταμόν. Εὐρώπην δ' Ἀσίης Τάναϊς διὰ μέσον ὁρίζει (Dionys. Perieg. 14). 791. τερατεύεται. Κισθήνη πόλις Λιβύης ἢ Αἰθιοπίας. 792. αἱ γραῖαι. 793. τοῦτο κατὰ διαδοχὴν εἰς χεῖρα λαμβάνουσαι ἐφύλασσον. 799. ὅ σε δεῖ φυλάξαι. καταγωγήν, ἣν ὀφείλεις φυλάξασθαι. 802. πρῶτος Ἡσίοδος ἐτερατεύσατο τοὺς γρῦπας. 804. τοῦ πλουσίου ποταμοῦ Αἰθιοπίας οὕτως λεγομένου, ἀπὸ τοῦ πολὺν εἶναι ἐκεῖ χρυσόν. 807. ὁ Νεῖλος.

---

789. post hunc versum hiare orationem intellexit Bruncknius. 790. *πόντου* recc. 794. *μονόδοντες* recc.: *μονάδοντεσσ* M. 801. *ὀξυστόμου* M. 802. *τόντε*, correctura factum e *τώτε*, M. 804. *πόρου* recc.: *πόρον* M. 805. *τηλουργὸν* ante corr. M.

καταβασμόν, ἔνθα Βυβλίνων ὀρῶν ἄπο
ἵησὶ σεπτὸν Νεῖλος εὔποτον ῥέος.
οὗτός σ' ὁδώσει τὴν τρίγωνον ἐς χθόνα
Νειλῶτιν, οὗ δὴ τὴν μακρὰν ἀποικίαν,
Ἰοῖ, πέπρωται σοί τε καὶ τέκνοις κτίσαι.
τῶν δ' εἴ τί σοι ψελλόν τε καὶ δυσεύρετον,
ἐπαναδίπλαζε, καὶ σαφῶς ἐκμάνθανε·
σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι.

ΧΟ. εἰ μέν τι τῇδε λοιπὸν ἢ παρειμένον
ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης,
λέγ'· εἰ δὲ πάντ' εἴρηκας, ἡμῖν αὖ χάριν
δὸς ἧντιν' αἰτούμεσθα, μέμνησαι δέ που.

ΠΡ. τὸ πᾶν πορείας ἥδε τέρμ' ἀκήκοεν.
ὅπως δ' ἂν εἰδῇ μὴ μάτην κλύουσά μου,
ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκεν φράσω,
τεκμήριον τοῦτ' αὐτὸ δοὺς μύθων ἐμῶν.
ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων,
πρὸς αὐτὸ δ' εἶμι τέρμα σῶν πλανημάτων.
ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ γάπεδα,
τὴν αἰπύνωτόν τ' ἀμφὶ Δωδώνην, ἵνα
μαντεῖα θᾶκός τ' ἐστὶ Θεσπρωτοῦ Διός,
τέρας τ' ἄπιστον, αἱ προσήγοροι δρύες,
ὑφ' ὧν σὺ λαμπρῶς κοὐδὲν αἰνικτηρίως
προσηγορεύθης ἡ Διὸς κλεινὴ δάμαρ

809. καταβασμὸς ὅρος διορίζον Λιβύην καὶ Αἴγυπτον. ἀπὸ τῆς γινομένης παρ' αὐτοῖς βίβλου ἔπλασεν τὰ Βίβλινα ὄρη. 813. ἀντὶ τοῦ οἰκῆσαι (οἰκίσαι recc.). 814. ἄσημον, ἄναρθρον. 815. ἐπανερώτα. 817. ὃ παρῆκας. 819. φιλανθρώπως αἱ Ὠκεανίδες ἠγοῦνται χάριν ἰδίαν τοῦ (τὸ recc.) ἀκοῦσαι τῆς λύσεως αὐτοῦ. 828. τὴν ὑψηλόνωτον, ἢ τὴν τραχεῖαν, παρὰ τὸ αἶπος. 830. αἱ ἔμφωνοι. 831. τῶν δρυῶν.

809. *βυβλίνων* recc.: *βιβλίνων* M. 811. *οὗτοσσε δώσει*, corr. in *οὕτως σ' ὁδώσει*, M. 815. *ἐπανδίπλαζε* Dindorfius. 816. in textu omissum in margine additum habet M. 821. paragrapho notat M. 827. *γάπεδα* Porsonus: *δάπεδα* M. 829. *θᾶκος* Brunckius: *θῶκος* M.

μέλλουσ᾽ ἔσεσθαι· τῶνδε προσσαίνει σέ τι;
ἐντεῦθεν οἰστρήσασα τὴν παρακτίαν
κέλευθον ᾔξας πρὸς μέγαν κόλπον Ῥέας,
ἀφ᾽ οὗ παλιμπλάγκτοισι χειμάζῃ δρόμοις·
χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχός,
σαφῶς ἐπίστασ᾽, Ἰόνιος κεκλήσεται,
τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσιν βροτοῖς.
σημεῖά σοι τάδ᾽ ἐστὶ τῆς ἐμῆς φρενός,
ὡς δέρκεται πλέον τι τοῦ πεφασμένου.
τὰ λοιπὰ δ᾽ ὑμῖν τῇδέ τ᾽ ἐς κοινὸν φράσω,
ἐς ταὐτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος.
ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονός,
Νείλου πρὸς αὐτῷ στόματι καὶ προσχώματι·
ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα
ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον.
ἐπώνυμον δὲ τῶν Διὸς γεννημάτων
τέξεις κελαινὸν Ἔπαφον, ὃς καρπώσεται
ὅσην πλατύρρους Νεῖλος ἀρδεύει χθόνα.
πέμπτη δ᾽ ἀπ᾽ αὐτοῦ γένναι πεντηκοντάπαις
πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦσ᾽ ἐλεύσεται
θηλύσπορος, φεύγουσα συγγενῆ γάμον

833. ὑπομιμνήσκει σε. 835. καὶ Ἀπολλώνιος (Argon. 4, 327) Κρονίην ἅλα τὸν Ἰόνιόν φησι. οὕτω γὰρ ἐκαλεῖτο. ὅτι Ῥέας κόλπος ὁ Ἰόνιος πρώην ἐκαλεῖτο. ὅθεν ὁ Ἰόνιος κόλπος οὕτω προσηγορεύθη. 841. τοῦ φανεροῦ. ἀντὶ τοῦ καὶ τὰ κρυπτὰ εἶδεν ἡ ἐμὴ φρήν. 844. τῆς νυκτός. ἀναχρονισμός. 845. προσχώματι: τῷ ὑπὸ τοῦ ποταμοῦ ἐτησίῳ προσθήματι τοῦ χώματος. φθόνων δὲ σωμάτων (857). ἐν ὑψηλῷ γάρ ἐστιν. 846. ἀνθρωπόμορφον. 847. ἀφοβοποιῷ. 848. ἢ τῶν ἐκ Διὸς γεννηθέντων, ἢ τῆς Διὸς ἐπαφήσεως. 849. μελάντεροι γάρ εἰσιν οἱ Αἰγύπτιοι. 851. ὁ Δαναός. αἱ Δαναοῦ θυγατέρες. πέμπτη δὲ οὕτως· Ἐπάφου Λιβύη, ἧς Βῆλος, οὗ Δαναός, οὗ αἱ ν᾽ θυγατέρες.

---

833. προσσαίνει recc.: προσαίνει M. 836. παλικπλάκτοισι, corr. in παλιμπλάκτοισι, M. 838. κεκλήσεται recc.: κληθήσεται M. 848. γενημάτων ante corr. M. 851. πεντηκοντάπαις recc.: πεντηκοντόπαισ M.

ἀνεψιῶν· οἱ δ' ἐπτοημένοι φρένας,
κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι,
ἥξουσι θηρεύσοντες οὐ θηρασίμους
γάμους, φθόνον δὲ σωμάτων ἕξει θεός·
Πελασγία δὲ δέξεται θηλυκτόνῳ
Ἄρει δαμέντων νυκτιφρουρήτῳ θράσει·
γυνὴ γὰρ ἄνδρ' ἕκαστον αἰῶνος στερεῖ,
διθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος.
τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις.
μίαν δὲ παίδων ἵμερος θέλξει τὸ μὴ
κτεῖναι σύνευνον, ἀλλ' ἀπαμβλυνθήσεται
γνώμην· δυοῖν δὲ θάτερον βουλήσεται,
κλύειν ἄναλκις μᾶλλον ἢ μιαιφόνος.
αὕτη κατ' Ἄργος βασιλικὸν τέξει γένος·
μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς.
σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασὺς
τόξοισι κλεινός, ὃς πόνων ἐκ τῶνδ' ἐμὲ
λύσει. τοιόνδε χρησμὸν ἡ παλαιγενὴς
μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις·
ὅπως δὲ χὤπη, ταῦτα δεῖ μακροῦ λόγου
εἰπεῖν, σύ τ' οὐδὲν ἐκμαθοῦσα κερδανεῖς.
ΙΩ. ἐλελελελελεῦ,
ὑπό μ' αὖ σφάκελος καὶ φρενοπληγεῖς
μανίαι θάλπουσ', οἴστρου δ' ἄρδις
χρίει μ' ἄπυρος·

855. πελείας τὰς νύμφας φησί· ἀφροδισιακὸν γὰρ τὸ ὄρνεον· τοὺς δὲ νυμφίους κίρκους διὰ τὸ ἁρπακτικόν. 857. αὐτοῖς τοῖς σώμασι τιμωρηθήσονται, θεῶν νεμεσησάντων αὐτοῖς. 859. τῷ νυκτὸς ἐπιτηρήσαντι· νυκτὸς γὰρ αὐτοὺς εἷλον. 867. Ἄβαντα. 873. ὅπως δὲ ἔχω τύχης καὶ δι' ἣν αἰτίαν λυθήσομαι, πολλοῦ λόγου ἂν εἴη τοῦτο. 875. θρηνῶδες ἐπίφθεγμα. 876. σπασμὸς τοῦ ἐγκεφάλου. 877. ἡ ἀκμὴ τοῦ πάθους. 878. ἡ πολύπυρος διὰ τὸ σφοδρὸν πάθος· ἢ πῦρ μὴ ἔχουσα.

862. ἐπ' recc.: ἐσ M. 864. ἀπαμβλυνθήσεται recc.: ἀπαμβλυθήσεται M. 865. δυοῖν recc.: δυεῖν M. 870. κλεινός recc.: κλεινοῖσ M.

κραδία δὲ φόβῳ φρένα λακτίζει.
τροχοδινεῖται δ' ὄμμαθ' ἑλίγδην,
ἔξω δὲ δρόμου φέρομαι λύσσης
πνεύματι μάργῳ, γλώσσης ἀκρατής·
θολεροὶ δὲ λόγοι παίουσ' εἰκῇ
στυγνῆς πρὸς κύμασιν ἄτης.

str. XO. ἦ σοφὸς ἦ σοφὸς ἦν ὃς
πρῶτος ἐν γνώμᾳ τόδ' ἐβάστασε καὶ γλώσσᾳ διεμυθολόγησεν,
ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν ἀριστεύει μακρῷ,
καὶ μήτε τῶν πλούτῳ διαθρυπτομένων
μήτε τῶν γέννᾳ μεγαλυνομένων
ὄντα χερνήταν ἐραστεῦσαι γάμων.

antistr. μὴποτε μήποτέ μ', ὦ
..... Μοῖραι, λεχέων Διὸς εὐνάτειραν ἴδοισθε πέλουσαν·
μηδὲ πλαθείην γαμέτᾳ τινὶ τῶν ἐξ οὐρανοῦ.
ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν
εἰσορῶσ' Ἰοῦς γάμῳ δαπτομέναν
δυσπλάνοις Ἥρας ἀλατείαις πόνων.

epod. ἐμοὶ δ' ὅτι μὲν ὁμαλὸς ὁ γάμος

879. ἀντὶ τοῦ παράφρων γίνεται ὑπὸ τοῦ φόβου. 880. οὐκ εἰμὶ ἐν τῷ καθεστῶτι. 881. δρόμου: τῆς ὀρθῆς ὁδοῦ. 882. ὑπὸ τῆς μανίας μὴ κατέχουσα τῆς γλώττης, ἀλλὰ παίουσα. 883. τεταραγμένοι δὲ λόγοι ὡς ἔτυχε προσπαίουσι τῷ τῶν κακῶν κλύδωνι, τοῦτ' ἔστιν ὑπὸ ὀδύνης πολλὰ λαλῶ. 886. ἐδοκίμασεν· ἐπεὶ μέγα τόξον ἐβάστασε καὶ ἴδε πάντῃ (Hom. Od. φ. 405). 888. καὶ Πίνδαρος (Pyth. 2, 64)· χρὴ δὲ καθ' ἑαυτὸν παντὸς ὁρᾶν μέτρον. εὐναὶ δὲ παράτροποι ἐς κακότητά τ' ἀθρόαν ἔβαλον. κατὰ τὰ ἴδια μέτρα. 889. ἐντρυφώντων. 896. ἣν οὐ στέργει ὁ γενόμενος αὐτῆς ἀνήρ· ἢ τὴν ὑπὸ ἀρσένων στεργομένην. 897. ἅμα τῷ γάμῳ· λείπει γὰρ τὸ ἅμα. 899. ἴσος.

879. κραδία recc.: καρδία M. 883. παίουσ' schol. et recc.: πταίουσ' M. 895. πλαθείην γαμέτᾳ Canterus: πλαθείη ἐν γαμέταις M. 897. γ' ἀμαλαπτομέναν Weilius. 898. δυσπλάνοις recc.: δυσπλαγχνοις M. ἀλατείαις recc.: ἀλατείαισι M.

ἄφοβος οὐ δέδια, μηδὲ κρεισσόνων
θεῶν ἔρως ἄφυκτον ὄμμα προσδράκοι με.
ἀπόλεμος ὅδε γ' ὁ πόλεμος, ἄπορα πόριμος,
οὐδ' ἔχω τίς ἂν γενοίμαν·
τὰν Διὸς γὰρ οὐχ ὁρῶ
μῆτιν ὅπᾳ φύγοιμ' ἄν.

ΠΡ. ἦ μὴν ἔτι Ζεύς, καίπερ αὐθάδη φρονῶν,
ἔσται ταπεινός, οἷον ἐξαρτύεται
γάμον γαμεῖν, ὃς αὐτὸν ἐκ τυραννίδος
θρόνων [τ'] ἄιστον ἐκβαλεῖ· πατρὸς δ' ἀρὰ
Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται,
ἣν ἐκπίτνων ἠρᾶτο δηναιῶν θρόνων.
τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν
δύναιτ' ἂν αὐτῷ πλὴν ἐμοῦ δεῖξαι σαφῶς.
ἐγὼ τάδ' οἶδα χὤ τρόπῳ. πρὸς ταῦτά νυν
θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις
πιστὸς τινάσσων τ' ἐν χεροῖν πύρπνουν βέλος.
οὐδὲν γὰρ αὐτῷ ταῦτ' ἐπαρκέσει τὸ μὴ οὐ
πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετά·
τοῖον παλαιστὴν νῦν παρασκευάζεται
ἐπ' αὐτὸς αὑτῷ, δυσμαχώτατον τέρας·
ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα
βροντῆς θ' ὑπερβάλλοντα καρτερὸν κτύπον,
θαλασσίαν τε γῆς τινάκτειραν νόσον
τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος, σκεδᾷ.

900. μηδὲ ἐπίδοι με ὁ ἔρως κρεισσόνων θεῶν, ὅς ἐστιν ἄφυκτον ὄμμα. 902. ὁ πρὸς κρείσσονας πόλεμος ἀκαταμάχητος. πόριμος αὐτοῖς. 914. καὶ ᾧ τρόπῳ. 915. τῇ βροντῇ καὶ τῷ κεραυνῷ. 918. μὴ δυνάμενα ἐπανορθωθῆναι. 920. τὸν τεχθησόμενον ἐξ αὐτοῦ.

---

901. προσδράκοι Blomfieldus: προσδάρκοι M. 906. αὐθάδη φρονῶν recc.: αὐθάδησ φρενῶν M. 909. τ' additum a recc. δ' Turnebus: τ' M. 910. τόδ' ante corr. M. 911. δηναιὸν ante corr. M. 912. τοιόνδε ante corr. M. 916. πιστωσ (ex quo πιστὸσ fecit *m*) M. 921. εὑρήσει recc.: εὑρήσοι M. 922. ὑπερφέροντα Weilius.

πταίσας δὲ τῷδε πρὸς κακῷ μαθήσεται
ὅσον τό τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα.
ΧΟ. σύ θην ἃ χρήζεις, ταῦτ' ἐπιγλωσσᾷ Διός.
ΠΡ. ἅπερ τελεῖται, πρὸς δ' ἃ βούλομαι λέγω.
ΧΟ. καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνός τινα;
ΠΡ. καὶ τῶνδέ γ' ἔξει δυσλοφωτέρους πόνους.
ΧΟ. πῶς οὐχὶ ταρβεῖς τοιάδ' ἐκρίπτων ἔπη;
ΠΡ. τί δ' ἂν φοβοίμην ᾧ θανεῖν οὐ μόρσιμον;
ΧΟ. ἀλλ' ἄθλον ἄν σοι τοῦδ' ἔτ' ἀλγίω πόροι.
ΠΡ. ὃ δ' οὖν ποιείτω· πάντα προσδοκητά μοι.
ΧΟ. οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοί.
ΠΡ. σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεί.
ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει.
δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον,
ὅπως θέλει· δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς.
ἀλλ' εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν,
τὸν τοῦ τυράννου τοῦ νέου διάκονον·
πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθεν.
Ἑρμῆς. σὲ τὸν σοφιστήν, τὸν πικρῶς ὑπέρπικρον,
τὸν ἐξαμαρτόντ' εἰς θεοὺς ἐφημέροις
πορόντα τιμάς, τὸν πυρὸς κλέπτην λέγω·
πατὴρ ἄνωγέ σ' οὕστινας κομπεῖς γάμους
αὐδᾶν πρὸς ὧν τ' ἐκεῖνος ἐκπίπτει κράτους.
καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως,
ἀλλ' αὖθ' ἕκαστα φράζε, μηδέ μοι διπλᾶς
ὁδούς, Προμηθεῖ, προσβάλῃς· ὁρᾷς δ' ὅτι
Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.

927. τῇ γλώττῃ κατηγορεῖς. ἐποιωνίζῃ κατὰ τοῦ Διὸς ἃ βούλει γενέσθαι αὐτῷ. κατὰ ἐρώτησιν. 934. οὕτως ὑπερηφάνως καὶ ἀφόβως εἶπεν. 936. θώπευε. 940. ἄγγελον, ἀπὸ τοῦ τρέχειν. 944. τοῖς ἀνθρώποις. 949. ὃ ἐστι μὴ κάματόν μοι διπλοῦν προξενήσῃς δεύτερόν με ποιῶν ὑποστρέψαι. 951. τοῖς μὴ πειθομένοις αὐτῷ.

925. κακῶν, ᾧ a m. rec. superscripto, M. 926. ὅσσον M. 928—934. solis paragraphis notat M. 931. πῶς δ' recc. 932. τί δ' ἄν recc.: τί δαὶ M. 933. τοῦδ' ἔτ' Elmsleius: τοῦδέ γ' M. 944. ἐφημέροις Blomfieldus, τὸν ἐφημέροις recc.: τὸν ἡμέροισ M.

ΠΡ. σεμνόστομός γε καὶ φρονήματος πλέως
ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου.
νέον νέοι κρατεῖτε καὶ δοκεῖτε δὴ
ναίειν ἀπενθῆ πέργαμ᾽· οὐκ ἐκ τῶνδ᾽ ἐγὼ
δισσοὺς τυράννους ἐκπεσόντας ἠσθόμην;
τρίτον δὲ τὸν νῦν κοιρανοῦντ᾽ ἐπόψομαι
αἴσχιστα καὶ τάχιστα. μή τί σοι δοκῶ
ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς;
πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. σὺ δὲ
κέλευθον ἥνπερ ἦλθες ἐγκόνει πάλιν·
πεύσῃ γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ.
ΕΡ. τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας.
ΠΡ. τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν,
σαφῶς ἐπίστασ᾽, οὐκ ἂν ἀλλάξαιμ᾽ ἐγώ.
ΕΡ. κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ
ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον.
ΠΡ. οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεών.
ΕΡ. χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασι.
ΠΡ. χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ
ἐχθροὺς ἴδοιμι· καὶ σὲ δ᾽ ἐν τούτοις λέγω.
ΕΡ. ἦ κἀμὲ γάρ τι συμφοραῖς ἐπαιτιᾷ;
ΠΡ. ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεούς,
ὅσοι παθόντες εὖ κακοῦσί μ᾽ ἐκδίκως.

956. πρώτους τοὺς περὶ Ὄφίωνα καὶ Εὐρυνόμην, δεύτερον τοὺς περὶ Κρόνον. πέργαμα δὲ ἁπλῶς τὰς οὐρανοῦ ἀκρωρείας· κατεχρήσατο δέ. 960. πολλοῦ με δεῖν (δεῖ Dind.) πρὸς τὸ ταρβεῖν, μᾶλλον δὲ τοῦ παντός. σημείωσαι τὸ πολλοῦ γε καὶ δεῖ, πολλῷ γε καὶ δέω. 970. τρυφᾶν, ἀνίεσθαι. 975. συνῆλθεν γὰρ αὐτοῖς κατὰ τῶν Τιτάνων.

---

960. γε recc.: δὲ M. 963. 965. paragraphis notat M. 964. καθώρμισας recc.: καθώρ..οσας, ο ex ι facto, M. 967. 969. personarum notae nullae in M. 968. φῦναι recc.: φῆναι M. πιστόν recc.: πιστὸν δ᾽, δ᾽ a rec. manu mutato in γ᾽, M. ante 969. alterum Promethei versiculum intercidisse statuit Keckius. 970—986. personarum vices paragraphis ita notat M, ut 980. 986. notatione careant. 973. συμφορᾶς recc.

ΕΡ. κλύω σ' ἐγὼ μεμηνότ' οὐ μικρὰν νόσον.
ΠΡ. νοσοῖμ' ἄν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν.
ΕΡ. εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς.
ΠΡ. ὤμοι. ΕΡ. τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται.
ΠΡ. ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος.
ΕΡ. καὶ μὴν σύ γ' οὔπω σωφρονεῖν ἐπίστασαι.
ΠΡ. σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ' ὑπηρέτην.
ΕΡ. ἐρεῖν ἔοικας οὐδὲν ὧν χρῄζει πατήρ.
ΠΡ. καὶ μὴν ὀφείλων γ' ἂν τίνοιμ' αὐτῷ χάριν.
ΕΡ. ἐκερτόμησας δῆθεν ὡς παῖδά με.
ΠΡ. οὐ γὰρ σὺ παῖς τε κἄτι τοῦδ' ἀνούστερος,
εἰ προσδοκᾷς ἐμοῦ τι πεύσεσθαι πάρα;
οὐκ ἔστιν αἴκισμ'· οὐδὲ μηχάνημ' ὅτῳ
προτρέψεταί με Ζεὺς γεγωνῆσαι· τάδε,
πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια.
πρὸς ταῦτα ῥιπτέσθω μὲν αἰθαλοῦσσα φλόξ,
λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήμασι
χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω·
γνάψει γὰρ οὐδὲν τῶνδέ μ' ὥστε καὶ φράσαι
πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.
ΕΡ. ὅρα νυν εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται.
ΠΡ. ὤπται πάλαι δὴ καὶ βεβούλευται τάδε.
ΕΡ. τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε
πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.
ΠΡ. ὀχλεῖς μάτην με κῦμ' ὅπως παρηγορῶν.

976. ἐξ ὧν λέγεις. 979. τὸ οἴμοι λέγειν. 980. κἀκεῖνος οὖν τῷ χρόνῳ μαθήσεται τὸ στενάζειν. 981. σὺ δὲ οὐδὲ ὑπὸ τοῦ χρόνου παιδεύῃ. 982. ὁ νοῦς· καλῶς λέγεις με μὴ φρονεῖν· εἰ γὰρ ἐγὼ ἐφρόνουν, ὑπηρέτῃ σοι ὄντι οὐκ ἂν διελέχθην (διηλέχθην cod.). 984. τοῦτο ἐν εἰρωνείᾳ. 991. γρ. αἰθεροῦσσα. 992. λευκῇ καὶ ταχείᾳ. 997. τεθεώρηται.

---

979. Mercurii nota deest in M. 985. παῖδ' ὄντα με recc., ὥστε παῖδά με Hermannus. 986. καὶ ἔτι M. 987. πεύσεσθαι recc.: πευσεῖσθαι M. 991. αἰθαλοῦσα M. 994. γνάψει M. φράσαι recc.: φράσειν M. 996. 1006. paragraphos adscriptas habent in M, 997. 998. et 1000 neglecta omni notatione. 997. ὤπται schol. et recc.: ὦ παῖ M.

εἰσελθέτω σε μήποθ' ὡς ἐγὼ Διὸς
γνώμην φοβηθεὶς θηλύνους γενήσομαι
καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
γυναικομίμοις ὑπτιάσμασιν χερῶν
λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.
ΕΡ. λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν·
τέγγῃ γὰρ οὐδὲν οὐδὲ μαλθάσσῃ λιταῖς
ἐμαῖς· δακὼν δὲ στόμιον ὡς νεοζυγὴς
πῶλος βιάζῃ καὶ πρὸς ἡνίας μάχῃ.
ἀτὰρ σφοδρύνῃ γ' ἀσθενεῖ σοφίσματι·
αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς
αὐτὴ καθ' αὑτὴν οὐδενὸς μεῖον σθένει.
σκέψαι δ', ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις,
οἷός σε χειμὼν καὶ κακῶν τρικυμία
ἕπεισ' ἄφυκτος· πρῶτα μὲν γὰρ ὀκρίδα
φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ
πατὴρ σπαράξει τήνδε, καὶ κρύψει δέμας
τὸ σόν, πετραία δ' ἀγκάλη σε βαστάσει.
μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου
ἄψορρον ἥξεις εἰς φάος· Διὸς δέ τοι
πτηνὸς κύων, δαφοινὸς αἰετός, λάβρως
διαρταμήσει σώματος μέγα ῥάκος,
ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος,
κελαινόβρωτον δ' ἦπαρ ἐκθοινήσεται.
τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα,
πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων
φανῇ, θελήσῃ τ' εἰς ἀνάγητον μολεῖν

1005. εἰς τὸ ποιῆσαι τοῦτο. 1012. ἴσον ἐστὶ τῷ μηδενί. 1018. τὸ ἀπόρρηγμα καὶ κοίλωμα τῆς πέτρας. χάσματος γενομένου μετέωρος ἕξῃ κρεμάμενος τῶν χειρῶν. 1022. τὸ δέρμα. 1023. ἄκλειστος. 1024. τὸ μελαινόμενον ἐκ τῆς βρώσεως. 1026. ὡς τοῦ βοηθοῦντος ταῦτα πεισομένου.

1001. *μήποθ'* recc.: *μηπάθ'*, *α* ab eadem m. ex *ω* vel *υ* facto et adscripto in margine a m. recentissima *μήποθ'*, M. 1004. *ὑπτιάσμασι* M. 1012. *μεῖον* Stanleius: *μεῖζον* M. 1015. *ἄφυκτος* recc.: *ἀφύκτωσ* M. 1020. *δέ σοι* Hermannus. 1024. *ἐκθοινάσεται* Nauckius. 1025. *τι* recc.: *τοι* M.

Ἅιδην κνεφαῖά τ᾽ ἀμφὶ Ταρτάρου βάθη.
πρὸς ταῦτα βούλευ᾽· ὡς ὅδ᾽ οὐ πεπλασμένος
ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος·
ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
τὸ Λῖον, ἀλλὰ πᾶν ἔπος τελεῖ. σὺ δὲ
πάπταινε καὶ φρόντιζε, μηδ᾽ αὐθαδίαν
εὐβουλίας ἀμείνον᾽ ἡγήσῃ ποτέ.
ΧΟ. ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται
λέγειν· ἄνωγε γάρ σε τὴν αὐθαδίαν
μεθέντ᾽ ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν.
πιθοῦ· σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν.
ΠΡ. εἰδότι τοί μοι τάσδ᾽ ἀγγελίας
ὅδ᾽ ἐθώυξεν, πάσχειν δὲ κακῶς
ἐχθρὸν ὑπ᾽ ἐχθρῶν οὐδὲν ἀεικές.
πρὸς ταῦτ᾽ ἐπ᾽ ἐμοὶ ῥιπτέσθω μὲν
πυρὸς ἀμφήκης βόστρυχος, αἰθὴρ δ᾽
ἐρεθιζέσθω βροντῇ σφακέλῳ τ᾽
ἀγρίων ἀνέμων· χθόνα δ᾽ ἐκ πυθμένων
αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι,
κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ
συγχώσειεν τῶν τ᾽ οὐρανίων
ἄστρων διόδους, ἔς τε κελαινὸν
Τάρταρον ἄρθην ῥίψειε δέμας
τοὐμὸν ἀνάγκης στερραῖς δίναις·
πάντως ἐμέ γ᾽ οὐ θανατώσει.
ΕΡ. τοιάδε μέντοι τῶν φρενοπλήκτων
βουλεύματ᾽ ἔπη τ᾽ ἐστὶν ἀκοῦσαι.
τί γὰρ ἐλλείπει μὴ παραπαίειν
ἢ τοῦδ᾽ εὐτυχῆ τί χαλᾷ μανιῶν;

1043. ἡ ἑλικοειδὴς τοῦ πυρὸς καταφορά. ἀμφήκης δὲ ὀξύς. 1044. σπασμῷ, συντόνῳ κινήσει. 1046. σύν. θεμελίοις. κινοίη. 1048. συγκαλύψειεν. 1055. μὴ παραφρονεῖν.

1038. πιθοῦ recc.: πείθου M. 1039. deest personae nota in M. 1042. ἐπ᾽ ἐμοὶ ῥιπτέσθω recc.: ἐπί μοι ῥιπτείσθω M. 1056. εἰ τάδ᾽ in margine adscriptum in M, et sic recc.

ἀλλ᾽ οὖν ὑμεῖς γ᾽ αἱ πημόσυναις
συγκάμνουσαι ταῖς τοῦδε τόπων,
μετά ποι χωρεῖτ᾽ ἐκ τῶνδε θοῶς,
μὴ φρένας ὑμῶν ἠλιθιώσῃ
βροντῆς μύκημ᾽ ἀτέραμνον.

XO. ἄλλο τι φώνει καὶ παραμυθοῦ μ᾽
ὅ τι καὶ πείσεις· οὐ γὰρ δή που
τοῦτό γε τλητὸν παρέσυρας ἔπος.
πῶς με κελεύεις κακότητ᾽ ἀσκεῖν;
μετὰ τοῦδ᾽ ὅ τι χρὴ πάσχειν ἐθέλω·
τοὺς προδότας γὰρ μισεῖν ἔμαθον,
κοὐκ ἔστι νόσος
τῆσδ᾽ ἥντιν᾽ ἀπέπτυσα μᾶλλον.

EP. ἀλλ᾽ οὖν μέμνησθ᾽ ἃγὼ προλέγω·
μηδὲ πρὸς ἄτης θηραθεῖσαι
μέμψησθε τύχην, μηδέ ποτ᾽ εἴπηθ᾽
ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον
πῆμ᾽ εἰσέβαλεν·
μὴ δῆτ᾽, αὐταὶ δ᾽ ὑμᾶς αὐτάς.
εἰδυῖαι γὰρ κοὐκ ἐξαίφνης
οὐδὲ λαθραίως
εἰς ἀπέραντον δίκτυον ἄτης
ἐμπλεχθήσεσθ᾽ ὑπ᾽ ἀνοίας.

ΠΡ. καὶ μὴν ἔργῳ κοὐκέτι μύθῳ
χθὼν σεσάλευται·
βρυχία δ᾽ ἠχὼ παραμυκᾶται
βροντῆς, ἕλικες δ᾽ ἐκλάμπουσι
στεροπῆς ζάπυροι,

1057. ὦ Ὠκεανίδες. 1060. ματαιώσῃ, παραπλῆγας ποιήσῃ. 1064. παρήγαγες εἰς τὸ καταλεῖψαι τὸν Προμηθέα. 1066. συμπάσχειν αὐτῷ οὐ παραιτοῦμαι. 1075. λείπει τὸ αἰτιᾶσθε. 1083. αἱ ἑλικοειδεῖς κατὰ τὰ νέφη τῶν ἀστραπῶν κινήσεις.

1057. γ᾽ αἱ Turnebus: γε M. 1059. ποι rec.: που M. 1068. ἔστιν M. 1070. οὖν M. ἃγὰ Porsonus: ἄτ᾽ ἐγὰ M. 1076. καὶ οὐκ M. 1078. ἀπέρατον (ν a m. rec.) M.

στρόμβοι δὲ κόνιν εἱλίσσουσιν·
σκιρτᾷ δ' ἀνέμων πνεύματα πάντων
εἰς ἄλληλα
στάσιν ἀντίπνουν ἀποδεικνύμενα·
ξυντετάρακται δ' αἰθὴρ πόντῳ.
τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ Διόθεν
τεύχουσα φόβον στείχει φανερῶς.
ὦ μητρὸς ἐμῆς σέβας, ὦ πάντων
αἰθὴρ κοινὸν φάος εἱλίσσων,
ἐσορᾷς μ' ὡς ἔκδικα πάσχω.

1088. ἀποδεικνύντα. 1092. ὦ Γῆ, ἦ ὦ Θέμις.

1085. εἱλίσσουσι Turnebus: ἑλίσσουσιν M. 1093. εἱλίσσων Turnebus: ἑλίσσων M. subscriptum in M: τέλος Αἰσχύ(λου) Προμηθ(έως).

Αἰσχύλου βίος.

Αἰσχύλος ὁ τραγικὸς γένει μέν ἐστιν Ἀθηναῖος, Ἐλευσίνιος τῶν δήμων, υἱὸς Εὐφορίωνος, Κυνεγείρου ἀδελφός, ἐξ εὐπατριδῶν τὴν φύσιν. νέος δὲ ἤρξατο τῶν τραγῳδιῶν, καὶ πολὺ τοὺς πρὸ ἑαυτοῦ ὑπερῆρε κατά τε τὴν ποίησιν καὶ τὴν διάθεσιν τῆς σκηνῆς, τήν τε λαμπρότητα τῆς χορηγίας καὶ τὴν σκευὴν τῶν ὑποκριτῶν, τήν τε τοῦ χοροῦ σεμνότητα, ὡς καὶ Ἀριστοφάνης (Rann. 1004. 5)·

> ἀλλ᾽ ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνὰ
> καὶ κοσμήσας τραγικὸν λῆρον.

συνεχρόνησε (συνεχρόνισεν cod.) δὲ Πινδάρῳ, γεγονὼς κατὰ τὴν μ᾽ ὀλυμπιάδα. γενναῖον δὲ αὐτόν φασι καὶ μετασχεῖν τῆς ἐν Μαραθῶνι μάχης σὺν τῷ ἀδελφῷ Κυνεγείρῳ, τῆς τε ἐν Σαλαμῖνι ναυμαχίας σὺν τῷ νεωτάτῳ τῶν ἀδελφῶν Ἀμεινίᾳ, καὶ τῆς ἐν Πλαταιαῖς πεζομαχίας (ναυμαχίας cod.). κατὰ δὲ τὴν σύνθεσιν τῆς ποιήσεως ζηλοῖ τὸ ἀδρὸν ἀεὶ πλάσμα, ὀνοματοποιίαις τε καὶ ἐπιθέτοις, ἔτι δὲ μεταφοραῖς καὶ πᾶσι τοῖς δυναμένοις ὄγκον τῇ φράσει περιθεῖναι χρώμενος. αἵ τε διαθέσεις τῶν δραμάτων οὐ πολλὰς αὐτῷ περιπετείας καὶ πλοκὰς ἔχουσιν, ὡς παρὰ τοῖς νεωτέροις· μόνον γὰρ ζηλοῖ τὸ βάρος περιτιθέναι τοῖς προσώποις, ἀρχαῖον εἶναι κρίνων τοῦτο τὸ μέρος μεγαλοπρεπές τε καὶ ἡρωικόν, τὸ δὲ πανοῦργον κομψοπρεπές τε καὶ γνωμολογικὸν ἀλλότριον τῆς τραγῳδίας ἡγούμενος· ὥστε διὰ τὸ πλεονάζειν τῷ βάρει τῶν προσώπων κομῳδεῖται παρὰ Ἀριστοφάνους. ἐν μὲν γὰρ τῇ Νιόβῃ [Νιόβη] ἕως τρίτου μέρους ἐπικαθημένη τῷ τάφῳ τῶν παίδων οὐδὲν φθέγγεται ἐγκεκαλυμμένη· ἔν τε τοῖς Ἕκτορος λύτροις Ἀχιλλεὺς ὁμοίως ἐγκεκαλυμμένος οὐ φθέγγεται, πλὴν ἐν ἀρχαῖς ὀλίγα πρὸς Ἑρμῆν ἀμοιβαῖα. διὸ ἐκλογαὶ μὲν παρ᾽ αὐτῷ τῇ κατασκευῇ διαφέρουσαι πάμπολλαι (πάμπολλοι cod.) ἂν εὑρεθεῖεν, γνῶμαι δὲ ἢ συμπάθειαι ἢ ἄλλο τι τῶν δυναμένων εἰς δάκρυα ἀγαγεῖν οὐ πάνυ· ταῖς τε γὰρ ὄψεσι καὶ τοῖς

μύθοις πρὸς ἔκπληξιν τερατώδη μᾶλλον ἢ πρὸς ἀπάτην κέχρηται.

ἀπῆρε δὲ ὡς Ἱέρωνα, κατὰ τινὰς (τινὰ cod.) μὲν ὑπὸ Ἀθηναίων κατασπουδασθεὶς καὶ ἡσσηθεὶς νέῳ ὄντι Σοφοκλεῖ, κατὰ δὲ ἐνίους ἐν τῷ εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἡσσηθεὶς Σιμωνίδῃ· τὸ γὰρ ἐλεγεῖον πολὺ τῆς περὶ τὸ συμπαθὲς λεπτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον. τινὲς δὲ φασὶν ἐν τῇ ἐπιδείξει τῶν Εὐμενίδων σποράδην εἰσαγαγόντα τὸν χορὸν τοσοῦτον ἐκπλῆξαι τὸν δῆμον, ὡς τὰ μὲν νήπια ἐκψῦξαι, τὰ δὲ ἔμβρυα ἐξαμβλωθῆναι. ἐλθὼν τοίνυν εἰς Σικελίαν, Ἱέρωνος τότε (τε cod.) τὴν Αἴτνην κτίζοντος ἐπεδείξατο τὰς Αἰτναίας (αἴτνας cod.), οἰωνιζόμενος βίον ἀγαθὸν τοῖς συνοικίζουσι τὴν πόλιν. καὶ σφόδρα τῷ τυράννῳ Ἱέρωνι καὶ τοῖς Γελῴοις τιμηθείς, ἐπιζήσας τρίτον ἔτος γηραιὸς ἐτελεύτα τοῦτον τὸν τρόπον. ἀετὸς γὰρ χελώνην ἁρπάσας, ὡς ἐγκρατὴς γενέσθαι τῆς ἄγρας οὐκ ἴσχυεν, ἀφῆσι κατὰ πετρῶν αὐτὴν συνθλάσσων τοῦ δέρματος, ἐνεχθεῖσα δὲ κατὰ τοῦ ποιητοῦ φονεύει αὐτόν. χρηστηριασθεὶς δὲ ἦν· οὐράνιόν σε βέλος κατακτενεῖ. ἀποθανόντα δὲ Γελῷοι πολυτελῶς ἐν τοῖς δημοσίοις μνήμασι θάψαντες ἐτίμησαν μεγαλοπρεπῶς, ἐπιγράψαντες οὕτω·

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον (ἀθηναίων cod.) τόδε κεύθει μνῆμα καταφθίμενον πυροφόροιο Γέλας (πέλας cod.)·
ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος (ἄλλοσ cod.) ἂν εἴποι καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

εἰς τὸ μνῆμα δὲ φοιτῶντες ὅσοις [ἐν] τραγῳδίαις ἦν ὁ βίος ἐνήγιζόν τε καὶ τὰ δράματα ὑπεκρίνοντο. Ἀθηναῖοι δὲ τοσοῦτον ἠγάπησαν Αἰσχύλον, ὡς ψηφίσασθαι μετὰ θάνατον αὐτοῦ τὸν βουλόμενον διδάσκειν τὰ Αἰσχύλου χορὸν λαμβάνειν. ἐβίω δὲ ἔτη ξγ', ἐν οἷς ἐποίησε δράματα ο' καὶ ἐπὶ τούτοις σατυρικὰ ἀμφὶ τὰ ε'. νίκας δὲ τὰς πάσας εἴληφε τρεισκαίδεκα· οὐκ ὀλίγας δὲ μετὰ τελευτὴν νίκας ἀπηνέγκατο.

πρῶτος Αἰσχύλος πάθεσι γεννικωτέροις (γεννικωτάτοις cod.) τὴν τραγῳδίαν ηὔξησε, τήν τε σκηνὴν ἐκόσμησε καὶ τὴν ὄψιν τῶν θεωμένων κατέπληξε τῇ λαμπρότητι, γραφαῖς καὶ μηχαναῖς, βωμοῖς τε καὶ τάφοις, σάλπιγξιν, εἰδώλοις, Ἐρινύσι, τούς τε ὑποκριτὰς χειρῖσι (χειρὶ cod.) σκεπάσας καὶ τῷ σύρματι ἐξογκώσας μείζοσί τε τοῖς κοθόρνοις μετεωρίσας. ἐχρήσατο δ' ὑποκριτῇ πρώτῳ μὲν Κλεάνδρῳ, ἔπειτα καὶ τὸν δεύτερον αὐτῷ προσῆψε Μυννίσκον τὸν Χαλκιδέα· τὸν δὲ τρίτον ὑποκριτὴν αὐτὸς ἐξεῦρεν, ὡς δὲ Δικαίαρχος ὁ Μεσσήνιος, Σοφοκλῆς. τὸ δ' ἁπλοῦν τῆς δραματοποιίας εἰ μέν τις πρὸς

τοὺς μετ' αὐτὸν λογίζοιτο, φαῦλον ἂν (μὲν cod.) ἐκλαμβάνοι καὶ ἀπραγμάτευτον, εἰ δὲ πρὸς τοὺς ἀνωτέρω, θαυμάσειε τῆς ἐπινοίας τὸν ποιητὴν καὶ τῆς εὑρέσεως. ὅτῳ δὲ δοκεῖ τελεώτερος τραγῳδίας ποιητὴς Σοφοκλῆς γεγονέναι, ὀρθῶς μὲν δοκεῖ, λογιζέσθω δ' ὅτι πολλῷ χαλεπώτερον (χαλεπώτεροσ cod.) ἦν ἐπὶ Θέσπιδι, Φρυνίχῳ (φρονίχωι cod.) τε καὶ Χοιρίλῳ εἷς τοσόνδε μεγέθους τὴν τραγῳδίαν προαγαγεῖν ἢ ἐπὶ Αἰσχύλῳ εἰπόντα εἰς τὴν Σοφοκλέους ἐλθεῖν τελειότητα.

ἐπιγέγραπται τῷ τάφῳ αὐτοῦ·
αἰετοῦ ἐξ ὀνύχων βρέγμα τυπεὶς ἔθανεν.

φασὶν ὑπὸ Ἱέρωνος ἀξιωθέντα ἀναδιδάξαι τοὺς Πέρσας ἐν Σικελίᾳ καὶ λίαν εὐδοκιμεῖν.

ἐκ τῆς μουσικῆς ἱστορίας.

ταύτῃ καὶ ἄριστος εἰς τραγῳδίαν Αἰσχύλος κρίνεται, ὅτι εἰσάγει πρόσωπα μεγάλα καὶ ἀξιόχρεα. καί τινες ἤδη τῶν τραγῳδιῶν αὐτῷ διὰ μόνων (δαιμόνων cod.) οἰκονομοῦνται θεῶν, καθάπερ οἱ Προμηθεῖς· τὰ γὰρ δράματα συμπληροῦσιν οἱ πρεσβύτατοι τῶν θεῶν, καὶ ἔστι τὰ ἀπὸ τῆς σκηνῆς καὶ τῆς ὀρχήστρας θεῖα πάντα πρόσωπα. (sequuntur in codice verba schol. Prometh. 11. ἱστέον — συμβαλεῖν.)

τῶν ποιημάτων ἃ μέν ἐστι διεξοδικὰ καὶ διηγηματικὰ καὶ ἀπαγγελτικά, ἃ δὲ δραματικὰ καὶ μιμητικά, ἃ δὲ ἐξ ἀμφοῖν, ἃ δὲ μόνον δραματικά· αὐτὰ γὰρ ἐνεργεῖ καὶ λέγει ἅμα τὰ πρόσωπα καὶ αὐτὰ τὸ κῦρος ἔχει. διὰ τοῦτο αἱ τῶν δραμάτων ἐπιγραφαὶ προγράφονται τοῦ ποιητοῦ· Νιόβη Αἰσχύλου. Ὁμήρου δὲ Ἰλιάς· μικταὶ γάρ εἰσιν αἱ ποιήσεις αὐτῶν.

Κατάλογος
τῶν Αἰσχύλου δραμάτων.

ἀγαμέμνων
αἰτναῖαι νόθοι
ἀταλάντη
δαναΐδες
ἐπίγονοι
ἡρακλείδης

ἰξίων
κρῆσσαι
κᾶρες ἢ εὐρωπη
λυκοῦργος
νεανίσκοι
ξάντρι ...
πενθεύς
πηνελόπη

προμηθεὺς λυόμενος
σίσυφος δραπέτης
τροφοί
φρύγιοι

ἀθάμας
ἀμυμώνη
βάκχαι
δικτιουργοί
ἐλευσίνιοι
θρῄσσαι

ἱκέτιδες
κερκύων
λάϊος
μέμνων
νεμέα
οἰδίπους
περραιβίδες
προπομποί

πολυδέκτης

σφίγξ
ὑψιπύλη
φρύγες ἢ ἕκτωρ λύτρῳ
ψυχαγωγοί

αἰγύπτιοι
ἀργεῖοι
βασσάραι
ἕπτ' ἐπι θήβας
ἡλιάδες
θεόδωροι ἢ τσομισταί

κάβειροι
κίρκη σατυρική
λέων
μυσοί
νηρεῖδες
ὅπλων κρίσις
πρωτεύς
προμηθεὺς δεσμώτης

σαλαμίνιοι

τοξότιδες
φιλοκτήτης
χοηφόροι

αἰτναῖαι γνήσιοι
ἀργὼ ἢ κωπαστής
γλαυκὸς πόντιος
εὐμενίδες
ἤδωνοί
τφιγένεια

καλλιστώ
κήρυκες
λημνιοι
μυρμηδόνες
νιόβη
ὀστολόγοι
πέρσαι
προμηθευς πυρφόρος

σεμέλη ἢ ὑδροφόροι

τήλεφος
φορκίδες
ψυχοστασία

Lipsiae, typis I. B. Hirschfeldi.

.Verlag der **Weidmannschen Buchhandlung** in Berlin.

EURIPIDIS FABULAE.

Recognovit

Adolphus Kirchhoff.

Vol. I. Alcestis. Andromacha. Bacchae. Hecuba. Helena. Electra. (X u. 282 S.) 8. geh. 1 M. 50 Pf.
Vol. II. Heraclidae. Hercules furens. Supplices. Hippolytus. Iphigenia Aulidensis. Iphigenia Taurica. (295 S.) 8. geh. 1 M. 50 Pf.
Vol. III. Ion Cyclops. Medea. Orestes. Troades. Phoenissae. Anonymi Rhesus. (344 S.) 8. geh. 1 M. 80 Pf.

EURIPIDIS
TRAGOEDIAE.

Recensuit

Godofredus Hermannus.

Vol. I. pars. 1: Hecuba. (XXX u. 150 S.) gr. 8. geh. 2 M. 40 Pf.
" " 2: Iphigenia in Aulide. (XXXII u. 162 S.) gr. 8. geh. 2 M. 40 Pf.
" " 3: Iphigenia Taurica. (XXXVI u. 170 S.) gr. 8. geh. 3 M.
Vol. II. pars. 1: Helena. (XX u. 174 S.) gr. 8. geh. 2 M. 40 Pf.
" " 2: Andromacha. (XVIII u. 109 S.) gr. 8. geh. 1 M. 60 Pf.
" " 3: Cyclops. (XVI u. 70 S.) gr. 8. geh. 1 M.
" " 4: Phoenissae. (XXV u. 166. S.) gr. 8. geh. 2 M. 40 Pf.
Vol. III. pars. 1: Orestes. (XVII u. 164 S.) gr. 8. geh. 2 M. 40 Pf.

SOPHOCLIS
TRAGOEDIAE.

Edidit

Augustus Nauck.

(XII u. 387 S.) 8. geh. 2 Mk. 10 Pf.

Verlag der **Weidmannschen Buchhandlung** in Berlin.

AESCHYLOS
AGAMEMNON

erklärt von

F. W. Schneidewin.

(LV u. 260 S.) 8. geh. 2 Mk. 25 Pf.

AESCHYLUS
PERSER

erklärt von

Ludwig Schiller.

(135 S.) 8. geh. 1 Mk. 20 Pf.

AESCHYLI
TRAGOEDIAE

recensuit

Godofredus Hermannus.

Editio altera. 2 voll.

(I: XVII. u. 453 S., II: 674 S.) gr. 8. geh. 16 Mk.

B. Lateinische Schriftsteller.

	M. Pf.
Caesar. Von Fr. Kraner. De bello Gallico. 11. Aufl. Von W. Dittenberger	2.25
— De bello civili. 7. Aufl. Von Fr. Hofmann	2.25
Chrestomathia Pliniana. Von L. Urlichs	2.70
Cicero, Brutus. Von O. Jahn u. A. Eberhard. 4. Aufl.	1.80
— Orator. Von O. Jahn. 3. Aufl.	1.50
— De oratore. Von G. Sorof. 1. Bd.: 1. Buch 1.80. — 2. Bd.: 2. Buch	1.80
— — 3. Bd.: 3. Buch	1.80
— Cato maior. Von J. Sommerbrodt. 8. Aufl.	—.75
— Laelius. Von C. W. Nauck. 8. Aufl.	—.75
— Tusculan. Disput. Von G. Tischer u. G. Sorof. I. Bd. Buch 1—2. 7. Aufl. M. 1.20. II. Bd. Buch 3—5. 7. Aufl.	1.50
— De natura deorum. Von G. F. Schoemann. 4. Aufl.	2.40
— De officiis. Von O. Heine. 5. Aufl.	2.25
Ciceros ausgewählte Briefe. Von Fr. Hofmann u. G. Andresen. 1. Bd. 4. Aufl. M. 2.25. — 2. Bd.	2.25
— ausgewählte Reden. Von K. Halm. 1. Bd.: für Sex. Roscius und für das Imperium des Cn. Pompeius. 8. Aufl.	1.20
— 2. Bd.: gegen Q. Caecilius und gegen Verres IV und V. 7. Aufl.	2.25
— 3. Bd.: gegen Catilina und für Archias. 10. Aufl.	1.20
— 4. Bd.: für Publius Sestius. 5. Aufl.	1.20
— 5. Bd.: für Milo, für Ligarius und für Deiotarus. 8. Aufl.	1.20
— 6. Bd.: 1. u. 2. Philippische Rede. 5. Aufl.	1.20
— 7. Bd.: für L. Murena und für P. Sulla. 3. Aufl.	1.20
Cornelius Nepos. Von K. Nipperdey und B. Lupus. 7. Aufl.	1.20
Livius. Von W. Weissenborn u. H. J. Müller. 1. Bd. 1. Heft: Buch 1. 7. Aufl. M. 2.10. 1. Bd. 2. Heft: Buch 2. 7. Aufl. M. 1.20. — 2. Bd.: Buch 3-5. 4. Aufl. M. 3. — 3. Bd. 1. Heft: Buch 6-8. 4. Aufl.	2.40
3. Bd. 2. Heft: Buch 9-10. 4. Aufl. M. 1.80. — 4. Bd. 1. Heft: Buch 21. 6. Aufl. M. 1.20. 4. Bd. 2. Heft: Buch 22-23. 6. Aufl. M. 1.80. — 5 Bd. 1. Heft: Buch 24-25. 4. Aufl. M. 1.80. 5. Bd. 2. Heft: Buch 26. 4. Aufl. Im Druck. — 6. Bd.: 1. Heft: Buch 27-28. 3. Aufl. M. 2.40. 6. Bd. 2. Heft: Buch 29-30. 3. Aufl. M. 2.10. — 7. Bd.: Buch 31-34. 2. Aufl.	2.40
— 8. Bd.: Buch 35-38. 2. Aufl. M. 2.70. — 9. Bd. 1. Heft: Buch 39-40. 2. Aufl. M. 2.25. 9. Bd. 2. Heft: Buch 41-42. 2. Aufl. M. 1.80 — 10. Bd. 1. Heft: Buch 43—44. M. 1.80. 10. Bd. 2. Heft: Buch 45	Im Druck.
Ovids Metamorphosen. Von M. Haupt u. O. Korn. 1. Bd. Buch 1-7. 6. Aufl. M. 2.25. — 2. Bd. Buch 8-15	2.40
Phaedrus. Von F. E. Raschig und R. Richter. 3. Aufl.	—.75
Plautus, ausgewählte Komödien. Von A. O. F. Lorenz. 2. Bd.: Mostellaria M. 1.80. — 3. Bd.: Miles gloriosus	1.80
4. Bd.: Pseudolus	2.70
Quintiliani liber Xus. Von E. Bonnell. 4. Aufl.	—.75
Sallustius. Von R. Jacobs und H. Wirz. 7. Aufl.	1.80
Tacitus. Von K. Nipperdey und G. Andresen. 1. Bd.: Annales Buch 1-6. 7. Aufl. M. 3. — 2. Bd.: Annales Buch 11-16. 4. Aufl.	2.40
Terentius Comœdien. Von A. Spengel. 1. Bd.: Andria	1.80
— — 2. Bd.: Adelphoe	1.50
Vergils Gedichte. Von Th. Ladewig und C. Schaper. 1. Bd.: Bucolica u. Georgica. 6. Aufl.	1.80
2. Bd.: Aeneide. Buch 1-6. 8. Aufl.	1.80
3. Bd.: Aeneide. Buch 7-12. 7. Aufl.	2.25

Cicero, De finibus. Von D. Boeckel. 1. Bd. Buch 1 u. 2.	1.20
Elegiker, Römische. Eine Auswahl aus Catull, Tibull, Properz. Von K. P. Schulze	1.80
Horatius Flaccus. Von H. Schütz. I. Oden und Epoden. 2. Aufl.	3.—

Aeneae commentarius Poliorceticus. Recensuit R. Hercher 1.2
Aeschyli tragoediae. Edidit A. Kirchhoff 2.7
Apollodori bibliotheca. Ex recognitione R. Hercheri 2.4
Arriani Anabasis Alexandri. Edidit C. Sintenis 1.5
Aeschinis orationes. Recensuit A. Weidner 2.2
Babrii fabulae. Ex recensione Alfredi Eberhard 1.5
Bionis et Moschi carmina. Recensuit Godofr. Hermannus 1.5
Euripidis fabulae. Recognovit Ad. Kirchhoff. vol. I. II. à M. 1.50. — vol. III. 1.8
Hesiodi quae feruntur carminum reliquiae. Ed. G. F. Schoemann . . . 1.5
Homeri Odyssea. Edidit A. Nauck. Pars I. II. . . . . à 1.8
— Ilias. Edidit A. Nauck. Pars I. II. . . . . à 2.2
Lycurgi oratio in Leocratem. Edidit Th. Thalheim . . . . . —.7
Pindari carmina. Edidit Tycho Mommsen 1.2
Plotini Enneades rec. H. F. Mueller. Antecedunt Porphyrius, Eunapius, Suidas, Eudocia de vita Plotini. vol. I. M. 5.40. — vol. II. . 9.—
Plutarchi vitae. Aristides et Cato maior. Ed. R. Hercher . . . . —.6
— — Themistocles et Pericles. Edidit C. Sintenis . . . . . —.6
— — Agis et Cleomenes. Tiberius et Caius Gracchus. Ed. C. Sintenis . . . —.6
Polybius. Edidit F. Hultsch. vol. I. II. III. à 3 M., vol. IV. . . . 4.5
Sophoclis tragoediae. Edidit A. Nauck 2.1
Daraus jedes Stück einzeln . . . . . à —.3
Xenophontis opera. Edidit C. Schenkl. vol. I. M. 1.50 vol. II. . . . 2.25
— de reditibus libellus. Recensuit A. Zurborg 1.5
Asconii Pediani orationum Ciceronis quinque enarratio. Recensuerunt A. Kiessling et R. Schöll 3.6
Ciceronis orationes selectae XVIII. Ex rec. C. Halmii. vol. I. II. . . . à —.9
Collectio librorum iuris anteiustiniani in usum scholarum ediderunt P. Krueger, Th. Mommsen, G. Studemund. tomus I. Gai institutiones ad codicis Veronensis apographum Studemundianum in usum scholarum ediderunt P. Krueger et G. Studemund. Inest epistula critica Theodori Mommsen 2.7
— — tomus II. Ulpiani liber singularis regularum, Pauli libri quinque sententiarum, fragmenta minora saeculorum P. Chr. N. secundi et tertii recensuit Paulus Krueger 2.4
Cornelius Nepos a C. Nipperdeio recognitus . . . . . —.6
Curtius Rufus. E. Hedicke recensuit 1.5
Eutropi Breviarium ab urbe condita. Ed. G. Hartel . . . . . —.6
— — — — Recensuit H. Droysen . . . . —.9
Fragmenta, iuris anteiustiniani, quae dicuntur Vaticana. Post Ang. Maium et Aug. Bethmann-Hollweg recognovit Th. Mommsen. Adiectum est codicis Vaticani specimen 1.8
Iustiniani institutiones. Recensuit P. Krüger 1.2
P. Ovidius Naso. Recensuit O. Korn. Tomus II. Metamorphoseon libri XV. 2.4
A. Persii Flacci, D. Iunii Iuvenalis, Sulpiciae saturae. Recogn. O. Jahn. 1.2
Petronii satirae et liber Priapeorum. Iterum edidit Fr. Buecheler . . . 2.2
Phaedri fabulae. Fr. Eyssenhardt recognovit . . . . . —.6
Plinii, C. Secundi, naturalis historia. D. Detlefsen rec. vol. I: lib. I—VI. 1.8
vol. II: lib. VII—XV. M. 2.25. — vol. III: lib. XVI—XXII. 2.2
vol. IV: lib. XXIII—XXXI. M. 2.25. — vol. V: lib. XXXII-XXXVII. 2.2
Publilii Syri Sententiae. Recensuit A. Spengel . . . . . —.9
Sallustii, C. Crispi, Catilina Iugurtha historiarum reliquiae potiores incerti rhetoris suasoriae ad Caesarem senem de re publica. H. Jordan iterum recognovit. Accedunt incerti rhetoris invectivae Tullii et Sallustii personis tributae 1.5
Senecae, L. Annaei, libri de beneficiis et de clementia. Ad codicum Nazarianum recensuit M. C. Gertz 4.5
— — tragoediae. Recensuit F. Leo. Vol. I.: observationes criticas continens 3.—
— — — Volumen alterum: Senecae tragoedias et Octaviam continens . . 6.—
Tacitus, C., a C. Nipperdeio rec. Pars I. 90 Pf. Pars II. . . . —.9
Pars III. M. 1.50. Pars IV. 1.5
Valeri Flacci Argonauticon libri VIII. Ed. C. Schenkl 1.8
Vergilii, P. Maronis, opera. Edidit Th. Ladewig 1.2